versantur, quod est in disciplinarum studio praestantissimum. Qui vero adolescentibus ea tradunt praecepta, non per quae eloquentiae periti evadant, sed per quae potius ad honestos mores possint informari, eo plus utilitatis quam illi audientibus afferunt, quod ut alteri eos duntaxat ad bene dicendum, ita alteri etiam ad bene vivendum cohortentur.

III. Nos igitur, non ad eloquentiam, sed ad virtutem hortatione conscripta, tibi praecepturi sumus, quae adolescentes expetere, quaeque fugere, quibuscum hominibus versari, et quo pacto vitam instituere oporteat. Nam qui hoc vitae quasi iter sunt ingressi, hi soli vere ad virtutem pervenire potuerunt; qua nulla possessio neque splendidior est neque firmior. Nam forma quidem aut aetate perit, aut morbo deflorescit: divitiae vero vitiorum magis quam virtutis sunt administrae, dum ignaviae occasionem praebent, et juventutem ad voluptates incitant. Jam vires corporis cum prudentia conjunctae sane prosunt, at sine hac plus nocent quam adjuvant; atque ut ornant corpora, sic mentis luminibus tenebras offundunt. Virtus autem sola, quorum in animis una cum aetate sincero modo accreverit, cum iis quoque consenescit, et omnibus divitiis praestantior, et omni generis nobilitate utilior. Quae enim alii perficere non possunt, haec una dat ut perfici possint; quae vulgo hominum videntur formidolosa, magno animo subit, summamque et in desidia infamiam, et in labore laudem collocat. Quod quidem et e laboriosis Herculis certaminibus, et e praeclaris Thesei facinoribus facile intelligi potest; quorum factis talem gloriae notam virtute imbuti mores impresserunt, ut res eorum gestas nulla omnino secula abolere queant.

IV. Atque adeo, si, quod vitae institutum patris tui fuerit, recordere, domesticum et illustre exemplum habebis eorum, quae a me dicuntur. Nec enim

οὐδὲ ῥαθυμῶν διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. Οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα· ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος. Οὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυτοῦ βίον· ἀλλὰ φιλόκαλός τε ἦν καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινὸς, καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γένει προσήκοντας. Ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης.

Ε. Ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα. Ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν, δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ σε ζῆν, ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον. Αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. Ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. Οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.

ΥΠΟΘΗΚΑΙ.

1. Πρῶτον μὲν εὐσέβει τὰ πρὸς τοὺς θεοὺς μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. ἐκεῖνο γὰρ τῆς

sic exegit aetatem, ut vel virtutem negligeret, vel ignaviae se dederet; sed et corpus laboribus exercuit, et animum ad pericula paratum habuit: neque pecuniam supra modum amavit, sed et bonis praesentibus usus est ut mortalis, et rem familiarem curavit ut immortalis: idemque vitam abjecte non instituit, sed et splendidus fuit et magnificus, et cum amicis omnia communicans, ac sui studiosos pluris fecit, quam genere sibi proximos. Ad amicitiam enim conjungendam longe plus valere indolem quam legem, mores quam genus, voluntatem quam necessitatem, judicabat.

V. Deficeret nos omne tempus, si omnes illius actiones liberet enumerare. Sed de his accuratius alio tempore sumus dicturi: nunc specimen Hipponici indolis exhibuimus, quod tanquam exemplar in vita degenda propositum tibi esse debet, ita ut mores illius pro legibus habeas, paternaeque virtutis admirator sis et aemulus. Nam quum pictores pulcherrima animantia penicillo exprimant, liberis turpe fuerit parentes virtute praestantes non imitari. Quare persuasum habeto, nulli pugili tantum exercitationis, ut adversario par sit, adhibendum esse, quam tibi curandum, ut in hoc laudis certamine patri tuo non sis inferior. Atqui eo animo nullus esse possit, nisi cujus mens multis praeclarisque praeceptis fuerit referta. Nam ut corpora moderatis laboribus, sic honesta doctrina mentes augeri solent. Ego itaque breviter tibi praecipere conabor, quibus studiis putem te et ad virtutem maxime profecturum, et maximam apud universos mortales laudem consecuturum.

PRAECEPTA.

1. Ante omnia igitur deos colas non solum sacrificia faciendo, sed jusjurandum servando: nam illud

τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον.

2. Τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως. οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν.

3. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

4. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. Τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος.

5. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.

6. Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

7. Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις.

8. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν, κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

9. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις.

10. Τοὺς μὲν θεοὺς φοβοῦ· τοὺς δὲ γονεῖς τίμα· τοὺς δὲ φίλους αἰσχύνου· τοῖς δὲ νόμοις πείθου.

11. Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις μὲν σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον.

12. Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

13. Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

14. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

pecuniarum abundantiae signum est; hoc morum integritatis argumentum.

2. Venerare Numen cum aliâs semper, tum praesertim, quando sacra publice fiunt. Sic enim apparebit, te simul et diis immolare, et legibus obtemperare.

3. Talem erga tuos parentes te praebe, quales in te liberos tuos esse velis.

4. Eas corporis exercitationes suscipe, non quae ad robur, sed quae ad bonam valetudinem conferant. Quod ita consequere, si laborare desinas, dum adhuc laborare possis.

5. Neque petulantem risum ama, neque dictum arrogans tibi permitte: nam alterum stulti est, alterum insani.

6. Quae factu sunt turpia, ea ne dictu quidem honesta esse existimes.

7. Assuefac te, ut sis vultu non torvo et austero, sed severo et gravi: nam illud insolentiae, hoc prudentiae tribuetur.

8. Nil tam te decere arbitrator, quam modestiam, pudorem, justitiam, temperantiam; his enim maxime adolescentum mores commendantur.

9. Si quid unquam turpe admiseris, ne sperato clam fore: nam, ut alios celes, at ipse tibi eris conscius.

10. Deos time, parentes autem honora. Amicos verere: obtempera legibus.

11. Eas sequere voluptates, quae cum gloria sint conjunctae. Honesta enim oblectatio est res optima; honestatis vero expers pessima.

12. Fuge criminationes etiam falsas. Vulgus enim, quum veritatem ignoret, ex opinione famaque judicat.

13. Omnia te ita facere putes, quasi neminem sis celaturus. Etsi enim quippiam occultaris in praesentia, post tamen innotescet.

14. Ita maximi fies, si ipse non commiseris, quae in aliis reprehendas.

15. Ἐὰν ᾖς φιλομαθής, ἔσῃ πολυμαθής.

16. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν.

17. Κατανάλισκε τὴν τοῦ βίου σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.

18. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνον τῶν κτημάτων ἀθάνατον.

19. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν.

20. Τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος· ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν.

21. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ.

22. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων.

23. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν.

24. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ, ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σεαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

15. Si discendi sis cupidus, multa disces.

16. Quae scis, ea exercitatione fac conserves; quae autem non didicisti, ea studio fac acquiras. Aeque enim turpe est auditam utilem orationem non discere, ac boni aliquid datum ab amicis non accipere.

17. Quidquid otii dabitur, in audienda doctrina consumito: sic enim fiet, ut, quae magnis alii laboribus invenere, ea tu facile perdiscas.

18. Multa utilia audivisse praestare ducito, quam pecuniae multum collegisse: haec enim velocius amittitur, illa perpetuo durant: solius quippe sapientiae possessio est immortalis.

19. Ne te pigeat longam ire viam ad eos, qui se aliquid utile docturos profitentur. Quum enim mercatores, rei familiaris augendae causa, tam immensa maria transmittant, turpe fuerit, adolescentes ingenii excolendi causa neque terrestre iter velle suscipere.

20. Moribus tuis adsit affabilitas, verbis urbanitas. Est autem affabilitatis obvios salutare; urbanitatis, comiter eos verbo appellare.

21. Comis in omnes esto; sed optimorum familiaritate utere. Sic enim aliorum vitabis inimicitias, aliorum tibi amicitias conciliabis.

22. Ne saepius eosdem, neque verbosius iisdem de rebus alloquare. Est enim rerum omnium satietas.

23. Exerce te voluntariis laboribus, ut etiam necessarios perferre possis.

24. Operam dato, ut rebus omnibus imperes, quibus animum servire turpe sit; cujusmodi sunt, lucrum, iracundia, voluptas, dolor. Lucro autem non cedes, si ea deputes in lucro, quae gloriam, non quae opes augeant: nec iracundiae, si talem te praebeas delinquentibus, quales in te delinquentem alios esse velis: neque voluptati, si te pudeat voluptatibus servire, dum servis tuis imperas: nec dolori denique, si calamitates aliorum inspicias, et te hominem esse recorderis.

25. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

26. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν.

27. Περὶ τῶν ἀποῤῥήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως ξυμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν.

28. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύω προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεῶν ὀμόσῃς, μηδ᾽ ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

29. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.

30. Βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

31. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. Τοῦτο δὲ ποιήσεις, ἂν, μὴ δεόμενός του, δεῖσθαι προσποιῇ, περί τε τῶν ῥητῶν ὡς ἀποῤῥήτων ἀνακοινοῖ· μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσῃ, τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ.

32. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν.

33. Οὕτω δ᾽ ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ᾽ ἐκείνων δεήσεις, ἀλλ᾽ αὐτεπάγγελτος αὐτοῖς ἐν τοῖς καιροῖς βοηθῇς.

34. Ὁμοίως αἰσχρὸν νόμιζε, τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις.

35. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κα-

25. Diligentius tuere deposita verborum, quam nummorum. Nam boni viri est ita se gerere, ut ejus integritas fide dignior quam jusjurandum videatur.

26. Quemadmodum improbis diffidendum, sic bonis habendam esse fidem arbitrator.

27. Nemini arcana tua credito, nisi res illas taceri aeque expediat illis qui audiunt, ac tibi dicenti.

28. Jusjurandum si a te postulabitur, duas tantum ob causas dabis, vel ut temet ipsum turpi crimine liberes, vel ut amicos e periculis eripias. Pecuniae vero causa per nullum deum jurabis, jures licet verum jusjurandum, ne aliis perjurus, aliis autem avarus esse videaris.

29. Amicitiam cum nemine jungito, priusquam exploraveris, quomodo prioribus amicis fuerit usus. Exspectes autem, eum in te quoque fore talem, qualem ergo illos se praebuerit.

30. Sensim amicus fias, factus vero semper permaneas. Turpe enim utrumque est, et nullos amicos habere, et eos quos habes saepe commutare.

31. Neque cum damno amicos experiaris, neque eorum indolem velis ignorare. Quod ita facies, si egere te simulâris nullius rei indigens, et cum iis communicâris res non arcanas tanquam arcanas. Nam et deceptus opinione, nihil detrimenti capies; non deceptus vero, mores eorum perspectiores habebis.

32. Amicos cum in vitae calamitatibus, tum in periculorum societate cognosces. Nam ut aurum igni exploratur, sic amicorum fides rebus adversis declaratur.

33. Sic autem in amicos eris maxime benevolus, si non exspectes, dum ii te rogent, sed ultro, quum tempus postulat, eis opem feras.

34. Non minus turpe ducito superari beneficiis amicorum, quam vinci maleficiis inimicorum.

35. Eos amicos proba, qui non tantum malis tuis

κοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι.

36. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

37. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Ἔστι δὲ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές, καλλωπιστοῦ δὲ τὸ περίεργον.

38. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

39. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος.

40. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. Ἔστι δὲ χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς κτᾶσθαι δυναμένοις.

41. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ἐκτίσαι δύνασθαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα.

42. Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

43. Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον.

44. Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη.

45. Τοὺς κακοὺς εὖ ποιῶν ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν. Ἐκεῖναί τε γὰρ τοὺς διδόντας ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠφελοῦντας ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι.

46. Μίσει τοὺς κολακεύοντας, ὥσπερ ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσι.

moereant, sed qui etiam bonis tuis non invideant. Multi enim, ut rebus amicorum adversis dolent, ita secundis invident.

36. Absentium amicorum mentionem fac apud praesentes; ut nec hos, dum ipsi aberunt, videaris esse neglecturus.

37. In vestitu ornatum proba, luxum repudia. Ornatus decentem admittit magnificentiam; luxus insolentem redundantiam consectatur.

38. Bonorum non copiosam possessionem, sed modicum usum expetas.

39. Eos, qui amplificandae rei student, quum partis uti nesciant, contemnito. Istis enim idem fere evenit, quod ei, qui pulchrum paravit equum, non satis equitandi peritus.

40. Da operam, ut divitias partim ad possidendum, partim ad utendum pares: usui erunt ei, qui frui novit, firma autem possessio ei, qui (bonis artibus) conquirere potest.

41. Rem familiarem duabus de causis magni aestima, tum ut magnam jacturam recuperes, tum ut amico probo laboranti succurras. Quod autem ad caeteras vitae rationes attinet, non supra modum ea, sed mediocriter amato.

42. Praesentibus contentus quaere tamen meliora.

43. Nemini calamitatem exprobres: nam fortuna est communis futuraque provideri non possunt.

44. Bonis benefacito: praeclarus enim thesaurus est beneficium, quod acceptum tibi bonus vir debebit.

45. Qui de malis bene meretur, similiter facit, ac si quis alienis canibus cibum adfert: nam et hi aeque allatrant eos, qui dant, quam quoslibet alios; et improbi non minus eos injuria afficiunt, qui prosunt, quam qui obsunt.

46. Assentantes non minus oderis quam decipientes: nam utrique laedunt eos, qui ipsis fidem habent.

47. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους.

48. Γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός. Τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν· τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ὑποφέρουσι. Ὁμιλητικὸς δ' ἔσῃ μὴ δύσερις ὢν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων (τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν)· μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος· ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὢν, βαρὺ γάρ· μηδὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ.

49. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταυτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν. Ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, διαμαρτόντα τῶν εὐθυνούντων· ἥ τε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας.

50. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι· θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.

51. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ, ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.

52. Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλοντας· ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος.

47. Si eos amicos amplecteris, qui tibi nequissimis in rebus gratificantur, per omnem aetatem nullos habebis, qui tuum odium propter res optimas suscipiant.

48. Comis esto erga omnes, qui te conveniunt, non superbus. Nam fastidium et arrogantiam superborum vel servi aegre ferunt: comitas vero grata et jucunda est omnibus. Sunt autem comitatis officia, non contentiosum esse, non morosum, non omnibus in rebus adversatorem; familiarium iracundiae non aspere resistere, quamvis injuste irascantur, sed eis cedere, dum commoti sunt, ac, ubi deferbuerit ira, eos objurgare; non in jocosis rebus severitatem, neque in seriis risum adhibere (intempestiva enim ubique molesta sunt); non ingratis inire gratiam (quo vitio multi laborant, qui, etsi amicis obsequuntur, gravate tamen id faciunt); non facile incusare, nam id odium importat; non ad reprehendendum esse proclivem, nam id iram incitat.

49. Compotationes fugere consultissimum certe fuerit: si tamen iis interesse te aliquando contingat, surgito ante ebrietatem. Quum enim vino mens opprimitur, idem ei quod curribus evenit, e quibus aurigae sunt excussi. Nam ut hi temere feruntur, destituti rectoribus, sic animus, mente subversa, in multa delicta impellitur.

50. Immortalia cogites animi maguitudine, mortalia autem moderato rerum usu.

51. Quantum humanitas asperitati praestet, inde perspicies, quod e caeteris vitiis fructum sibi aliquem nullus non capit, haec vero sola nocet etiam ea laborantibus. Saepe enim, quem verbis offendere, huic re ipsa poenas dederunt.

52. Quorum amicitiam cupias, eorum laudes, iis audientibus, qui renuntiabunt, praedica. Initium enim amicitiae laus, vituperatio autem inimicitiae.

53. Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

54. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

55. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν.

56. Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις.

57. Ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον, πῶς τὰ ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

58. Οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τοὺς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν.

59. Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν· ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν.

60. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει θαυμάζειν.

61. Εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

62. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

63. Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συν-

53. Quum deliberes, praeterita pro exemplis tibi sint rerum futurarum: nam quae obscura sunt, e manifestis facillime dijudicantur.

54. Priusquam incipias, diu consulto; at ubi consulueris, mature facto opus est.

55. Prosperum successum a diis petas, prudens vero consilium a temet ipso.

56. De quibus vereris cum amicis aperte libereque communicare, ea sic proponas, quasi res ad alium pertineat. Ita et mentem eorum cognosces, et te ipsum non aperueris.

57. Si alterum consulere in tuis negotiis expetas, considera imprimis, quomodo negotia ipse sua administrarit. Nam qui suam rem male gessit, nunquam bene procurabit alienam.

58. Ad bene consulendum sic maxime incitaberis, si, quae damna temerariam consultationem sequantur, cogitaris. Nam et valetudinem diligentissime curamus, quum aegrotationum molestias recordamur.

59. Imitare regum mores, eorumque studia consectare, ut id quod agunt et sentiunt comprobare et aemulari videaris. Unde fiet, ut et populus de te melius existimet, et tu illorum benevolentiam erga te confirmes.

60. Cum ipsis regum legibus obtempera, tum voluntatem eorum firmissimam esse legem ducito. Quemadmodum enim eum, qui in populari statu degit, populum colere oportet; sic et eum, qui sub imperio regio vivit, regem admirari decet.

61. Magistratum adeptus, nullius improbi ministerio in obeundis negotiis utitor; nam quidquid ille deliquerit, id tibi imputabitur.

62. A publicis functionibus discedas non locupletior, sed laudatior. Laudes enim populi magnis opibus sunt praeferendae.

63. Nullius improbi negotii neque adjutor neque

ηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς.

64. *Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δύνασθαι, ἀνέχου δὲ τὸ ἴσον ἔχειν, ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν.*

65. *Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον. Τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει· κἀκείνων μὲν καὶ τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.*

66. *Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι.*

67. *Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.*

68. *Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος· ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα.*

69. *Πᾶν ὅ, τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.*

70. *Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν, ἢ λέγειν.*

71. *Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυπος.*

72. *Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν· γίγνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατάδηλος. Ἄτοπον γάρ, τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν.*

73. *Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι*

patronus esse velis. Nam et temetipsum ea fecisse existimabunt, quae ab aliis facta defenderis.

64. Sic te parato, ut aliis plus possis, et aequo tamen jure cum caeteris vivito; ut te justitiam colere appareat non ex imbecillitate, sed propter aequitatem.

65. Paupertatem cum justitia conjunctam opibus male partis anteponas. Nam justitia pecuniis eo praestantior est, quod hae prosunt tantum viventibus, illa et defunctis gloriam parit: hae contingunt etiam malis hominibus, illam improbi consequi nullo modo possunt.

66. Neminem eorum, qui lucris injustis ditantur, aemulare; sed eos potius amplectere, qui ob justitiae studium detrimentis afficiuntur: nam justi si nulla alia re injustis praestant, spe certe bona sunt superiores.

67. Cum omnium rerum, quae ad vitam pertinent, curam suscipias, tum ingenio excolendo sis intentissimus. Maxima enim res est in re minima, bona mens in humano corpore.

68. Des operam, ut corpore sis laboriosus, animo autem sapientiae studiosus, ut altero perficere queas jam deliberata, altero prospicere scias profutura.

69. Quidquid dicturus es, prius cum animo tuo reputa: multi enim sunt, quorum lingua cogitationi antevertat.

70. Duo tantum tibi sint loquendi tempora, aut de iis quae plane nosti, aut de quibus dicere necesse est. In his enim solis loqui praestat quam tacere, in aliis vero tacere satius est quam loqui.

71. Nihil rerum humanarum esse firmum existima. Ita nec in secundis rebus eris laetitia elatus, nec in adversis moestitia adflictus.

72. Moderate quidem et bonis, quae tibi eveniunt, gaudeas, et malis doleas; sed gaudium et dolorem dissimulato. Quum enim domi opes occultemus, absurdum fuerit apertis animi sensibus obambulare.

73. Magis cave reprehensionem, quam periculum:

φοβερὸν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτήν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

74. Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. Τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε.

ΕΠΙΛΟΓΟΣ.

Α. Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. Οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τὴν τοῦ παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. Τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. Ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρῳ ζητῇς, ἀλλ' ἐντεῦθεν, ὥσπερ ἐκ ταμιείου, προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἂν ἔχω σοι συμβουλεύειν.

Β. Πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἧς ἔχων περὶ σοῦ τυγχάνω. Τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. Σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ· τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι.

Γ. Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων μάλιστα γνησίας ἔχομεν. Ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι· τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν καὶ σω-

namque improbis metuendus est vitae exitus; bonis autem viris solum dedecus est pertimescendum.

74. Enitere imprimis, ut extra omnem discriminis aleam vivas: sed si quando contigerit, ut tibi pericula sint adeunda, incolumis e bello studeas evadere cum laude et gloria, non cum infamia et dedecore. Namque sors omnes, quicumque vivunt, morte condemnavit; mortem vero honeste oppetere bonis viris duntaxat natura proposuit et definivit.

EPILOGUS.

I. Neque vero mirari debes, multa ex iis quae diximus tuae aetati nondum convenire. Etenim id me quoque non fugiebat; sed decrevi uno eodemque opusculo et adolescentiam tuam monere, et ad reliquam aetatem praecepta relinquere. Nam usum quidem horum facile intelliges; qui autem benevolo animo te admoneat, haud temere inveneris. Ne igitur caetera ab alio tibi petenda essent, sed hinc omnia, velut e penu, depromeres, nihil eorum, quae tibi possem praecipere, omittendum esse duxi.

II. Magnos autem deis gratias agam, si me spes de te concepta non fefellerit. Alii plerumque homines, ut cibis jucundissimis potius quam saluberrimis delectantur, sic ad eos sese amicos adjungunt, qui una peccant, non qui ipsorum peccata reprehendunt. De te vero mihi longe aliter persuasum est, quum videam, quanto labore et studio ad tuam institutionem animum semper intenderis tuum. Nam qui ipse sibi optima quaeque imperat, eum consentaneum est etiam alios ad virtutem cohortantes amplecti.

III. Maxime autem ad studium honestarum rerum incitaberis, si intelligas, voluptates, quae inde proficiscuntur, veras solidasque esse. Etenim in socordia et omnium libidinum amore molestiae statim voluptatibus adhaerescunt: virtutis autem colendae et vitae

φρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. Κἀκεῖ μὲν πρῶτον ἡσθέντες ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. Ἐν ἅπασι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν.

Δ. Ἐνθυμοῦ δὲ, ὅτι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν (εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν)· τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. Πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως. Ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἦπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν; Δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν.

Ε. Εἰ δὲ δεῖ, θνητὸν ὄντα, τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας (ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πιστεύουσι), τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν. Οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν. Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀ-

sapienter instituendae labor firmiora simul et sinceriora oblectamenta procreat. Illic enim primum gavisi, post dolemus; hic post molestias colligimus voluptatem. In omnibus autem rebus non tam solemus prima meminisse, quam postrema sentire. Siquidem pleraque in vita non propter res ipsas agimus, sed propter ea, quae ex rebus consequuntur, elaboramus.

IV. Illud item cogites velim, ut hominibus nequam quidvis licet, quum tale ab initio vitae suae fundamentum jecerint, ita fortem strenuumque virum virtutem negligere non posse, quin a multis reprehendatur. Non enim tam oderunt etiam flagitiosos, quam eos, qui virtutis studium professi nihil vulgo antecellunt. Nec id certe iniuria. Nam quum eos improbemus, qui verbis solummodo decipiunt, nonne vero eos despectos habebimus, qui tota ipsorum vita, quam de se dederant, fallunt opinionem? Ac ejusmodi homines non in semetipsos tantum injurii esse, sed et fortunae proditores merito existimantur, quae quum eis opes et gloriam et amicos in manus dederit, ipsi tanta felicitate sese indignos exhibent.

V. Quod si fas est mortali viro voluntatem deorum coniecturis scrutari, eos etiam ex sua potissimum in conjunctissimos sibi agendi ratione demonstrasse arbitror, quomodo et adversus homines improbos et erga bonos viros essent animati. Nam quum Jupiter, ut fabulae tradunt et omnes credimus, Herculem Tantalumque genuisset, alterum ob virtutem immortalitate donavit, alterum propter improbitatem maximis suppliciis adfecit. Decet igitur in haec exempla intuentes virtutem et honestatem expetere, nec ea amplecti duntaxat, quae nos diximus, sed et poetarum optima quaeque discere, et ea legere, quae alii viri sapientes utiliter praeceperunt. Nam ut apes omnibus insidere flosculis et de singulis utilia carpere videmus; sic doctrinae etiam comparandae studiosos nullius rei

πείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. Μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

esse rudes, sed undique utilia colligere oportet. Vix enim hac ipsa diligentia natúrae nostrae pravitatem superabimus.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΔΙΟΓΕΝΟΥΣ ΚΡΑΤΗΤΟΣ ΜΟΝΙΜΟΥ ΚΑΙ ΔΗΜΩΝΑΚΤΟΣ ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ.

CYNICAE SCHOLAE PRINCIPUM ANTISTHENIS DIOGENIS CRATETIS ET DEMONACTIS SENTENTIAE ET APOPHTHEGMATA

E

DIVERSIS SCRIPTORIBUS COLLECTA.

ΑΝΤΙΣΘΕΝΟΥΣ

ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ.

(Ἐκ διαφόρων συλλεγέντα.)

1. *Vide Simil. Socrat. No. 8. in hujus collectionis Tom. I. pag. 12.*

2. Σωκρατικὸς ὁ Κυνικὸς, ἀκούσας ποτὲ πονηροῦ τὸν τρόπον κακῶς λέγοντος Πλάτωνα, παῦσαι, ἔφη· οὔτε γὰρ κακῶς λέγων αὐτὸν πιστευθήσῃ, οὔτε ἐκεῖνος σὲ ἐπαινῶν. [Στοβ. λόγ. περὶ κακίας.]

3. Ἀντισθένης ἐπαινούμενος ὑπὸ πονηρῶν ἀνθρώπων· ἀγωνιῶ, ἔφη, μή τι κακὸν εἴργασταί μοι, ὅτι τοιούτοις ἀρέσκω. [Ἀντων. Μελίσσ. λόγ. περὶ κακῶν καὶ μοχθηρῶν.]

4. Κακοὶ κολακευόμενοι κακώτεροι γίγνονται. [*Ibid.*]

5. Μὴ νουθέτει γέροντα ἁμαρτάνοντα. δένδρον γὰρ παλαιὸν μεταφυτεῦσαι δύσκολόν ἐστι. [*Ibid.*]

6. Ἀντισθένης ἐρωτηθεὶς, τί δή ποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν, ἀλλ' ἀνάπαλιν; εἶπεν, ὅτι οἱ σοφοὶ μὲν ἴσασιν, ὧν ἐστιν αὐτοῖς χρεία πρὸς τὸν βίον· οἱ δὲ οὐκ ἴσασιν· ἐπεὶ μᾶλλον σοφίας ἢ χρημάτων ἐπεμελοῦντο. [Στοβ. λόγ. περὶ φρονήσεως.]

7. Ἀντισθένης ἔλεγεν τὰς μὴ κατὰ θύραν εἰσιούσας ἡδονὰς ἀναγκαῖον μὴ κατὰ θύρας πάλιν ἐξιέναι, δεήσειν οὖν τμηθῆναι ἢ ἐλλεβορίσθαι. [Στοβ. λόγ. περὶ ἀκολασίας.]

8. Ὅστις δὲ ἑτέρους δέδοικε, δοῦλος ὢν λέληθεν ἑαυτόν. [Στοβ. λόγ. περὶ δειλίας.]

ANTISTHENIS
SENTENTIAE ET APOPHTHEGMATA.
(Ex diversis scriptoribus collecta.)

2. Socraticus ille Cynicus cum audisset aliquando hominem moribus perversis maledictis incessere Platonem: *Ohe desine*, inquit, *neque enim tu male de illo dicendo fidem merebere, neque is te laudando.* [*Stobaeus Serm. II. de malitia p.* 58. *ed. C. Gesner. Francof.*] *)

3. Antisthenis cum ab improbis quibusdam laudaretur, *Vereor*, inquit, *ne quid mali a me designatum sit, quod istis placeo.* [*Ant. Meliss. Serm. de malis et improbis in Stobaeo Gesner. Francof. pag.* 64.]

4. Mali adulationibus cum deliniuntur, pejores evadunt. [*Ibid.*]

5. Senem peccantem ne moneas: veterem enim arborem transplantare difficile est. [*Ibid.*]

6. Antisthenes interrogatus, quamobrem opulenti sapientes non adirent, sed contra, dixit: *Quoniam sapientes quidem noverunt, quibus rebus ad vitam indigeant: illi vero nesciunt, aliter enim magis sapientiae quam pecuniae curam gererent.* [*Stob. Serm. III. de prudentia ibid. pag.* 79.]

7. Antisthenes dicebat, eas quae per fores non ingrederentur voluptates, necessario nec per fores iterum egredi: opus itaque fore aut secari aut veratro purgari. [*Stob. Serm. VI. de intemperantia p.* 127.]

8. Quisquis alios metuit, servus est, licet nesciat. [*Idem Serm. VIII. de timiditate pag.* 180.]

*) *Capita Stobaei citata sunt secundum editionem Tigurinam* 1558. *excusam, paginae vero secundum editionem Francofurt. Wechel. de anno* 1581. *in qua editione immixta sunt Antonii et Maximi capita* 80.

9. *Φιλάργυρος οὐδεὶς ἀγαθὸς, οὔτε βασιλεὺς, οὔτε ἐλεύθερος.* [*Στοβ. λόγ. περὶ ἀδικίας.*]

10. *Ἀντισθένης αἱρετώτερόν φησιν εἰς κόρακας ἐμπεσεῖν, ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα, οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαίνονται.* [*Στοβ. λόγ. περὶ κολακείας.*]

11. *Ἀντισθένης ἔλεγεν, ὥσπερ τὰς ἑταίρας τἀγαθὰ πάντα εὔχεσθαι τοῖς ἐρασταῖς παρεῖναι, πλὴν νοῦ καὶ φρονήσεως, οὕτω καὶ τοὺς κόλακας οἷς σύνεισι.* [*Ibid.*]

12. *Ἀντισθένης ἐρωτηθεὶς, τί ἐστιν ἑορτή; ἔφη· γαστριμαργίας ἀφορμή.* [*Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ ἀκρασίας καὶ γαστριμαργίας.*]

13. *Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸς τῶν πόνων.* [*Στοβ. λόγ. περὶ φιλοπονίας.*]

14. *Τότε τὰς πόλεις ἀπόλλυσθαι συμβαίνει, ὅταν μὴ δύνωνται οἱ κρατοῦντες τοὺς φαύλους ἐκ τῶν σπουδαίων διακρίνειν.* [*Ἀντων. λόγ. περὶ βασιλέως μὴ λίαν θαυμαζομένου.*]

15. *Ἀντισθένης ἐρωτηθεὶς, πῶς ἄν τις προσέλθοι πολιτείᾳ, εἶπε, καθάπερ πυρὶ, μήτε λίαν ἐγγὺς, ἵνα μὴ καῇς, μήτε πόῤῥω, ἵνα μὴ ῥιγώσῃς.* [*Στοβ. λόγ. περὶ τῶν ἐν ταῖς πόλεσι δυνατῶν.*]

16. *Ἀντισθένης ὁ Σωκρατικὸς, εἰπόντος τινὸς, ὅτι ὁ πόλεμος ἀπολλύει τοὺς πένητας, πολλοὺς μὲν οὖν ποιήσει, ἔφη.* [*Στοβ. λόγ. περὶ πολέμου.*]

17. *Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν. οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται.* [*Στοβ. λόγ. εἰς τὸ ἐναντίον περὶ γραμμάτων.*]

18. *Μανείην μᾶλλον ἢ ἡσθείην.* [*Sext. Empiric. adv. Math. Lib. XI.* §. 73. *pag.* 704. *ed. Fabric. et Pyrrh. Hypotyp. Lib. III.* §. 181. *et Diog. Laert. VI*, 3.]

19. *Πρὸς τὸ Ποντικὸν μειράκιον μέλλον φοιτᾷν αὐτῷ καὶ πυθόμενον, τίνων αὐτῷ δεῖ, φησὶ, βιβλιαρίου καινοῦ, καὶ γραφείου καινοῦ, καὶ πινακιδίου καινοῦ· τὸν νοῦν παρεμφαίνων.* [*Diogen. Laert. VI*, 3.]

9. Avarus nemo bonus neque rex neque liber esse potest. [*Stob. Serm. X. de injustitia pag.* 218.]

10. Antisthenes satius esse ait in corvos, quam in parasitos incidere. Hi enim viventis animum corrumpunt, illi solum mortui corpus. [*Stob. Serm. XIV. de adulatione pag.* 244.]

11. Antisthenes ajebat, ut meretrices bona omnia praeter mentem et prudentiam suis amatoribus imprecantur, eodem modo adulatores iis, quibuscum agunt. [*Ibid.*]

12. Antisthenes rogatus, quid festum esset, dixit: *ingurgitationis occasio.* (seu *gulae irritamentum.*) [*Anton. et Maxim. Serm. de gula seu gulositate p.* 299.]

13. Voluptates venari convenit, quae labores sequuntur, non illas, quae praecedunt. [*Stob. Serm. XXIX. de assiduitate.*]

14. Tum civitates interire solent, cum, qui imperant, improbos a probis discernere non possunt. [*Anton. Serm. de rege malo pag.* 520.]

15. Antisthenes interrogatus, quomodo ad rempublicam accedendum sit, respondit: *ut ad ignem: neque nimis prope, ut uraris, neque longius, ne frigeas.* [*Stob. Serm. XLIII. de potentibus in civitate.*]

16. Antisthenes Socraticus, cum quidam dixisset, pauperes interire in bello: *imo plures tum fiunt*, dixit. [*Stob. Serm. XLVIII. de bello pag.* 573.]

17. Contradicentem docere oportet, non contradicendo compescere. Nam neque insano, si vicissim insaniat, aliquis medebitur. [*Stob. Serm. LXXX. adversus literas pag.* 715.]

18. Insaniam potius, quam voluptati indulgeam.

19. Pontico adolescenti, cum se illi in disciplinam dare vellet, rogaretque, quibus sibi opus esset, *libello, inquit, novo, et stilo novo, novaque tabella*, vocem *καινοῦ* dispertiendo in *καὶ νοῦ*, mente maxime opus esse significans.

20. *Ἀκούσας ποτὲ, ὅτι Πλάτων αὐτὸν κακῶς λέγει, Βασιλικὸν, ἔφη, καλῶς ποιοῦντα κακῶς ἀκούειν.* [*Idem ibid.*]

21. *Μυούμενος ποτὲ τὰ Ὀρφικὰ, τοῦ ἱερέως εἰπόντος, ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν ᾅδου μετίσχουσι, τί οὖν, ἔφη, οὐκ ἀποθνήσκεις;* [*Idem ibid.* §. 4.]

22. *Ὀνειδιζόμενος ποτὲ, ὡς οὐκ εἴη ἐκ δύο ἐλευθέρων, οὐδὲ γὰρ ἐκ δύο, ἔφη, παλαιστικῶν, ἀλλὰ παλαιστικός εἰμι.* [*Idem ibid.*]

23. *Ἐρωτώμενος, διὰ τί ὀλίγους ἔχει μαθητὰς, ἔφη, ὅτι ἀργυρέᾳ αὐτοὺς ούκ ἐκβάλλω ῥάβδῳ.* [*Idem ibid.*]

24. *Ἐρωτηθεὶς, διὰ τί πικρῶς τοῖς μαθηταῖς ἐπιπλήττει, καὶ οἱ ἰατροὶ, φησὶ, τοῖς κάμνουσιν.* [*Idem ibid.*]

25. *Ἰδὼν ποτὲ μοιχὸν φεύγοντα, Ὦ δυστυχὴς, εἶπε, πηλίκον κίνδυνον ὀβολοῦ διαφυγεῖν ἐδύνασο.* [*Idem ibid.*]

26. *Ἐρωτηθεὶς, τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη, Εὐτυχοῦντα ἀποθανεῖν.* [*Idem ibid.* §. 5.]

27. *Γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυρομένου, ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκὼς, Ἔδει γὰρ, ἔφη, ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν ταῖς χάρταις γράφειν.* [*Idem ibid.*]

28. *Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.* [*Idem ibid.*]

29. *Τοὺς βουλομένους ἀθανάτους εἶναι ἔφη δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως.* [*Idem ibid.*]

30. *Ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς ἔφη τείχους ἰσχυροτέραν εἶναι.* [*Idem ibid.* §. 6.]

31. *Τοιαῦτα δεῖν ἔφη ποιεῖσθαι ἐφόδια, ἃ καὶ ναυαγήσαντι συγκολυμβήσει.* [*Idem ibid.*]

32. *Ὀνειδιζόμενος ποτὲ ἐπὶ τοῖς πονηροῖς συγγενέσθαι, Καὶ οἱ ἰατροὶ, φησὶ, μετὰ τῶν νοσούντων εἰσὶν, ἀλλ' οὐ πυρέττουσι.* [*Idem ibid.*]

33. *Ἄτοπον ἔφη, τοῦ μὲν σίτου αἴρας ἐκλέγειν, καὶ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς πονηροὺς μὴ παραιτεῖσθαι.* [*Idem ibid.*]

20. Cum audisset aliquando Platonem sibi maledicere: *Regium*, inquit, *est, male audire, cum bene feceris.*

21. Cum aliquando Orphicis mysteriis initiaretur, diceretque sacerdos, ejusmodi initiatos bonis plurimis apud inferos perfrui: *Cur igitur*, ait, *ipse non moreris?*

22. Probro ei dabatur aliquando, quod non esset ex duobus liberis genitus: *Neque*, inquit, *ex duobus luctatoribus, et tamen luctator sum.*

23. Interrogatus, cur paucos haberet discipulos, *Quod*, inquit, *argenteo calamo eos non extraham.*

24. Rogatus, cur in discipulos acriter inveheretur, *Et medici*, inquit, *in languidos.*

25. Cum vidisset aliquando fugientem moechum: *Oh*, inquit, *infelix, quantum periculi uno obolo vitare potuisti!*

26. Rogatus, quidnam apud homines esset beatissimum, *Felicem*, inquit, *mori.*

27. Familiari quodam apud se deplorante, quod perdidisset commentaria, *Oportebat*, inquit, *ista animo potius, quam chartis inscribere.*

28. Sicuti rubigo ferrum, ita invidiam invidos consumere ajebat.

29. Eos, qui cuperent immortales esse, oportere dicebat pie vivere ac juste.

30. Fratrum, qui essent concordes, convictum omni muro dixit esse fortiorem.

31. Ea dicebat paranda viatica, quae cum naufrago simul enatarent.

32. Probro illi dabatur aliquando, quod congrederetur malis. At medici, inquit, inter aegrotos versantur, neque tamen febricitant.

33. Absurdum esse dicebat triticum purgare lolio, exercitumque inutili milite, rem vero publicam malis non expurgare.

34. Ἐρωτηθεὶς, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν. [Idem ib.]

35. Εἰπόντος αὐτῷ τινος παρὰ πότον, Ἆισον, Σύ μοι, φησὶν, αὔλησον. [Idem ibid.]

36. Διογένει χιτῶνα αἰτοῦντι πτύξαι προσέταξε θοιμάτιον. [Idem ibid.]

37. Ἐρωτηθεὶς, τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, τὰ κακὰ ἀπομαθεῖν. [Idem ibid. §. 7.]

38. Παρεκελεύετο τοὺς κακῶς ἀκούοντας καρτερεῖν μᾶλλον, ἢ εἰ λίθοις τὶς βάλλοιτο. [Idem ibid.]

38. b. Ἔσκωπτε Πλάτωνα ὡς τετυφωμένον. πομπῆς οὖν γενομένης ἵππον θεασάμενος φρυακτὴν, φησὶ πρὸς τὸν Πλάτωνα· Ἐδόκεις μοι καὶ σὺ ἵππος ἂν εἶναι λαμπρυντής. τοῦτο δὲ (εἶπε), ἐπεὶ συνεχὲς ὁ Πλάτων ἵππον ἐπῄνει. [Idem ibid.]

39. Ἐλθών ποτε πρὸς Πλάτωνα νοσοῦντα, καὶ θεασάμενος λεκάνην, ἔνθα ὁ Πλάτων ἐμεμέκει, Χολὴν μὲν, ἔφη, ὁρῶ ἐνταῦθα, τύφον δὲ οὐχ ὁρῶ. [Idem ibid.]

40. Συνεβούλευεν Ἀθηναίοις, τοὺς ὄνους ἵππους ψηφίσασθαι, ἄλογον δὲ ἡγουμένων, Ἀλλὰ μὴν καὶ στρατηγοὶ, φησὶ, γίνονται παρ᾽ ὑμῶν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες. [Idem ibid. §. 8.]

41. Ἐρωτηθεὶς ὑπό του, τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο, ἔφη, Εἰ τὰ κακὰ, ἃ ἔχεις, ὅτι φευκτά ἐστι, μάθοις παρὰ τῶν εἰδότων. [Idem ibid.]

42. Πρὸς τὸν ἐπαινοῦντα τρυφὴν, Ἐχθρῶν παῖδες, ἔφη, τρυφήσειαν. [Idem ibid.]

43. Πρὸς τὸ παρασχηματίζον ἑαυτὸ τῷ πλάστῃ μειράκιον, Εἰπέ μοι, φησὶν, εἰ φωνὴν λάβοι ὁ χαλκὸς, ἐπὶ τίνι ἂν σεμνυνθῆναι; τοῦ δὲ εἰπόντος, Ἐπὶ κάλλει, Οὐκ αἰσχύνῃ οὖν, ἔφη, τὰ ὅμοια γεγηθὼς ἀψύχῳ; [Idem ibid. §. 9.]

44. Ποντικοῦ νεανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλομένου, εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταριχῶν, λαβὼν αὐτὸν καὶ θύλακον κενὸν, πρὸς ἀλφιτόπωλιν ἧκε, καὶ σαξάμενος ἀπῄει. τῆς δὲ αἰτούσης τὸ διάφορον, Ὁ νεανίσκος, ἔφη,

34. Interrogatus, quidnam ex philosophia lucratus esset, *Mecum*, ait, *colloqui posse.*

35. Cuidam sibi in convivio dicenti, Cane, *Tu mihi*, inquit, *tibias infla.*

36. Diogenem tunicam petentem pallium complicare jussit.

37. Interrogatus, quaenam esset disciplina maxime necessaria, Mala, inquit, dediscere.

38. Eos hortabatur, qui maledictis incesserentur, tolerare magis, quam si lapidibus se quispiam peteret.

38. b. Platonis deridens fastum cum in pompa equum videret superbe incedentem, *Egregie vero*, ad Platonem conversus dixit, *hujus partibus tute defungi potuisses.* Idque ajebat, cum Platonem equum illum commendantem audisset.

39. Venerat aliquando ad Platonem valetudine affectum, et eum vas cerneret, ubi Plato vomuerat, *Bilem*, inquit, *video, fastum vero non video.*

40. Atheniensibus consulebat, asinos ut equos decernerent esse. Quod cum illi ab omni ratione alienum dicerent, *At*, inquit, *apud vos duces quandoque fiunt, qui nihil didicerunt, solumque designati sunt.*

41. Interrogatus a quodam, quidnam faciendo bonus et honestus evaderet, *Si mala*, inquit, *quae habes, fugienda esse didiceris ab iis, qui noverunt.*

42. Cuidam delicias laudanti, *Inimicorum*, ait, *filii delicate vivant.*

43. Adolescenti, qui pulchriore, quam esset, forma se fingendum curabat a statuario, *Dic*, ait, *si vocem aes acciperet, quanam in re gloriaretur?* Illo dicente, *In pulchritudine*, *Non igitur*, inquit, *erubescis, qui similiter, ut inanimum, gaudes?*

44. Pontico adolescente pollicente, illum sibi fore curae, si navis, qua salsamenta vehebantur, adpelleret, sumpto illo et vase vacuo abiit ad illam, quae polentam venundabat, impletoque bene vase abibat. Illa

δώσει, ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται. [*Idem ibid.*]

45. Τὰ ἀρεσκόμενα.

Ἤρεσκεν αὐτῷ καὶ τάδε. — Διδακτὴν ἀπεδείκνυε τὴν ἀρετὴν καὶ τοὺς αὐτοὺς εὐγενεῖς τοὺς καὶ ἐναρέτους, αὐτάρκη γὰρ τὴν ἀρετὴν εἶναι πρὸς εὐδαιμονίαν, μηδενὸς προσδεομένην, εἰ μὴ Σωκρατικῆς ἰσχύος. — Τήν τε ἀρετὴν τῶν ἔργων εἶναι μήτε λόγων πλείστων δεομένην, μήτε μαθημάτων. αὐτάρκη τε εἶναι τὸν σοφὸν, πάντα γὰρ εἶναι αὐτοῦ τὰ τῶν ἄλλων. Τήν τε ἀδοξίαν ἀγαθὸν καὶ ἴσον τῷ πόνῳ. καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς· γαμήσειν τε τεκνοποιίας χάριν, ταῖς εὐφυεστάταις συνιόντα γυναιξί· καὶ ἐρασθήσεσθαι δὲ, μόνον γὰρ εἰδέναι τὸν σοφὸν, τίνων χρὴ ἐρᾶν..... τῷ γὰρ σοφῷ ξένον οὐδὲν, οὐδ᾽ ἄπο. ἀξιέραστος ὁ ἀγαθός. — Οἱ σπουδαῖοι φίλοι. — Συμμάχους ποιεῖσθαι τοὺς εὐψύχους ἅμα καὶ δικαίους. — Ἀναφαίρετον ὅπλον ἀρετή. — Κρεῖττόν ἐστι μετ᾽ ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς, ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους ἀγαθοὺς μάχεσθαι. — Προσέχειν δεῖν τοῖς ἐχθροῖς· πρῶτοι γὰρ τῶν ἁμαρτημάτων αἰσθάνονται. — Τὸν δίκαιον περὶ πλείους ποιεῖσθαι τοῦ συγγενοῦς. — Ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή. — Τἀγαθὰ καλὰ, τὰ κακὰ αἰσχρά. — Τὰ πονηρὰ πάντα νόμιζε ξενικά. — Τεῖχος ἀσφαλέστατον φρόνησιν εἶναι· μήτε γὰρ καταῤῥεῖν, μήτε προδίδοσθαι. — Τείχη κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λογισμοῖς. [*Idem ibid.* §. 11. 12. 13.]

46. Καλῶς Ἀντισθένης ἀκούσας, ὅτι σπουδαῖός ἐστιν αὐλητὴς ὁ Ἰσμηνίας, Ἀλλ᾽ ἄνθρωπος, ἔφη, μοχθηρός, οὐ γὰρ ἂν οὕτω σπουδαῖος ἦν αὐλητής. [*Plutarchus in Pericle init.*]

47. Τὸ δὲ τοῦ Ἀντισθένους οὐκ ἐπαινεῖς; πρὸς τὸ εἰπόντα, ὅτι Φρυγία σοῦ ἐστὶ ἡ μήτηρ, Καὶ γὰρ ἡ τῶν θεῶν. [*Idem de exilio circa finem Tom. II. pag.* 607. *ed. Paris. in fol.*]

vero pretium petente, *Hic*, inquit, *adolescens dabit, ubi salsamentorum ipsius navis adpulerit.*

45. **Placita Antisthenis.**

Quae autem illi placuere, ista sunt. — Doctrina acquiri posse virtutem monstrabat. Eosdem esse nobiles ac virtute praeditos; sufficere enim virtutem ad beatam vitam, nullo indigentem, nisi Socratis viribus. Virtutem quoque operum esse, neque verbis multis neque disciplinis indigentem: sapientem se ipso contentum esse; ipsius enim esse, quae aliorum sunt, omnia. Gloriae privationem bonum esse, et labori similem. Sapientem non secundum constitutas leges victurum, sed juxta virtutis normam: ducturumque uxorem procreandorum liberorum caussa, et formosissimis quibusque congressurum mulieribus; solum quippe scire sapientem, quaenam sit amanda...... Sapienti peregrinum nihil neque extraneum. — Maxime dignus est, qui ametur, vir bonus. Virtute praediti amici. — Belli socios faciendos, qui animosi et justi sint. — Virtutem arma esse, quae tolli non possint. — Praestare cum paucis fortibus adversus imbelles multos, quam cum multis imbellibus adversus paucos fortes pugnare. — Sollicite observandos inimicos; primi enim peccata sentiunt. — Justum virum pluris faciendum, quam propinquum. — Viri et mulieris virtus eadem. — Pulchra esse, quae bona, turpia, quae mala. — Prava omnia aliena puta atque peregrina. — Murum tutissimum prudentiam esse, neque enim decidere, neque proditione perdi. — Moenia struenda in animi placitis, quae capi non possunt.

46. Praeclare Antisthenes, cum insignem tibicinem esse audivisset Ismeniam, *At homo*, inquit, *pravus est, alioqui tibicen non tam sit insignis.*

47. Annon laudas Antisthenis dictum, qui objicienti, matrem ipsius Phrygiam fuisse, respondit, *etiam deorum matrem Phrygiam fuisse.*

48. *Δεῖ κτᾶσθαι νοῦν ἢ βρόχον.* [*Idem de Stoic. Repugn. pag.* 1059.]

49. *Ἔσκωπτε Πλάτωνα ὡς τετυφωμένον. πομπῆς οὖν γινομένης ἵππον θεασάμενος φρυακτὴν, φησὶ πρὸς τὸν Πλάτωνα, Ἐδόκεις μοι καὶ σὺ ἵππος ἂν εἶναι λαμπρυντής· τοῦτο δὲ, ἐπεὶ συνεχὲς ὁ Πλάτων ἵππον ἐπῄνει.* [*Diog. Laert. VI.* ζ.]

50. *Ἀντισθένης ὁ φιλόσοφος τοὺς δημίους εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων· πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη· ὅτι ὑπὸ μὲν τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται, ὑπὸ δὲ τῶν τυράννων οἱ μηδὲν ἁμαρτάνοντες.* [*Στοβ. λόγ. μζ. περὶ ψόγου τῆς τυραννίδος.*]

51. *Ἀντισθένης ἔλεγεν, ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθὰ παρεῖναι χωρὶς ἀνδρείας. γίνεται γὰρ οὕτως οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων.* [*Στοβ. λόγ. νβ. περὶ στρατηγῶν.*]

52. *Ἀντισθένης ὁ Σωκρατικὸς ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ὁρῶν τοὺς Θηβαίους μέγα φρονοῦντας, οὐδὲν αὐτοὺς ἔφη διαφέρειν παιδαρίων ἐπὶ τῷ συγκόψαι τὸν παιδαγωγὸν γαυριώντων.* [*Plutarch. in Lycurg. pag.* 58. *F.*]

53. *Ἀντισθένης ἔλεγε τὰ τείχη τῶν πόλεων εἶναι σφαλερὰ πρὸς τὸν ἔσω προδότην, ἀσάλευτα δὲ τὰ τῆς ψυχῆς καὶ ἀῤῥαγῆ.* [*Epiphanius in Neandri Op. aur. pag.* 700.]

54. *Ἀντισθένης δυσβάστακτον εἶπεν εἶναι τὸν ἀστεῖον. ὡς γὰρ ἡ ἀφροσύνη κοῦφον καὶ φερόμενον, ἡ φρόνησις ἐρηρεισμένον καὶ ἀκλινὲς καὶ βάρος ἔχον ἀσάλευτον.* [*Philo Jud. in libro, quod omnis probus liber, Opp. pag.* 869. *ed. Hoeschel.*]

55. *Ἐτελεύτησε ἀῤῥωστίᾳ, ὅτε καὶ Διογένης εἰσιὼν πρὸς αὐτὸν, ἔφη· Μή τι χρεία φίλου; καί ποτε παρ' αὐτὸν ξιφίδιον ἔχων εἰσῆλθε· τοῦ δὲ εἰπόντος, Τίς ἂν ἀπολύσῃ με τῶν πόνων; δείξας τὸ ξιφίδιον ἔφη· Τοῦτο. καὶ ὅς, Τῶν πόνων, εἶπεν, οὐ τοῦ ζῆν· ἐδόκει γάρ πως μαλακώτερον φέρειν τὴν νόσον ὑπὸ φιλοζωΐας.* [*Laert. II,* 18.]

ΔΙΟΓΕΝΟΥΣ.

Ἐπεὶ ὁ Ἀντισθένης πολλοὺς προὔτρεπεν ἐπὶ φιλοσοφίαν,

48. Aut mens paranda, aut laqueus.

49. Platonis deridens fastum, cum in pompa equum videret superbe incedentem, Egregie vero, ad Platonem conversus dixit, hujus partibus tute defungi potuisses. Idque ajebat, cum Platonem equum illum commendantem audisset.

50. Antisthenes philosophus carnifices tyrannis in pietate praeferebat: cujus causam interroganti cuidam respondit: A carnifice quidem homines injusti interimuntur, a tyranno autem etiam insontes. [*Stob. Serm. XLVII. vituperium tyrannidis.*]

51. Inimicis omnia bona, sola fortitudine excepta, optanda esse dicebat Antisthenes: sic enim ea non possidentium, sed vincentium fore. [*Stob. Serm. LII. de imperatoribus.*]

52. Antisthenes Socraticus Thebanos elatis ob Leuctricam pugnam animis esse videns, nihil inter eos et pueros interesse, dixit, quod praeceptorem occidissent, exsultantes.

53. Antisthenes dixit, urbium moenia infirma esse contra proditores internos: animi autem murum aheneum neque concutiendum neque diffringendum.

54. Antisthenes bene dixit, virum bonum molestam esse sarcinam. *Nam sicut insipientia bene fertur et leviter, sic prudentia graviter incumbens premit vehementer suopte pondere, nec facile potest excuti.*

55. Morbo interiit. Ad decumbentem Diogenes veniens, *num opus amico haberet,* interrogavit. Vicissim cum sica ad eundem ingressus est, atque inclamante Antisthene, *Quis me ab isto liberabit dolore?* Diogenes, sica ostensa, *Haec liberabit,* dixit. Cui Antisthenes: *A dolore inquam quis me liberabit, non a vita?* Nempe mollius aliquanto ferre morbum videbatur vitae amore.

DIOGENIS.

Quum Antisthenes multos ad philosophiae studium

οἱ δὲ οὐδὲν αὐτῷ προσεῖχον, τέλος ἀγανακτήσας, οὐδένα προςίετο. Καὶ Διογένην οὖν ἤλαυνεν ἀπὸ τῆς συνουσίας αὐτοῦ. Ἐπεὶ δὲ ἦν λιπαρέστερος ὁ Διογένης, καὶ ἐνέκειτο, ἐνταῦθα ἤδη καὶ τῇ βακτηρίᾳ καθίξεσθαι αὐτοῦ ἠπείλει· καί ποτε καὶ ἔπαισε κατὰ τῆς κεφαλῆς. Ὁ δὲ οὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι μᾶλλον ἐνέκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν καὶ ἔλεγε· Σὺ μὲν παῖε, εἰ βούλει, ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλήν· καὶ οὐκ ἂν οὕτως ἐξεύροις βακτηρίαν σκληρὰν, ὥστε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν. Ὁ δὲ ὑπερησπάσατο αὐτόν. [*Aelianus Var. Hist. Lib. X. Cap. XVI. p.* 127. *ed. Corai.*]

Λείψανα ἐκ τῶν διατριβῶν.

1. Πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους, ἢ λυπεῖν τοὺς πειραθέντας· ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥστε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον, οἱ μὲν ἐν νηῒ χειμαζόμενοι οὐ περιμείναντες καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς ἀποσφάξαντες. [Στοβ. λόγ. περὶ δειλίας.]

2. Ἡ τοίνυν δικαιοσύνη πολλὴν ἔχει ῥᾳστώνην τῇ ψυχῇ· τὸ γὰρ μηδένα μήτε φοβούμενον μήτε αἰσχυνόμενον ζῇν ἡδονή τις ἐστὶ καὶ ἱκανότης τῷ βίῳ. Ὁ δὲ δικαιοσύνην ἔχων ἐν τῇ ψυχῇ οὐ μόνον τοῖς ἄλλοις ὠφέλιμός ἐστιν, ἀλλὰ πολλῷ μάλιστα αὐτὸς αὐτῷ· οὐ γὰρ πειράσεται αὐτὸν ἀδικεῖν, οὐδὲ καθ' ἓν μέρος; οὐδὲ γὰρ λύπης αὐτῷ αἴτιός ἐστιν, οὐδὲ νόσου, ἀλλὰ τὰ αἰσθητήρια τὰ τῆς φύσεως θεοὺς ὑπολαμβάνων εἶναι, δικαίως χρήσεται αὐτοῖς, οὐδὲν μὲν ὑπὲρ τὴν δύναμιν πράττων, φυλάττων δὲ τὰ μάλιστα καὶ ἡδονὰς καὶ ὠφελείας λαμβάνων διὰ τούτων. Καὶ γὰρ ἀπὸ ἀκοῆς καὶ ἀπὸ ὁράσεως καὶ ἀπὸ τῆς τροφῆς καὶ ἀπὸ τῶν ἀφροδισίων ἡδοναὶ ἔσονται τῷ δικαίως ἑαυτῷ χρωμένῳ· τῷ δὲ μὴ δικαίως ἑαυτῷ χρωμένῳ καὶ κίνδυνοι γίνονται περὶ τὰ πλείστου ἄξια καὶ ἀναγκαιότατα. Ἢ οὐχ ἑώρακας τὴν ψυχὴν ταραττομένους καὶ νυκτὸς καὶ ἡμέρας, καὶ εἰς τὴν θάλασσαν ἑαυτοὺς ῥιπτοῦντας εἰκῇ, καὶ εἰς ῥέεθρα; [Στοβ. λόγ. περὶ δικαιοσύνη.]

cohortaretur, illi vero parum ei attenderent, tandem indignatus neminem admisit. Quare et Diogenem a suo convictu repulit. Quum vero magis assiduus adesset ei Diogenes et inhaereret, tum vero minatus etiam est se baculo illum percussurum, et aliquando etiam percussit in caput. At ille non recessit, sed etiam magis institit studiose audire eum desiderans, et dixit: *Tu percute modo, si vis, at ego caput tibi praebebo, neque enim tam durum inveneris fustem, ut me a tuis dissertationibus abigas.* Ille vero ex eo tempore maximo illum amore amplectebatur.

Ex Diatribis quae supersunt.

1. Omnia sane mala plus terrere solent eos, qui ipsa futura exspectant, quam, ubi jam acciderint, molestare. Metus autem tam improbus est, ut multi rem, quam metuunt, ipsimet anticipent, ut, qui in navi tempestate periclitantur, non exspectata submersione maris, manum sibi prius inferunt. [*Stobaeus Serm. VIII. de timiditate p.* 180.]

2. Itaque justitia multam adfert animo tranquillitatem. Neminem enim timentem nec erubescentem vivere voluptas quaedam est et quasi sufficientia sive perfectio vitae. Ceterum qui justitiam animo complectitur, non solum aliis utilis est, sed etiam ipsi sibi. Non enim conabitur ulla ex parte se ipsum offendere, neque ullius sibi doloris aut morbi auctor erit, sed naturae instrumenta sensibus destinata deos existimans esse, juste ipsis utetur, et ne quid supra ipsorum vires agat, maxime cavens, voluptatem utilitatemque ex illis capiet. Etenim ab auditu, visu, alimentis et venere contingent voluptates ei, qui se ipso juste usus fuerit. Qui autem se ipso non juste usus fuerit, illi pericula circa maximi momenti et omnino necessarias res contingunt. Annon vidisti, quosdam noctes diesque animo perturbatos in mare fluviosque tandem temere se praecipitasse? [*Stob. Serm. IX. de justitia.*]

3. Ὥσπερ οὖν τοῦ Ποντικοῦ μέλιτος γεύσασθαι ἐπιχειροῦσιν οἱ ἄπειροι, γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν, δυςχεράναντες ὅτι πικρόν ἐστι καὶ ἀηδὲς, οὕτω καὶ τοῦ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην, ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευγον· καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων, αὐτοὶ δὲ ἐφοβοῦντο καὶ ἀνεχώρουν, καὶ εἰ μὲν ἔσκωπτε καὶ ἔπαιζεν, ὥσπερ εἰώθει, ὑπερφυῶς ἔχαιρον, ἀνατεινομένου δὲ καὶ σπουδάζοντος οὐχ ὑπέμειναν τὴν παῤῥησίαν. [Στοβ. λόγ. περὶ παῤῥησίας.]

4. Ἐπ' αὐτόν γε τὸν Ἀντισθένην παραβάλλων πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον· καὶ ἔφη αὐτὸν μὲν εἶναι σάλπιγγα λοιδόρων· αὐτοῦ γὰρ οὐκ ἀκούειν φθεγγομένου μέγιστον. Καὶ Ἀντισθένης ἀμυνόμενος ἀντὶ τῆς σάλπιγγος σφηκὶν ὅμοιον αὐτὸν εἶπε· καὶ γὰρ τῶν σφηκῶν τὸν μὲν ψόφον τῶν πτερῶν εἶναι μικρὸν, τὸ δὲ κέντρον δριμύτατον. Ἔχαιρεν οὖν τῇ παῤῥησίᾳ τοῦ Διογένους. [*Ibid.*]

5. Δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων ὁ μὲν βίος ἀμείνων, ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος· οἱ δ' αὖ κακῶς ζῶντες, τὸν μὲν βίον δυσχερέστερον φέρουσι, τὸν δὲ θάνατον ἥδιον προσδέχονται. τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα ἢ τοῖς ἄλλοις· ζῶσι γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ ἐπιθυμούντων τεθνάναι· τὸν δὲ θάνατον οὕτω δεδοίκασιν, ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ. [Στοβ. λόγ. μζ. περὶ ψόγου τυραννίδος.]

ΤΟΥ ΑΥΤΟΥ ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ.

(Ἐκ διαφόρων συλλεγέντα.)

6. Πυνθανομένου τινὸς, πῶς ἄν τις ἑαυτοῦ γένοιτο, Εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις, ἔφη, καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα. [Στοβ. λόγ. α. περὶ ἀρετῆς.]

7. Ὀνειδίσαντος αὐτῷ τινος, ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη· Καὶ ὁ ἥλιος, ἀλλ' οὐ μιαίνεται. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ βίου ἀρετῆς καὶ κακίας.]

3. Ut ignari nonnulli mel Ponticum gustare volunt, gustatum, ceu amaro et minime dulci succensentes, illico respuunt, sic aliqui curiosi Diogenis periculum facere volebant, a quo redarguti, statim tergo dato fugiebant. Conviciis quidem in alios jactatis delectati, sibi solum metuentes retrocedebant. Nam si dicteriis et ridiculis pro more suo luderet, perquam gaudebant, serio autem agente illo, libertatem hominis sustinere nequibant. [*Stob. Serm. XIII. de dicendi libertate.*]

4. Diogenes quondam in Antisthenem incidens reprehendit ipsum, ut in dicendo, quam par esset, remissiorem, indeque illum (per ironiam) tubam dixit conviciatorum, ut qui, cum maxime clamaret, aegre intelligi posset. Antisthenes igitur convicium ulturus similem ipsum vespae ajebat esse, cujus aculeus sit acerrimus, magnum licet alis non excitet strepitum. Admodum vero Diogenis in dicendo libertate delectabatur. [*Ib.*]

5. Hominibus fortunatis vita videtur esse melior et idcirco mors eis est molestior. Infortunati contra vitam ferunt aegrius, mortem libentius suscipiunt. Tyrannis autem utrumque difficilius est, quam reliquis. Vivunt enim multo injucundius quam illi, qui mori vehementer expetunt, mortem vero tam timent, quam qui jucundissimam agunt vitam. [*Stob. Serm. XLII. de vituperio tyrannidis p.* 505.]

EIUSDEM SENTENTIAE ET APOPHTHEGMATA.

(Ex diversis scriptoribus collecta.)

6. Sciscitante quodam, quo pacto quis sibi praeceptor esse queat, respondit: *Si ea, ob quae alios increpet, etiam sibi potissimum objiciat.* [*Stob. Serm. I. de virtute p.* 4.]

7. Cum quidam ei ut probrum objiceret, quod in loca impura intraret, *Etiam Sol*, inquit, *intrat nec contaminatur.* [*Anton. et Maxim. Serm. de vitae virtute et vitio p.* 35.]

8. Ἡμέρας ποτὲ λύχνον ἅψας περιῄει· πυνθανομένων δέ τινων, πρὸς τί τοῦτο; ἔλεγεν, ἄνθρωπον ζητεῖν. [Ἐκ τῶν αὐτῶν λόγ. ὅτι εὔκολος ἡ κακία.]

9. Διογένης ἐνουθέτει τινὰ πονηρόν· ἐρωτώμενος δὲ ὑπό τινος, τί τοῦτο ποιεῖς; ἔφη· Αἰθίοπα σμήχω, ἵνα λευκὸν ποιήσω. [Ἐκ τῶν αὐτῶν λόγ. περὶ κακῶν καὶ μοχθηρῶν ἀνδρῶν.]

10. Οἱ μὲν ἰατροὶ τὰς τῶν ἐκλεικτῶν φαρμάκων πικρίας μέλιτι, οἱ δὲ σοφοὶ τὰς τῶν δυσκολωτέρων ἀνθρώπων ὁμιλίας ἱλαρότητι γλυκαίνουσιν. [*Ibid.*]

11. Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι, ὁ δέ· Ἀνόητος μὲν οὐκ εἰμὶ, τὸν δὲ αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω. [Στοβ. λόγ. β. περὶ φρονήσεως.]

12. Πωλούμενος ἐν Κορίνθῳ, ἐρομένου τοῦ κήρυκος, τί ἐπίστασαι; ἀνθρώπων, ἔφη, ἄρχειν. Καὶ ὁ κήρυξ γελάσας, μέγα ἐπιτήδευμα πωλῶ, εἴ τις θέλει πρίασθαι κύριον. [*Ibid.*]

13. Ἐπεὶ δὲ, ἐν τῇ στοᾷ ἀνάπαλιν περιπατοῦντος αὐτοῦ, ἐγέλων τινές· Εἶτ' οὐκ αἰσχύνεσθε, εἶπεν, ὑμεῖς τὴν ἐν τῷ βίῳ ὁδὸν ἀνάπαλιν πορευόμενοι, ἐμοῦ τὴν ἐν τῷ περιπατεῖν κατεγνωκότες; [Στοβ. λόγ. δ. περὶ ἀφροσύνης.]

14. Διογένης ἔλεγε, τοὺς ἀνθρώπους τὰ μὲν πρὸς τὸ ζῆν πορίζεσθαι, τὰ δὲ πρὸς τὸ εὖ ζῆν οὐ πορίζεσθαι. [*Ib.*]

15. Διογένης ἔλεγε, διαπαλαίοντας μὲν πολλοὺς ὁρᾷν καὶ διατρέχαντας, διακαλοκαγαθιζομένους δὲ οὔ. [*Ibid.*]

16. Δεινὸν ἔλεγεν ὁ Διογένης, εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦσιν, οἱ μὲν τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος· σωφροσύνης δ' ἕνεκα οὐδεὶς τούτων καταφρονήσει. [Στοβ. λόγ. ε. περὶ σωφροσύνης.]

17. Ὁ Διογένης τοὺς πολλοὺς ἔφασκεν ζῶντας μὲν ἑαυτοὺς σήπειν λουτροῖς τέγγοντας καὶ ἀφροδισίοις τήκον-

8. Lucerna interdiu accensa oberrabat, et quibusdam quaerentibus, quid ageret, respondit, se quaerere hominem. [*Iidem Serm. malitiam esse facilem p.* 59.]

9. Diogenes improbum quendam monebat, interrogatus autem, quorsum id ageret, *Aethiopem*, inquit, *abstergo, ut candidum reddam.* [*Iidem Serm. de hominib. malis p.* 64.]

10. Medici amaris medicamentis, quae lingendo sumuntur, mellis nonnihil adhibent, ut dulciora faciant: sic sapientes difficiliorum hominum congressiones hilaritate molliunt. [*Ibid.*]

11. Diogenem quidam amentem vocabat, cui ille: *Amens quidem non sum, non tamen eandem, quam vos, mentem habeo.* [*Stob. Serm. II. de prudentia p.* 83.]

12. Idem in Corintho vendendus, interrogante praecone, quidnam calleret, respondit; *hominibus imperare.* Risit praeco, et, Magnum, dixit, artificium vendo, si quis sibi dominum velit emere. [*Ibid.*]

13. Cum in porticu quadam retrorsum incederet, ridentibus nonnullis, Non vos, inquit, pudet, vivendi iter facere retrogradum, mihi vero deambulando tantum id facienti vitio dare. [*Stob. Serm. IV. de imprudentia p.* 101.]

14. Diogenes ajebat, de necessariis quidem ad vivendum homines sibi prospicere; quae vero ad bene honesteque vivendum pertinent, non comparare. [*Ibid.*]

15. Diogenes dicebat, se multos quidem videre colludentes, colluctantes et discursantes: nullos autem, qui de virtute comparanda concertarent. [*Ibid. p.* 103.]

16. Indignum esse ajebat Diogenes, athletas et citharoedos ventre et voluptatibus superiores esse: hos vocis, illos corporis gratia: propter temperantiam vero neminem ista contemnere. [*Stob. Serm. V. de temperantia p.* 114.]

17. Diogenes dicebat, plerosque vivos quidem se ipsos putrefacere balneis humectantes et rebus venereis

τας, ἀποθνήσκοντας δ' ἐν θυμιάμασι τὸ σῶμα κελεύειν ἀποτίθεσθαι, τοὺς δ' ἐν μέλιτι ὑπὲρ τοῦ μὴ ταχέως κατασαπῆναι. [Στοβ. λόγ. ς. περὶ ἀκολασίας.]

18. Διογένης ἔλεγεν τῶν οἴκων, ἔνθα πλείστη τροφὴ, πολλοὺς μῦς εἶναι καὶ γαλᾶς· καὶ δὴ σώματα, τὰ πολλὴν τροφὴν δεχόμενα, καὶ νόσους πολλὰς ἐφέλκεσθαι. [Ibid.]

19. Διογένης πρός τινα νέων περιττῶς καλλωπιζόμενον, Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἶπεν, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. [Ibid.]

20. Διογένης κατεγέλα τῶν τὰ μὲν ταμιεῖα κατασημαινομένων μοχλοῖς καὶ κλεισὶ καὶ σημάντροις, τὸ δὲ σῶμα τὸ αὑτῶν πολλαῖς θυρίσι καὶ θύραις ἀνοιγόντων διὰ τοῦ στόματος καὶ αἰδοίων καὶ ὤτων καὶ ὀφθαλμῶν. [Ibid. ἐκ τῶν Σερίνου.]

21. Διογένης, Παρὰ μὲν τῶν θεῶν, φησὶν, ὑγιείαν εὔχονται, πάντα δὲ οἱ πλεῖστοι τἀναντία τῇ ὑγιείᾳ πράττουσι. [Ibid.]

22. Διογένης οὐδὲν εὐωνότερον εἶναι μοιχοῦ διωρίζετο, τὴν ψυχὴν τῶν δραχμῆς ὠνίων προϊεμένου. [Ibid.]

23. Διογένης ἐσθίειν ἔλεγε τοὺς ἀνθρώπους τοῦ ἥδεσθαι ἕνεκα, ἀποπαύεσθαι δὲ αὐτοῦ τούτου χάριν μὴ ἐθέλειν. [Ibid.]

24. Ὁ Διογένης καθαρὸν λαβὼν ἄρτον, ἐξέβαλε τῆς πήρας τὸν αὐτόπυρον, εἰπών· Ὦ ξένε, τυράννοις ἐκ ποδῶν μεθίστασο. [Στοβ. λόγ. ιζ. περὶ ἐγκρατείας.]

25. Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη ἱστάντας, Ὦ μοχθηροὶ, εἶπε, μὴ τοῦ μεγέθους προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτῶν στησομένων. [Στοβ. λόγ. ζ. περὶ ἀνδρείας.]

26. Διογένης οὐδένα καλὸν ἔφησεν εἶναι πόνον, οὗ μὴ τέλος εἴη εὐψυχία καὶ τόνος ψυχῆς, ἀλλ' οὐχὶ σώματος. [Ibid.]

27. Διογένης ὡμοίου τοὺς φιλαργύρους τοῖς ὑδρωπικοῖς· ἐκείνους μὲν γὰρ πλήρεις ὄντας ἀργυρίου ἐπιθυμεῖν πλείο-

tabefacientes, morientes autem demum mandare, corpus in suffimentis aromaticis recondi, alios etiam in melle, ne cito computrescant. [*Stob. Serm. VI. de intemperantia p.* 127.]

18. Diogenes ajebat, earum domorum, in quibus copia alimenti, multos esse mures et mustelas: sic etiam corpora, quae multum cibi capiant, multos etiam morbos adsciscere. [*Ibid.*]

19. Diogenes ad quendam juvenem supra modum sese comentem, *Si quidem*, inquit, *ob viros, infelix es: sin ob mulieres, injurius.* [*Ibid.*]

20. Diogenes irridebat eos, qui cellas promptuarias obserant vectibus et seris et signaculis, corpus autem suum multis fenestris et januis aperiunt per os et pudenda et aures et oculos. [*Ibid. ex Serino p.* 129.]

21. Diogenes, *A diis quidem*, ait, *sanitatem precantur: omnia autem plerique contra quam valetudini conducat, faciunt.* [*Ib. p.* 130.]

22. Diogenes nihil vilius constare adultero definiit, qui vitam profundit ob res drachma venales. [*Ibid. p.* 131.]

23. Diogenes dicebat, edere homines, ut voluptate fruantur, nolle autem desinere eam ipsam ob rem. [*Ibid.*]

24. Diogenes panem album nactus e pera cibarium ejecit hunc versum proloquens: *Hospes, tyrannis e via decedito.* [*Stob. Serm. XVII. de continentia.*]

25. Diogenes cernens, Megarenses longos muros educere, *O vos*, inquit, *nequissimi, non molem murorum curate, sed eos, qui super muris collocabuntur.* [*Idem Serm. VII. de fortitudine p.* 169.]

26. Diogenes nullum bonum dixit esse laborem, cujus finis non sit magnanimitas, et intentio firmitasque animae, non autem corporis. [*Ibid.*]

27. Diogenes avaros hydropicis comparabat: illos enim argento plenos, hos autem refertos aqua amplius

νος, τούτους δὲ ὕδατος· ἀμφοτέρους δὲ πρὸς κακοῦ, ἐπιτείνεσθαι γὰρ μᾶλλον τὰ πάθη, ὅσῳ τὰ ἐπιθυμούμενα παρίζεται. [Στοβ. λόγ. ι. περὶ ἀδικίας.]

28. Διογένης ὁ κύων θεασάμενός τινα πλουσίας γραίας προσποιούμενον ἐρᾷν, ἔφη· Ταύτῃ οὐ τὸν ὀφθαλμὸν, ἀλλὰ τὸν ὀδόντα ἐπιβέβληκε. [*Ibid.*]

29. Διογένης τοὺς μεγάλα καὶ ἀθρόα λαμβάνοντας μεγαλοπτώχους ἐκάλει. [*Ibid.*]

30. Διογένης ἐρωτηθεὶς, ποῖα εἴη θηρία χαλεπώτερα, εἶπεν· Ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ πλεονεξίας.]

31. Διογένης ὁ Κυνικὸς φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, ὅτι πολλοὺς ἐπιβούλους ἔχει. [Ἀντων. λόγ. περὶ φιλαργυρίας.]

32. Τὴν ἐπιτίμησιν ὁ Διογένης ἀλλότριον ἀγαθὸν ἔλεγεν εἶναι. [*Ibid.*]

33. Ὁ Διογένης ἔλεγεν, ὅτι οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν· ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω. [*Ibid.*]

34. Διογένης ἤρετο Πλάτωνα, εἰ Νόμους γράφει· ὁ δὲ ἔφη. „Τί δαὶ Πολιτείαν ἔγραψας; Πάνυ μὲν οὖν. Τί οὖν ἡ πολιτεία νόμους οὐκ εἶχεν; Εἶχεν. Τί οὖν ἔδει σε πάλιν Νόμους γράφειν;“ [*Ibid.*]

35. Θεμίστιος ἐν τῷ περὶ τῆς ψυχῆς.

Εἰ μὲν οὖν ὀρθῶς ἐπὶ Πλάτωνος εἶπε Διογένης· „Τί δὲ ὄφελος ἡμῖν ἀνδρὸς, ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν οὐδένα λελύπηκεν;“ ἕτεροι κρίνωσιν, ἴσως γὰρ ὡς τὸ μὲν δεῖ τὸν λόγον τοῦ φιλοσόφου τὸ γλυκὺ δηκτικὸν ἔχει τῶν ἡλκωμένων. [*Ibid.*]

36. Νεκρὸν ἰατρεύειν, καὶ γέροντα νουθετεῖν, ταυτόν ἐστι. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ νουθεσίας.]

desiderare, idque utrosque in sui perniciem. Affectiones enim ipsis eo magis intenduntur, quo magis desiderata consequuntur. [*Stob. Serm. X. de injustitia p.* 218.]

28. Diogenes Cynicus cum vidisset quendam opulentam anum amare simulantem, dixit: *Hic amatae non oculum, sed dentem injecit.*

29. Diogenes magna et multa simul accipientes Insignimendicos appellabat. [*Ibid.*]

30. Diogenes interrogatus, quaenam essent ferae pessimae, dixit: *In montibus ursi et leones, in civitatibus vero publicani et sycophantae.* [*Anton. et Max. Serm. de lucri cupiditate pag.* 226.]

31. Diogenes Cynicus philosophus interrogatus a quodam, cur aurum palleret, dixit: *Quoniam insidiatores multos habet.* [*Anton. Serm. de avaritia p.* 127.]

32. Reprehensionem Diogenes *alienum bonum esse* dicebat. [*Ibid. p.* 250.]

33. Diogenes ajebat: *Canes quidem caeteri inimicos mordent: ego vero amicos, ut incolumes servem.* [*Ibid.*]

34. Diogenes interrogabat Platonem, num Leges scriberet. Annuebat ille. Nonne rempublicam quoque scripsisti? Scripsi. Ea vero respublica leges non habebat? Habebat. Quorsum igitur te denuo leges scribere attinebat?

35. Themistii ex libro de anima.

Penes alios judicium esto, an recte de Platone Diogenes his verbis usus sit. „*Quae tandem utilitas nobis esse potest ejus viri, qui diu jam philosophatus nemini molestus fuit?*“ Sensit nimirum, etiam philosophicam orationem tali esse dulcedine temperatam debere, quae mordeat exulceratos. [*Ibid. p.* 251.]

36. Mortuo datam medicinam et seni admonitionem dixit idem prodesse. [*Anton. et Max. Serm. de admonitione p.* 254.]

37. Λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη· Σὺ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακὸν ἐξέφυγον κράνειον. [Οἱ αὐτοὶ λόγ. περὶ ψόγου καὶ διαβολῆς.]

38. Προδότου τινὸς κακῶς αὐτὸν λέγοντος, ἔφη· Χαίρω ἐχθρός σου γενόμενος· σὺ γὰρ οὐ τοὺς ἐχθροὺς, ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς. [*Ibid.*]

39. Διογένης πρὸς τὸν λοιδορούμενον αὐτῷ· Ἀλλ' οὔτε ἐμοὶ, ἔφη, πιστεύει τὶς εὐφημοῦντι σὲ, οὔτε σοὶ ἐμὲ βλασφημοῦντι. [Οἱ αὐτοὶ λόγ. περὶ καταλαλούντων.]

40. Διογένης ἄσωτον ᾔτει μνᾶν· τοῦ δὲ εἰπόντος, διὰ τί τοὺς ἄλλους τριόβολα, ἐμὲ δὲ μνᾶν ζητεῖς; ἔφη· Παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν λαβεῖν, παρὰ δὲ σοῦ οὐκέτι. [Στοβ. λόγ. ιέ. περὶ ἀσωτίας.]

41. Ἀλέξανδρος ὁ βασιλεὺς πληρώσας ποτὲ ὀστέων πίνακα, ἔπεμψε Διογένῃ τῷ Κυνικῷ φιλοσόφῳ. Ὁ δὲ λαβὼν εἶπεν· Κυνικὸν μὲν τὸ βρῶμα, οὐ βασιλικὸν δὲ τὸ δῶρον. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ εὐεργεσίας.]

42. Ὁ αὐτὸς εἶπεν, τῆς αὐτῆς ἁμαρτίας εἶναι τὸ διδόναι οἷς μὴ δεῖ, καὶ τὸ μὴ διδόναι οἷς δεῖ. [*Ibid.*]

43. Διογένης ἐρωτηθεὶς ὑπό τινος, διὰ τίνα αἰτίαν οἱ ἄνθρωποι τοῖς μὲν προσαιτοῦσι διδόασι, τοῖς δὲ φιλοσοφοῦσιν οὐδαμῶς, εἶπεν· ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ ἴσως ἐλπίζουσι γενέσθαι, φιλόσοφοι δὲ οὔ. [*Ibid.*]

44. Διογένης ἐν συμποσίῳ τινὶ, πολλοῦ αὐτῷ οἴνου διδομένου, τοῦτο ἐξέχεεν. Ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο· Ἐὰν γὰρ αὐτὸν, ἔφη, ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται, ἀλλὰ κἀμὲ προσαπόλλυσι. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ μέθης.]

45. Διογένης ἔφη, τῶν ἀνθρώπων ἐνίους τὰ δέοντα λέγοντας ἑαυτῶν οὐκ ἀκούειν, ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας οὐκ αἰσθάνεσθαι. [Στοβ. λόγ. κγ'. περὶ φιλαυτίας.]

37. Conviciis a calvo exceptus, *Nolo*, inquit, *convicia referre, capillos autem laudo tuos, qui pessimum caput fugerint.* [*Iidem Serm. de vituperatione et calumnia p.* 260.]

38. Cum a proditore maledictis lacesseretur, *Gaudeo*, inquit, *me factum inimicum tibi, non inimicis enim, verum amicis male facis.* [*Iidem ibid.*]

39. Alii conviciatori, *Non magis*, inquit, *tibi me vituperanti credent homines, quam mihi te laudanti.* [*Iidem Serm. de obloquentibus p.* 262.]

40. Diogenes a quodam prodigo minam petiit, quo mirante, quod ab ipso minam, ab aliis tres obolos tantum rogaret: *Iterum me ab aliis*, respondit Diogenes, *accepturum spero, abs te autem nunquam posthac amplius.* [*Stob. Serm. XV. de prodigalitate p.* 263.]

41. Alexander rex Macedoniae discum ossibus refertum Diogeni Cynico misit: quem cum accepisset Diogenes: *Est quidem*, inquit, *cibus Cynicus* (i. e. *caninus*), *sed donum minime regium.* [*Anton. et Maxim. Serm. de eleemosyna p.* 277.]

42. Idem (Diogenes) dicebat, non minus esse vitium dare indignis, quam dignis non dare. [*Ibid.*]

43. Diogenes a quodam rogatus, quam ob causam homines mendicis darent, philosophis vero nihil largirentur, Quia, inquit, claudi magis ac caeci fieri quam philosophi exspectant. [*Ibid.*]

44. Diogenes in convivio quodam, cum ei vini multum datum esset, id effudit: cumque quidam eum reprehenderent: *Si*, inquit, *ebibero, non solum ipsum perit, sed me quoque perdit.* [*Iidem Serm. de ebrietate p.* 302.]

45. Diogenes dixit, homines aliquot opportuna loquentes non intelligere se ipsos: sicuti lyrae egregie resonantes non sentiunt. [*Stob. Serm. XXIII. de amore sui p.* 347.]

46. *Vide Chilonis Sent.* 15. *in Opusc. Sentent. Tom.* 1. *pag.* 170.

47. Τίς γὰρ ἂν ἧττον φοβοῖτό τι, ἢ θαρσοίη μάλιστα, ἢ ὅστις αὑτῷ μηδὲν συνειδείη κακόν; [Στοβ. λόγ. κδ'. περὶ τοῦ συνειδότος.]

48. Ὁ Διογένης ἔλεγε, τὴν Μήδειαν σοφὴν, ἀλλ' οὐ φαρμακίδα γενέσθαι. λαμβάνουσαν γὰρ μαλακοὺς ἀνθρώπους, καὶ τὰ σώματα διεφθαρμένους ὑπὸ τρυφῆς, ἐν τοῖς γυμνασίοις, καὶ τοῖς πειρατηρίοις διαπονεῖν, καὶ ἰσχυροὺς ποιεῖν καὶ σφριγῶντας· ὅθεν περὶ αὐτῆς ῥυῆναι τὴν δόξαν, ὅτι τὰ κρέα ἕψουσα νέους ἐποίει. [Στοβ. λόγ. κθ'. περὶ φιλοπονίας καὶ μελέτης.]

49. Διογένης πρὸς τὸν φιλόσοφον εἶναι φήσαντα, ἐρωτῶντα δὲ ἐριστικῶς, Κακοδαίμων, ἔφη, τὸ βέλτιστον τῶν ἐν τῷ βίῳ τοῦ φιλοσόφου λυμαινόμενος τῷ λόγῳ φιλοσοφεῖν φής. [Στοβ. λόγ. λγ'. περὶ σιωπῆς.]

50. Τῶν συνόντων τὶς μειρακίων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ, ἐσιώπα. Ὁ δὲ ἔφη· Οὐκ οἴῃ τοῦ αὐτοῦ εἶναι εἰδέναι τε ἃ λεκτέον, καὶ πότε, καὶ τίνα σιωπητέον καὶ πρὸς τίνα; [Στοβ. λόγ. λδ'. περὶ εὐκαιρίας.]

51. Διογένης ᾔτησέ ποτε Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδων τρεῖς· ὡς δ' ἐκεῖνος μέδιμνον ἀπέστειλεν, Οὕτως, ἔφη, καὶ ἀποκρίνῃ ἐρωτηθεὶς μυρία. [Στοβ. λόγ. λϛ'. περὶ ἀδολεσχίας.]

52. Διογένης τὰς εὐμόρφους τῶν ἑταιρῶν ἐκάλει βασιλίσσας· πολλοὺς γὰρ πράττειν, ἃ ἂν προστάττωσι. [Στοβ. λόγ. ξγ'. ὑπὲρ κάλλους.]

55. Διογένης θεασάμενος μειράκιον εὔμορφον, καὶ διὰ τοῦτο φιλούμενον, ἔφη· Σπούδασον, μειράκιον, τοὺς τοῦ σώματος ἐραστὰς εἰς τὴν ψυχὴν μεταγαγεῖν. [Ἀντων. καὶ Μαξ. λόγ. περὶ κάλλους.]

54. Τοὺς εὐειδεῖς καὶ ἀπαιδεύτους ὁμοίους ἔφη εἶναι ἀλαβάστροις ἔχουσιν ὄξος. [*Ibid.*]

47. Quis enim minime timidus, animosus autem maxime fuerit, quam ille, qui nullius mali sibi conscius est? [*Stob. Serm. XXIV. de conscientia p.* 350.]

48. Diogenes dicebat, Medeam sapientem fuisse, non veneficam: acceptis enim corporibus hominum mollibus, luxuque effoeminatis, gymnasiis ea atque exercitiis confirmata integritati et juvenili robori restituisse; indeque famam emanasse, coquendo humanas carnes juventute eas denuo induisse. [*Stob. Serm. XXIX. de assiduitate et exercitatione p.* 871.]

49. Diogenes ad quendam, qui se philosophum profitebatur, interrogabat vero litigiose, *Heu miserum,* dixit, *qui id, quod in vita philosophi est optimum, male perdis, et verbis tamen te philosophum ostendere audes!* [*Stob. Serm. XXXIII. de taciturnitate p.* 585.]

50. Adolescens quidam ex illis, qui cum Diogene versabantur, interrogatus ab ipso tacebat. Tum Diogenes: *Non putas ejusdem esse, et quae dicenda sint scire, et quando, et quae tacenda sint, et apud quem?* [*Stob. Serm. XXXIV. de tempestiva oratione p.* 590.]

51. Diogenes quondam a Platone tres ex ejus horto caricas petiit: cum autem Plato medimnum (i. e. sex modios) ei misisset: *Ita*, dixit, *interrogatus quoque respondes innumera.* [*Stob. Serm. XXXVI. de garrulitate p.* 592.]

52. Diogenes speciosa scorta reginas appellabat: multos enim facere, quae praeceperint. [*Stob. Serm. LXIII. laus pulchritudinis p.* 565.]

53. Diogenes cum adolescentem animadvertisset formosum, atque ob eam causam a multis amatum: *O adolescens*, inquit, *da operam, ut corporis amatores ad animum transferas.* [*Anton. et Maxim. Serm. de pulchritudine p.* 566.]

54. Formosos et eosdem imperitos alabastris acetum continentibus similes esse dicebat. [*Ibid.*]

55. *Διογένης, ἀποδράντος τοῦ οἰκέτου, οὐκ ἐφρόντιζε· δεινὸν εἶναι λέγων, εἰ Διογένης χωρὶς αὐτοῦ ζῆν οὐ δύναται, αὐτοῦ δ' ἐκεῖνος χωρὶς δύναται.* [Στοβ. λόγ. ξ. περὶ δεσποτῶν καὶ δούλων.]

56. *Διογένης κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη·* Ἀσπὶς παρ' ἐχίδνης φάρμακον δανείζεται. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ γυναικῶν πονηρῶν.]

57. *Ζηλωτὸς, ὅστις εὐτύχησεν ἐν τέκνοις*
Καὶ μὴ 'πισήμοις συμφοραῖς ὠδύρατο.

[Στοβ. λόγ. ογ. ὅτι καλὸν ἔχειν παῖδας.]

58. *Διογένης ἐρωτηθεὶς τὸ πῶς δεῖ πατέρας καὶ υἱοὺς ἀλλήλοις προσφέρεσθαι, φησὶν, εἰ μὴ περιμένοιεν αἰτηθῆναι ὑπ' ἀλλήλων, ἀλλὰ διδόντες φθάνοιεν. Ἐπιεικῶς δ' ὁ πατὴρ διὰ τὸ προευεργετηκέναι, εἰ μὴ εὖ πάσχῃ, ταχέως ἄχθεται· ὁ δὲ υἱὸς ἐντρυφᾷ, καὶ οὐκ ἀξιοῖ αἰτεῖν.* [Στοβ. λόγ. πά. Ὁποίους χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα.]

59. *Διογένης ἐρωτηθεὶς, τί γῆ βαρύτερον βαστάζει; ἔφη·* ἄνθρωπον ἀπαίδευτον. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ παιδείας καὶ φιλοσοφίας.]

60. *Ἀστρολόγου τινὸς κατ' ἀγορὰν ἐπιδεικνύντος ἔν τινι πινακίῳ καταγράφους τοὺς ἀστέρας, καὶ φάσκοντος, ὅτι οὗτοί εἰσιν οἱ πλανώμενοι τῶν ἀστέρων, ἐπακούσας, Μὴ ψεύδου,* εἶπεν, ὦ ἑταῖρε. οὐ γὰρ οὗτοί εἰσιν οἱ πλανώμενοι, ἀλλὰ οὗτοι, *δείξας αὐτῷ τοὺς παρακαθεζομένους.* [Στοβ. λόγ. αή. περὶ θεῶν καὶ τῆς περὶ τὸν οὐρανὸν φυσιολογίας.]

61. *Διογένης πυνθανομένου τινὸς, τίνες τῶν ἀνθρώπων εὐγενέστατοι; Οἱ* καταφρονοῦντες, *εἶπε,* πλούτου, δόξης, ἡδονῆς, ζωῆς, τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου. [Στοβ. λόγ. πδ. περὶ εὐγενείας.]

62. *Διογένης ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ σκεύη περιφέροντας, ἤρετο, τίνος ταῦτα; τῶν δὲ εἰπόντων, Ἀναξιμένους·* Οὐκ αἰδεῖται, *φησὶ,* ταῦτα ἔχων ἄ-

55. Diogenes, cum servus ei aufugisset, minime curabat, absurdum esse dicens, servum absque Diogene vivere posse, se autem non absque illo. [*Stob. Serm. LX. de dominis et servis pag.* 600.]

56. Diogenes conspicatus mulieres inter se colloquentes: Aspis, inquit, a vipera venenum mutuatur. [*Anton. et Maxim. Serm. de mulieribus improbis p.* 609.]

57. Beatus ille, qui felix prole fuit
Nec propter insignes calamitates luxit.
[*Stob. Serm. LXXIII. quod bonum sit habere filios p.* 668.]

58. Diogenes interrogatus, quomodo patres et filii se inter se gerere debeant, respondit: Recte se gerent, si ea quae opus est exhibendo petitiones invicem praeveniant. Merito autem pater, ut qui prior beneficia contulerit, nisi vicissim accipiat, statim tristatur, filius autem superbior est nec dignatur patrem orare. [*Stob. Serm. LXXXI. p.* 688.]

59. Diogenes interrogatus, quod onus terra gravissimum sustineret, respondit: Hominem indoctum. [*Ant. et Max. Serm. de disciplina et philosophia p.* 706.]

60. Cum astrologus quidam in foro stellas in tabella quadam depictas monstraret, atque diceret: En tibi hic stellas errantes, audiens Diogenes: *Ne mentiaris,* inquit, *bone vir. Stellae enim non errant; sed illi,* ostensis qui assidebant. [*Stob. Serm. LXXVIII. de diis et physiologia circa coelum p.* 711.]

61. Diogenes, interrogante quodam, qui homines nobilissimi essent: *Contemptores,* dixit, *opum, gloriae, voluptatis et vitae: contrariis autem, paupertate, obscuritate, fama, labore ac morte, superiores.* [*Stob. Serm. LXXXIV. de nobilitate p.* 728.]

62. Diogenes Anaximenis servos conspicatus multa vasa ferentes, cujus ea essent, interrogavit. Cum autem illi Anaximenis esse respondissent: An non pudet

πάντα, αὐτὸς ἑαυτὸν μὴ ἔχων; [Μαξίμ. λόγ. περὶ πλούτου καὶ πενίας.]

63. Διογένης ἔλεγε, μήτε ἐν πόλει πλουσίᾳ μήτε ἐν οἰκίᾳ ἀρετὴν οἰκεῖν δύνασθαι. [Στοβ. λόγ. ϛά. ψόγος πλούτου.]

64. *Vide Simil. Socr.* 79. *Opusc. Tom. I. pag.* 28.

65. Διογένης τὴν πενίαν αὐτοδίδακτον ἔφη εἶναι ἐπικούρημα πρὸς φιλοσοφίαν· ἃ γὰρ ἐκείνη πείθει τοῖς λόγοις πειρᾶσθαι, ταῦτ' ἐν ἔργοις τὴν πενίαν ἀναγκάζειν. [Στοβ. λόγ. ϛγ. πενίας ἔπαινος.]

66. Διογένης, ὀνειδίσαντος αὐτῷ τινος πενίαν μοχθηροῦ, ἔφη· Διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμενον εἶδον, διὰ δὲ κακίαν πολλούς. [*Ibid.*]

67. Διογένης τὴν πενίαν ἔλεγεν αὐτοδίδακτον εἶναι ἀρετήν. [*Ibid.*]

68. Διογένης, ὀνειδίζοντος αὐτῷ τινὸς πενίαν· Κακοδαίμων, εἶπεν, οὐδένα τυραννοῦντα διὰ πενίαν ἑώρακα, διὰ δὲ πλοῦτον τοὺς πάντας. [Στοβ. λόγ. ϛέ. σύγκρισις πενίας καὶ πλούτου.]

69. Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος,
Ὡς οὐδὲν ἐσμὲν πλὴν σκιαῖς ἐοικότες,
Βάρος περισσὸν γῆς ἀναστρωφώμενοι.
['Αντων. καὶ Μαξίμ. λόγ. περὶ βίου ἀνωμαλίας.]

70. Εὐδαιμονία γὰρ μία ἐστὶ τὸ εὐφραίνεσθαι ἀληθινῶς, καὶ μηδέποτε λυπεῖσθαι, ἐν ὁποίῳ δ' ἂν τόπῳ ἢ καιρῷ ᾖ τις. [Στοβ. λόγ. ρά. περὶ εὐδαιμονίας.]

71. Εὐδαιμονίαν δὲ ταύτην εἶναι φαμὲν ἀληθινὴν τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι διατρίβειν. [*Ibid.*]

72. Διογένης περιπεσὼν ἔν τισι συμπτώμασιν ἔλεγεν· Εὖ γε, ὦ τύχη, ὅτι μου ἀῤῥένως προέστηκας. ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τερετίζων ἀνεφώνει. [Στοβ. λόγ. ρϛ'. ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα.]

eum, inquit, tam multa habere, cum se ipsum non habeat? [*Max. Serm. de divitiis et paupertate p.* 758.]

63. Diogenes dicebat, neque in civitate opulenta, neque in domo habitandi locum esse virtuti. [*Stob. Serm. XCI. vituperium divitiarum p.* 769.]

65. Diogenes *paupertatem* dicebat *subsidium esse ad philosophiam sponte doctum. Nam quae philosophia verbis persuadere conatur, ea paupertatem ipsis rebus cogere.* [*Stob. Serm. XCIII. laus paupertatis p.* 772.]

66. Diogenes, cum improbus quidam paupertatem ei exprobraret, dixit: *Atqui propter paupertatem nullum unquam torqueri vidi, propter malitiam vero plures.* [*Ibid.*]

67. Diogenes paupertatem inquiebat virtutem esse per se doctam. [*Ibid.*]

68. Diogenes, cum ei paupertas a quodam vitio daretur: *Infelix*, dixit, *quid ais? At ego neminem vidi tyrannidem gerere propter paupertatem, omnes vero propter divitias.* [*Stob. Serm. XCV. comparatio paupertatis et divitiarum p.* 778.]

69. O mortale et miserum genus hominum,
Quam nihil sumus, sed similes umbris,
Terrae pondus inutile circumimus.

[*Anton. et Max. Serm. de vitae inaequalitate p.* 807.]

70. Unica felicitas est, qua fit, ut revera laetemur, nec unquam tristemur, quocunque in loco ac tempore. [*Stob. Serm. CI. de felicitate p.* 822.]

71. Ceterum hanc felicitatem veram esse dicimus, quae facit, ut mens et anima in perpetua tranquillitate hilaritateque collocentur. [*Ibid.*]

72. Diogenes, cum in casus quosdam adversos incidisset, dicebat: *Bene factum, o fortuna, quod tam viriliter mihi praefueris.* Idem in hujusmodi casibus alta voce cantillabat. [*Stob. Serm. CVI. Quod eventus rerum fortiter ferendi sint p.* 841.]

73. Διογένης ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν· Εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι, εἰ δὲ πρὸς τοὺς νεκροὺς, μὴ βράδυνε. [Ἀντων. περὶ γερόντων ἐν ἀνοίᾳ καὶ κακίᾳ βιούντων.]

74. Διογένης ὁ Κυνικὸς, ὀδυρομένου τινὸς, ἐπειδὴ ἐπὶ ξένης ἔμελλε τελευτᾷν, εἶπεν· Τί ὀδύρῃ, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ ὁδὸς ἡ αὐτὴ εἰς ᾅδου. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ θανάτου.]

75. Διογένης, εἰπόντος τινὸς, Χαλεπόν ἐστι τὸ ζῆν· Οὐκ, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν. [Στοβ. λόγ. ρκά. σύγκρισις ζωῆς καὶ θανάτου.]

76. Ἔλεγεν ὁ Διογένης, ὅτι, ἂν μὲν κύνες αὐτὸν σπαράξωσιν, Ὑρκανία ἔσται ἡ ταφή· ἂν δὲ γύπες, ἀπείον· ἂν δὲ μηδεὶς προσέλθῃ, ὁ χρόνος καλλίονι τῇ ταφῇ διὰ τῶν πολυτελεστάτων, ἡλίου καὶ ὄμβρου. [Στοβ. λόγ. ρκγ'. περὶ ταφῆς.]

77. Διογένης τοὺς ῥήτορας τὰ δίκαια μὲν ἔφη ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ διδαχῆς καὶ λόγων.]

78. Διογένης ἔφη νομίζειν ὁρᾷν τὴν Τύχην ἐνορῶσαν αὐτὸν καὶ λέγουσαν·

Τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.

[Στοβ. Ἐκλογ. βιβλ. β'. κεφ. ή. περὶ τῶν ἐφ' ἡμῖν.]

Ἐκ τῶν Διογένους τοῦ Λαερτίου.

79. Δεινὸς ἦν κατασοβαρεύσασθαι τῶν ἄλλων, καὶ τὴν μὲν Εὐκλείδου σχολὴν ἔλεγε χολὴν, τὴν δὲ Πλάτωνος διατριβὴν κατατριβὴν, τοὺς δὲ Διονυσιακοὺς ἀγῶνας μεγάλα θαύματα μώροις ἔλεγε· καὶ τοὺς δημαγωγοὺς ὄχλου διακόνους. [§. 24.]

80. Ἔλεγε, ὡς ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ, καὶ ἰατροὺς καὶ φιλοσόφους, συνετώτατον τῶν ζώων εἶναι τὸν ἄνθρωπον· ὅταν δὲ πάλιν τοὺς ὀνειροκρίτας καὶ μάντεις

73. Diogenes anum comptam conspicatus: *Si, inquit, ad vivos, falsa es: sin ad mortuos, ne cuncteris.* [*Anton. Serm. de senibus inhonestis et imprudentibus p.* 875.]

74. Diogenes Cynicus, lugente quodam, quod in peregrina terra moriturus esset, dixit: *Quid luges, o stulte? Undecunque eadem via est ad inferos.* [*Anton. et Maxim. Serm. de morte p.* 878.]

75. Diogenes, cum dixisset quidam: Molesta res est vivere: Non, dixit, sed male vivere. [*Stob. Serm. CXX. comparatio vitae et mortis p.* 890.]

76. Diogenes dicebat, si canes cadaver suum lacerarent, Hyrcanam sepulturam fore, sin vultures, *Iberam.* At si nullum animal accederet, ipsum tempus pulcherrimam sibi fore sepulturam, corpore a pretiosissimis rebus, sole inquam et imbribus, absumpto. [*Stob. Serm. CXXIII. de sepultura p.* 894.]

77. Diogenes oratores, ut bene dicerent, studere dicebat, at ut bene facerent, nullo modo. [*Anton. et Max. Serm. de doctrina et sermone p.* 933.]

78. Diogenes credere se dixit videre Fortunam ipsam intuentem ac dicentem:

Ast hunc non potui tetigisse canem rabiosum.

[*Stob. Eclog. Lib. II. Cap. VIII. de iis, quae in nostra sunt potestate, p.* 348. *ed. Heeren.*]

E Diogenis Laertii vita Diogenis. Lib. VI. §. 20—81.

79. Acerrimus erat Diogenes in cavillandis aliis, unde et Euclidis scholam, demta prima litera, χολὴν (i. e. *bilem*) appellabat, Platonis disputationes disperditiones, ludos Dionysiacos magna miracula stultorum dicebat, oratores turbae ministros.

80. Dicebat, sibi in vita humana gubernatores intuenti, medicos item et philosophos, animalium omnium sapientissimum videri hominem. Contra autem, somnio-

καὶ τοὺς προσέχοντας τούτοις, ἢ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους, οὐδὲν ματαιότερον νομίζειν ἀνθρώπου. [Ib.]

81. Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ἁψάμενον, Τί, φησὶν, ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπολαύεις; Ἀλλὰ νὴ τοὺς θεοὺς, φησὶ, Διόγενες, κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγενόμην. Ὁ δέ· Τί οὖν ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ οὐκ ἔφερεν ἐλάας; [§. 25.]

82. Πατῶν αὐτοῦ (τοῦ Πλάτωνος) ποτε στρώματα κεκληκότος φίλους παρὰ Διονυσίου, ἔφη· Πατῶ τὴν Πλάτωνος κενοσπουδίαν. πρὸς ὃν ὁ Πλάτων, Ὅσον, ὦ Διόγενες, τοῦ τύφου διαφαίνεις, δοκῶν μὴ τετυφῶσθαι. Οἱ δὲ φασὶ τὸν Διογένην εἰπεῖν· Πατῶ τὸν Πλάτωνος τῦφον, τὸν δὲ φάναι· Ἑτέρῳ γε τύφῳ, Διόγενες. [§. 26.]

83. Ἐρωτηθεὶς, ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας; Ἄνδρας μὲν, εἶπεν, οὐδαμοῦ, παῖδας δὲ ἐν Λακεδαίμονι. [§. 27.]

84. Σπουδαιολογουμένου ποτὲ, ὡς οὐδεὶς προσῄει, ἐπέβαλε τερετίζειν· ἀθροισθέντων δὲ, ὠνείδισεν, ὡς ἐπὶ μὲν τοὺς φληνάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ σπουδαῖα βραδυνόντων ὀλιγώρως. [Ibid.]

85. Ἔλεγε περὶ μὲν τοῦ παρορύττειν καὶ λακτίζειν ἀγωνίζεσθαι τοὺς ἀνθρώπους, περὶ δὲ καλοκἀγαθίας οὐδένα. [Ibid.]

86. Τοὺς γραμματικοὺς ἐθαύμαζε, τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας· καὶ μὴν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη· τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δὲ ἐν ποσὶ πράγματα παρορᾷν· τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς· ἀλλὰ μὴν καὶ

rum si consideret conjectores et vates et qui ab illis sibi patiantur imponi, tum nihil se homine stolidius esse arbitrari.

81. In magno convivio oleas vix gustantem videns Platonem, *Quid rei est*, inquit, *quod, sapiens qui sis, harumque rerum gratia in Siciliam profectus, jam tamen appositis iis fruaris minus?* Tum Plato: *At hercle, Diogenes, et oleis ibi et reliquis ejusmodi ut plurimum vescebar.* Cui Diogenes rursum: *Quid vero Syracusas navigare necesse erat? an Attica oleas tunc nullas ferebat?*

82. Praesentibus Dionysii quibusdam, quos Plato invitaverat, familiaribus, Diogenes, veste ejus pedibus conculcata, *fastum Platonis sese* dixit *calcare.* Cui Plato, Quantus vero, o Diogenes, fastus est tuus, qui fastu carere cum maxime videri cupis? Quod ita referunt alii, Diogeni dicenti, *Fastum calco Platonis: At alio fastu*, Platonem confestim respondisse.

83. Qua Graeciae parte viros bonos vidisset, interrogatus, *Nusquam*, respondit: *pueros vero se Lacedaemone vidisse.*

84. Cum aliquando de rebus disserenti gravissimis aures tamen praeberet nemo, cantillare occoepit: quod audientes cum plurimi accurrerent, eos, quod ad nugas inutiles audiendas festinarent, a rebus seriis aversi, gravi oratione increpavit.

85. Homines certare dicebat, quis pulverem adspergendo et calcitrando sit altero futurus superior; ut autem boni et probi fiant, contendere neminem.

86. Grammaticos mirabatur, quod, cum Ulyssis mala requirerent, sua ignorarent; musicos item, quod, cum lyrae chordas congrue aptarent, animi mores inconcinnos haberent. Sed et mathematicos carpebat, quod solem et lunam intuentes, quae ante pedes essent, negligerent; oratores etiam, quod studerent justa dicere, non autem et facere; avaros denique, quod pecuniam

τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ. [*Ibid.* et §. 28.]

87. Κατεγίνωσκεν καὶ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπάνω εἶεν, ζηλούντων δὲ τοὺς πολυχρηματίας. [§. 28.]

88. Ἐκίνει δ' αὐτὸν καὶ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ἐν αὐτῇ δὲ τῇ θυσίᾳ κατὰ τῆς ὑγιείας δειπνεῖν. ἄγασθαι δὲ καὶ δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπάζοιεν τῶν ἐσθιομένων. [*Ibid.*]

89. Ἐπῄνει τοὺς μέλλοντας γαμεῖν καὶ μὴ γαμεῖν, καὶ τοὺς μέλλοντας καταπλεῖν καὶ μὴ καταπλεῖν, καὶ τοὺς μέλλοντας πολιτεύεσθαι καὶ μὴ πολιτεύεσθαι, καὶ τοὺς παιδοτροφεῖν καὶ μὴ παιδοτροφεῖν, καὶ τοὺς παρασκευαζομένους συμβιοῦν τοῖς δυνάσταις καὶ μὴ προσιόντας. [§. 29.]

90. Ἔλεγε δεῖν τὰς χεῖρας ἐπὶ τοὺς φίλους ἐκτείνειν μὴ συγκεκαμμένοις τοῖς δακτύλοις. [*Ibid.*]

91. Ἔλεγε τῷ Ξενιάδῃ τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη, καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος εἴη, πεισθῆναι δεῖν αὐτῷ. [§. 30.]

91. a. Τοὺς δὲ παῖδας τοῦ Ξενιάδου οὕτως ἦγε μετὰ τὰ λοιπὰ μαθήματα, ὥστε ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν· ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλὰ αὐτοῦ ἐρυθήματος χάριν καὶ εὐεξίας. κατεῖχον δὲ οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων καὶ τῶν αὐτοῦ Διογένους· πᾶσαν δὲ ἔφοδον σύντομον, πρὸς τὸ εὐμνημόνευτον, ἐπήσκει· ἐν οἴκῳ δὲ ἐδίδασκε διακονεῖσθαι λιτῇ τροφῇ χρωμένους, καὶ ὕδωρ πίνοντας, ἐν χρῷ κουρίας τε καὶ ἀκαλλωπίστους εἰργάζετο, καὶ ἀχίτωνας καὶ ἀνυποδήτους, καὶ σιωπηλοὺς, καθ' αὑτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς· ἐξῆγε δ' αὐτοὺς καὶ ἐπὶ κυνηγεσίᾳ. Οἱ δὲ καὶ αὐτοῦ Διογένους ἐπιμέλειαν ἐποιοῦντο,

verbis quidem culparent, animo tamen maxime diligerent.

87. Eos quoque reprehendebat, qui viros probos ob pecuniarum contemtum commendarent quidem, pecuniosos tamen mallent imitari.

88. Illis vero plane stomachabatur, qui bonae valetudinis causa vota facerent diis, in ipsis vero sacris coenis valetudini cum maxime adversarentur. Servos etiam mirari se dixit, qui edaces videntes dominos ciborum nihil deriperent.

89. Laudabat eos, qui uxores ducturi essent et non ducerent, et qui navigaturi non navigarent, quique accessuri ad rempublicam non accederent, et qui pueros habere cupientes in deliciis se tamen continerent, et qui tandem se componerent ita, ut, cum potentibus convivere possint, non conviverent tamen.

90. Manus ad amicos non complicatis digitis extendi jubebat.

91. Dicebat Xeniadi, emptori suo, ipsum sibi, quamvis esset servus, obtemperare oportere: nam et medicus et gubernator, etiamsi servus sit, utique sibi vult obediri.

91.a. Xeniadae filios ita instituit, post disciplinas reliquas ut equitarent, ut arcus intenderent, fundas rotarent, atque jacularentur. Deinde in palaestra non permittebat paedotribae eos in morem athletarum exercere, sed tantum ad corpori inducendum bonum colorem et bonae valetudinis gratia. Tenebant vero pueri poetarum ac scriptorum aliorum, ipsius denique Diogenis plura memoriter, omnemque illis doctrinae rationem, ut facile memoria teneretur, breviter collectam insinuabat. Domi quoque ministrare eos docebat, cibo tenui ac vili contentos et aquae potu. Tonderi ad cutem jubebat, incompositosque deducebat, ac sine tunicis et calceis, tacitos, ac se tantum in via intuentes. Educebatque eos ad venationes. Contra illi Diogenis

καὶ πρὸς τοὺς γονέας αἰτητικῶς ἄγον. (Λέγεται δὲ) παρὰ τῷ Ξενιάδῃ καὶ γηράσαι αὐτὸν καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ. [§. 31.]

91. b. Πυνθανομένου Ξενιάδου, πῶς αὐτὸν θάψειεν, ἔφη· Ἐπὶ πρόσωπον. τοῦ δὲ ἐρομένου· Διά τί; Ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἄνω στρέφεσθαι. (τοῦτο δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι.) [*Ibid.*]

92. Θαυμάζειν ἔφη, εἰ χύτραν μὲν καὶ λοπάδα ὠνούμενοι σκοποῦμεν, ἀνθρώπου δὲ μόνῃ τῇ ὄψει ἀρκεῖσθαι. [*Ibid.*]

93. Φωνήσας ποτέ, Ἰὼ ἄνθρωποι, συνελθόντων, καθίκετο τῇ βακτηρίᾳ, εἰπών· Ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα. [§. 32.]

94. Εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ, καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπών, χείρονα τόπον μὴ εὑρηκέναι. (οἱ δὲ τοῦτο Ἀριστίππου φασί.) [*Ibid.*]

95. Ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλούς, ἀλλὰ τοὺς μὴ ἔχοντας πήραν. [§. 33.]

96. Εἰσελθών ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον, πληγὰς ἔλαβε. μετὰ δὲ ἐγγράψας τὰ ὀνόματα εἰς λεύκωμα τῶν πληξάντων, περιῄει ἐξημμένος· ὥστε αὐτοὺς ὕβρει περιέθηκε, καταγινωσκομένους καὶ ἐπιπληττομένους. [*Ibid.*]

97. Ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν. [*Ibid.*]

98. Πρὸς τὸν εἰπόντα, Πύθια νικῶ ἄνδρας, Ἐγὼ μὲν οὖν, εἶπεν, ἄνδρας, σὺ δὲ ἀνδράποδα. [*Ib.*]

99. Πρὸς τοὺς εἰπόντας· Γέρων εἶ, καὶ λοιπὸν ἄνες· Τί δέ, ἔφη, εἰ δολιχὸν ἔδραμον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι; [§. 34.]

100. Κατελάβετό ποτε Δημοσθένην τὸν ῥήτορα ἐν παν-

curam habebant, parentibusque eum commendabant. Fertur etiam senuisse apud Xeniadem, ac vita functum a filiis fuisse sepultum.

91. b. Percontante Xeniade, quomodo se sepeliri mallet, *In faciem*, inquit. Illo causam interrogante, *Quoniam*, inquit, *post paulum inferiora sursum vertentur.* Dixit autem hoc, quoniam Macedones jam potentia majori dominarentur, atque ex humilibus sublimes ac potentes fierent.

92. Mirari dicebat, quod, cum ollam quidem ac patinam non sine tactu ac tinnitu emamus, solo in homine emendo conspectu contenti sumus.

93. Cum clamasset aliquando: *Heus homines!* convenissentque plurimi, baculo illos abigebat dicens: *Homines, non purgamenta, vocavi.*

94. In domum inductus magnifice instructam, atque exspuere prohibitus, excreans faciem prohibentis conspuit, locum magis foedum, in quem exspuere possit, se haud invenire dicens. (Quod tamen Aristippo factum ab aliis adscribitur.)

95. Ἀναπήρους, i. e. mancos, vocabat non surdos aut caecos, sed qui πήραν, peram, non haberent.

96. Capite semitonso cum ad juvenum convivium aliquando venisset, verberibus ab iis exceptus est. Horum igitur nomina tabulae inscripta et ex collo suspensa circumtulit, quo ipso injuriam illorum ultus est, ea re omnium reprehensioni expositorum.

97. Canem se esse ajebat ex genere eorum quidem, qui in laude essent apud omnes, sed cum quo tamen laudantium nemo ad venandum exire auderet.

98. Dicente quodam, viros se in Pythicis certaminibus vincere, *Viros*, inquit, *ego, tu vero mancipia.*

99. Cum diceretur sibi: *Senex es, jam quiesce a labore. Quid enim,* ait, *si in stadio currerem, ad finem oporteret cursum remittere, annon intendere potius?*

100. Demosthenem oratorem inveniens aliquando

δοκείῳ ἀριστῶντα· τοῦ δὲ ὑποχωροῦντος, Τοσούτῳ, ἔφη, μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ. [*Ibid.*]

101. Ξένων ποτὲ θεάσασθαι θελόντων Δημοσθένην, τὸν μέσον δάκτυλον ἐκτείνας, Οὗτος ἡμῖν, ἔφη, ἐστὶν ὁ Ἀθηναίων δημαγωγός. [*Ibid.*]

102. Ἐκβαλόντος δὲ ἄρτον τινὸς καὶ αἰσχυνομένου ἀνελέσθαι, βουλόμενος αὐτὸν νουθετῆσαι, κεράμου τράχηλον δήσας ἔσυρε διὰ τοῦ Κεραμεικοῦ. [§. 35.]

103. Μιμεῖσθαι ἔλεγε τοὺς χοροδιδασκάλους, καὶ γὰρ ἐκείνους ὑπὲρ τόνον ἐνδιδόναι ἕνεκα τοῦ τοὺς λοιποὺς ἅψασθαι τοῦ προσήκοντος τόνου. [*Ibid.*]

104. Τοὺς πλείστους ἔλεγε παρὰ δάκτυλον μαίνεσθαι. ἐὰν οὖν τις τὸν μέσον προτείνας πορεύηται, δόξει μαίνεσθαι· ἐὰν δὲ τὸν λιχανὸν, οὐκέτι. [*Ibid.*]

105. Τὰ πολλοῦ ἄξια μηδενὸς ἔλεγε πιπράσκεσθαι, καὶ ἔμπαλιν· ἀνδριάντα γὰρ τρισχιλίων πιπράσκεσθαι, χοίνικα δὲ ἀλφίτων δύο χαλκῶν. [*Ibid.*]

106. Τῷ πριαμένῳ αὐτὸν Ξενιάδῃ φησὶ, Ἄγε ὅπως τὸ προστάττόμενον ποιήσῃς. τοῦ δὲ εἰπόντος·

Ἄνω ποταμῶν χωροῦσι παγαί·

Εἰ δὲ ἰατρὸν, ἔφη, ἐπρίω νοσῶν, οὐκ ἂν αὐτῷ ἐπείθου; ἀλλ' εἶπες, ὡς ἂν ἄνω ποταμῶν χωροῦσι παγαί; [§. 36.]

107. Ἤθελέ τις παρ' αὐτῷ φιλοσοφεῖν. Ὁ δέ οἱ σαπέρδην δοὺς φέρειν, ἐποίησεν ἀκολουθεῖν. ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαντήσας αὐτῷ καὶ γελάσας λέγει, Τὴν σὴν καὶ ἐμὴν φιλίαν σαπέρδης διέλυσε. Διοκλῆς δ' οὕτως ἀναγράφει. Εἰπόντος τινὸς αὐτῷ· Ἐπίταττε ἡμῖν, Διόγενες, ἀπαγαγὼν αὐτὸν ἡμιωβολίου τυρὸν ἐδίδου φέρειν, ἀρνησαμένου δὲ, Τὴν σὴν, ἔφη, καὶ ἐμὴν φιλίαν ἡμιωβολίου τυρίον διαλέλυκε. [*Ibid.*]

108. Θεασάμενος ποτὲ παιδίον ταῖς χερσὶ πῖνον, ἐξέρ-

n diversorio prandentem, qui se subducere prae pudore vellet, *Hoc magis*, inquit, *eris in diversorio.*

101. Cum peregrini quidam Demosthenem cuperent videre, medium intendens digitum, *En*, inquit, *illum Atheniensis populi rectorem.*

102. Exprobrare nonnemini cupiens, quod panem, qui excidisset, tollere eum puderet, testam collo ipsius alligabat, et per Ceramicum trahebat.

103. Imitari se dicebat chori magistros: illos enim tonum excedere, ut reliqui congruum tonum acciperent.

104. Homines pro insanis unius digiti, ajebat, discrimine haberi: hominem enim, qui exerto medio digito incedat, stolidum credi, qui indice exerto, sapientem.

105. Ea, quae sint maximo in pretio habenda, minimo emi, ajebat, et vice versa. Sic statuam enim drachmarum tribus millibus emi, polentae vero choenicem duobus aereis.

106. Ei, qui se emerat, Xeniadae, dixit, Vide, ut quod praecipitur facias: dicente illo,

Sursum sacrorum fluminum fluunt fontes.

At si medicum, ait, *aeger emisses, non illi obtemperasses, sed diceres: Sursum fluunt amnium fontes?*

107. Ei, qui philosophiae causa ad eum venerat, saperdam dedit, quam gestaret, et sequi se jussit. Qui cum indignitate ejus rei motus saperda abjecta abiisset, paullo post oblatus Diogenes: *Tuam*, inquit, *et meam amicitiam saperda dissolvit.* Idem hoc modo relatum Diocli. Dicente ad eum quodam: Te mihi, o Diogenes, praecipere velim: casei frustum ei dedit, quem sequens ipsum domum deferret: quod cum facere ille renueret, *Modicum*, dixit, *casei frustum nostram dissolvit amicitiam.*

108. Intuitus aliquando puerum concava bibentem

ῥιψε τῆς πήρας τὴν κοτύλην, εἰπὼν, Παιδίον με νενίκηκεν εὐτελείᾳ· ἐξέβαλε δὲ καὶ τὸ τρύβλιον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τὸ κοίλῳ ἄρτῳ τοῦ ψωμίου τὴν φακῆν ὑποδεχόμενον. [§. 57.]

109. Συνελογίζετο δὲ καὶ οὕτως· Τῶν θεῶν ἐστι πάντα· φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα ἐστὶ τῶν σοφῶν. [*Ib.*]

110. Θεασάμενός ποτε γυναῖκα ἀσχημονέστερον τοῖς θεοῖς προσπίπτουσαν, βουλόμενος αὐτῆς περιελεῖν τὴν δεισιδαιμονίαν, προσελθὼν εἶπεν· Οὐκ εὐλαβῇ, ὦ γύναι, μή ποτε θεοῦ ὄπισθεν ἑστῶτος (πάντα γάρ ἐστιν αὐτοῦ πλήρη) ἀσχημονήσῃς; [*Ibid.*]

111. Τῷ Ἀσκληπίῳ ἀνέθηκε πλήκτην, ὃς τοὺς ἐπὶ στόμα πίπτοντας ἐπιτρέχων συνέτριβεν. [§. 38.]

112. Εἰώθει λέγειν, τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι· εἶναι γοῦν

Ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος,
Πτωχὸς, πλανήτης, βίον ἔχων τοὐφήμερον.

[*Ibid.*]

113. Ἔφασκεν ἀντιτιθέναι τύχῃ μὲν θάρσος, νόμῳ δὲ φύσιν, πάθει δὲ λόγον. [*Ibid.*]

114. Ἐν τῷ Κρανείῳ ἡλιουμένῳ αὐτῷ Ἀλέξανδρος ἐπιστάς φησιν· Αἴτησόν με ὃ θέλεις· καὶ ὅς, Ἀποσκότησόν μοι, φησί. [*Ibid.*]

115. Μακρά τινος ἀναγινώσκοντος, καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον παραδείξαντος, Θαῤῥεῖτε, ἔφη, ἄνδρες· γῆν ὁρῶ. [*Ibid.*]

116. Πρὸς τὸν συλλογισάμενον, ὅτι κέρατα ἔχει, ἁψάμενος τοῦ μετώπου, Ἐγὼ μὲν, ἔφη, οὐχ ὁρῶ· ὁμοίως καὶ πρὸς τὸν εἰπόντα, ὅτι κίνησις οὐκ ἔστιν, ἀναστὰς περιεπάτει. [§. 39.]

117. Πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, Ποσταῖος, ἔφη, πάρει ἀπὸ τοῦ οὐρανοῦ; [*Ibid.*]

118. Εὐνούχου μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν·

manu, cotylam pera productam abjecit, *Puer*, inquiens, *frugalitate me superavit.* Projecit et catinum, cum alium puerum, vasculo fracto, vidisset concavo pane jusculi lenticulam excipere.

109. Omnia sapientum esse ita evincebat: *Omnia deorum sunt: sapientibus amici sunt dii: amicorum vero communia sunt omnia: omnia ergo sunt sapientum.*

110. Mulierem videns parum decore coram diis prostratam, superstitionem ejus cupiens emendare, accurrens dixit: *Annon verere, o foemina, ne forte stante a tergo deo (eorum enim omnia plena sunt) inhoneste te habeas?*

111. Gallum pugnacem, qui alios humi prostratos conterebat, Aesculapio sacravit.

112. Solebat dicere, imprecationes tragicas omnes in se esse conjunctas: *esse enim sine civitate, sine domo, privatum patria, pauperem, palantem, vitam in dies habentem.*

113. Ajebat, se objicere fortunae quidem confidentiam, naturam legi, perturbationi rationem.

114. Ad solem sedenti in Craneo sibi cum repente subvenisset Alexander, ait: *Pete a me quod vis.* At ille inquit: *Noli mihi umbram facere.*

115. Prolixum nonnemo commentarium recitaverat, quo ad finem vergente, cum ultimum folium observaret Diogenes, in quo perscriptum esset nihil, *Bono animo*, inquit, *estote, amici, jam terram video.*

116. Probante aliquo eo syllogismi genere, quem *cornutum* appellant, cornua habere Diogenem, manu frontem contrectans: *Equidem*, dixit, *illa non sentio.* Sic alio quodam motum negante, surgens obambulabat.

117. De rebus coelestibus disserenti, *Quam diu est,* inquit, *quod e coelo descendisti?*

118. Cum spado quidam scelestissimus aedium sua-

Μηδὲν εἰσίτω κακόν· Ὁ οὖν κύριος, ἔφη, τῆς οἰκίας ποῦ εἰσέλθοι; [*Ibid.*]

119. *Τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη, ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν.* [*Ibid.*]

120. *Ἀξιούντων Ἀθηναίων μυηθῆναι αὐτὸν, καὶ λεγόντων, ὡς ἐν ᾅδου προεδρίας οἱ μεμυημένοι τυγχάνουσι·* Γελοῖον, ἔφη, εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται. [*Ibid.*]

121. *Πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς·* Ἰδοὺ, φησὶν, καὶ Διογένης παρασίτους τρέφει. [§. 40.]

122. *Πλάτωνος εἰπόντος αὐτὸν κύνα,* Ναὶ, ἔφη, ἐγὼ γὰρ ἐπανῆλθον ἐπὶ τοὺς πεπρακότας; [*Ibid.*]

123. *Ἐκ τοῦ βαλανείου ἐξιὼν, τῷ μὲν πυθομένῳ, εἰ πολλοὶ ἄνθρωποι λοῦνται, ἠρνήσατο· τῷ δ', εἰ πολὺς ὄχλος, ὡμολόγησε.* [*Ibid.*]

124. *Πλάτωνος ὁρισαμένου· Ἄνθρωπος ἐστὶ ζῶον δίπουν, ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰσήνεγκεν εἰς τὴν σχολὴν αὐτοῦ, καί φησιν·* Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. *ὅθεν τῷ ὅρῳ προσετέθη τὸ πλατυώνυχον.* [*Ibid.*]

125. *Πρὸς τὸν πυθόμενον, ποίᾳ ὥρᾳ δεῖ ἀριστᾷν;* Εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ, εἰ δὲ πένης, ὅταν ἔχῃ. [*Ibid.*]

126. *Ἐν Μεγαρεῦσιν ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνοὺς, ἔφη,* Λυσιτελέστερόν ἐστι Μεγαρέως εἶναι κριὸν, ἢ υἱόν. [§. 41.]

127. *Πρὸς τὸν ἐντινάξαντα αὐτῷ τὴν δοκὸν, εἶτα εἰπόντα, Φύλαξαι·* Πάλιν γάρ με, ἔφη, παίειν μέλλεις; [*Ibid.*]

128. *Ἔλεγε τοὺς μὲν δημαγωγοὺς ὄχλου διακόνους· τοὺς δὲ στεφάνους δόξης ἐξανθήματα.*

rum limini inscripsisset: *Nihil heic mali ingrediatur: Dominus igitur domus*, ajebat, *qua ingredietur?*

119. Unguentis aliquando pedes inunxit, a pedibus ad nares, a capite vero in aërem unguenti ascendere fragrantiam dicens.

120. Consulentibus ipsi Atheniensibus, ut sacris initiaretur Eleusiniis, initiatisque apud inferos primas deferri jactantibus: *Mirum vero*, ajebat, *Agesilaum et Epaminondam apud eos in coeno abjectos haerere, vilissimum autem quemvis eo, quod initiatus sit, in beatorum insulis versari.*

121. Muribus ad ipsius mensam subrepentibus, *Ecce*, inquit, *etiam Diogenes parasitos alit.*

122. Platone canem ipsum appellante, *Sane*, inquit, *ego enim ad venditores remeavi?*

123. Balneo egressus percontanti, an multi lavarent homines, *Imo nullus*, respondit: an vero magna lavaret turba, *Imo maxima*, dixit.

124. Cum hominem animal bipes implume definivisset Plato, laudantibus ceteris, Diogenes gallum gallinaceum penitus deplumatum in ejus scholam immisit, *En hominem*, inquiens, *Platonicum*. Hinc additum definitioni Platonicae hominis, quod et ungues habeat latos.

125. Interroganti, quanam hora prandere oporteret? *Si dives*, inquit, *est*, *quando vult: si pauper, cum potest.*

126. Apud Megarenses oves videns pellibus egregie tectas, liberos vero eorum nudos, *Praestat*, dixit, *Megarensis arietem esse quam filium.*

127. Ad eum, qui, postquam trabe ipsum percussisset, *Cave*, inclamabat, *Num vero*, ajebat, *in eo es, ut repetas ictum?*

128. Oratores plebis ministros, coronas gloriae vocabat bullas.

129. *Λύχνον μεθ' ἡμέραν ἅψας, Ἄνθρωπον, φησὶ, ζητῶ.* [*Ibid.*]

130. *Εἱστήκει ποτὲ κατακρουνιζόμενος· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη, Εἰ βούλεσθε αὐτὸν ἐλεῆσαι, ἀπόστητε, ἐνδεικνύμενος φιλοδοξίαν αὐτοῦ.* [*Ibid.*]

131. *Ἐντρίψαντος αὐτῷ κόνδυλον τινὸς, Ἡράκλεις, ἔφη, οἷόν με χρῆμα ἐλάνθανε, τὸ μετὰ περικεφαλαίας περιπατεῖν.* [*Ibid.*]

132. *Μειδίου κονδυλίσαντος αὐτὸν καὶ εἰπόντος, Τρισχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ, τῇ ἑξῆς πυκτικοὺς λαβὼν ἱμάντας, καὶ καταλοήσας αὐτὸν, ἔφη, Τρισχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ.* [§. 42.]

133. *Λυσίου τοῦ φαρμακοπώλου πυθομένου, εἰ θεοὺς νομίζει, Πῶς δὲ, εἶπεν, οὐ νομίζω, ὅπου καὶ σε θεοῖς ἐχθρὸν ὑπολαμβάνω;* [*Ibid.*]

134. *Ἰδών τινα περιῤῥαινόμενον, ἐπεῖπεν· Ὦ κακόδαιμον, οὐκ ἐπίστασαι, ὅτι ὥσπερ τῶν ἐν γραμματικῇ ἁμαρτημάτων περιῤῥαινόμενος οὐκ ἂν ἀπαλλαγείης, οὕτως οὐδὲ τῶν ἐν τῷ βίῳ;* [*Ibid.*]

135. *Ἐνεκάλει τοῖς ἀνθρώποις περὶ τῆς εὐχῆς, αἰτεῖσθαι λέγων αὐτοὺς ἀγαθὰ τὰ αὐτοῖς δοκοῦντα, καὶ οὐ τὰ κατὰ ἀλήθειαν.* [*Ibid.*]

136. *Πρὸς τοὺς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγεν, ὡς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ, οὐκ ἐπιστρέφονται· ὑπὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραγμονοῦσιν.* [§. 43.]

137. *Ὀλυμπιάσι τοῦ κήρυκος ἀνειπόντος· Νικᾷ Διώξιππος ἄνδρας, Οὗτος μὲν δὴ ἀνδράποδα, ἄνδρας δὲ ἐγώ.* [*Ibid.*]

138. *Μετὰ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον, καὶ ἐρωτηθεὶς, τίς εἴη, Κατάσκοπος, ἔφη, τῆς σῆς ἀπληστίας· ὅθεν θαυμασθεὶς ἀφείθη.* [*Ibid.*]

139. *Ἀλεξάνδρου ποτὲ πέμψαντος ἐπιστολὴν πρὸς Ἀντί-*

129. Lucernam plena meridie accendebat, *hominem se quaerere* dicens.

130. Stabat aliquando manantibus perfusas undis; his vero, qui circumstabant, illum miserantibus, Plato, nam et is aderat, *Si vultis*, inquit, *illum miserari, abite*, gloriae illius cupiditatem significans.

131. Colaphum a quodam accipiens, *Hercle*, ajebat, *quantam rem nesciebam, me galea armato capite incedere debuisse.*

132. Midia os ejus colaphis tundente atque dicente, *Tria millia tibi in mensa reposta sunt* (ad mulctam alludens nempe tali injuriae statutam), altera die Diogenes cum sumptis pugilum caestibus eum contudisset, dixit: *Tria millia tibi in mensa sunt reposta.*

133. Lysia pharmacopola sciscitante, an crederet deos esse: *Qui non credam*, respondit, *qui te diis inimicum puto?*

134. Aquis lustratum observans, *O miserum te*, ait, *an nescis, non magis vitae errores aqua elui posse, quam grammatica vitia?*

135. Culpabat homines maxime ob ea, quae a diis peterent, dicens, homines ea, quae sibi bona viderentur, non quae revera bona essent, postulare.

136. Eis, qui terrerentur ad somnia, dicebat: *Ea quidem, quae vigilantes agitis, non moramini, quae vero dormientibus per imaginationem obveniunt, in ea curiose disquiritis.*

137. In Olympia pronuntiante praecone: Dioxippus viros vicit; *Hic*, ait, *mancipia, viros autem ego.*

138. Post pugnam ad Chaeroneam comprehensus est et adductus ad Philippum, a quo, quis esset, interrogatus, *Explorator*, inquit, *insatiabilis aviditatis tuae.*

139. Cum epistolam aliquando Alexander Athenas

πατρον εἰς Ἀθήνας διά τινος Ἀθλία, παρὼν ἔφη· Ἀθλίας παρ' Ἀθλίου δι' Ἀθλίου πρὸς Ἄθλιον. [§. 44.]

140. Περδίκκου ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτὸν, ἀποκτενεῖν, ἔφη· Οὐδὲν μέγα· καὶ γὰρ κάνθαρος καὶ φαλάγγιον τοῦτ' ἂν πράξοιεν· ἐκεῖνο δὲ μᾶλλον ἀπειλεῖν ἠξίου, ὡς, εἰ καὶ χωρὶς ἐμοῦ ζῆσαι, εὐδαιμόνως ζήσοιτο. [*Ibid.*]

141. Ἐβόα πολλάκις λέγων, τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δὲ αὐτὸν ζητούντων μελίπηκτα, καὶ μύρα, καὶ τὰ παραπλήσια. [*Ibid.*]

142. Πρὸς τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον, Οὔπω, εἶπε, μακάριος εἶ, ἂν μή σε καὶ ἀπομύξῃ. [*Ibid.*]

143. Θεασάμενος ποτὲ τοὺς ἱερομνήμονας τῶν ταμιῶν τινὰ φιάλην ὑφῃρημένον ἄγοντας, ἔφη· Οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἄγουσι. [§. 45.]

144. Θεασάμενος ποτὲ μειράκιον λίθους βάλλον ἐπὶ σταυρὸν, Εὖγε, ἔφη, τεύξῃ γὰρ τοῦ σκοποῦ. [*Ibid.*]

145. Πρὸς τὰ περιστάντα μειράκια καὶ εἰπόντα, Βλέπομεν, μὴ δάκνῃς ἡμᾶς, Θαῤῥεῖτε, ἔφη, παιδία· κύων τευτλία οὐκ ἐσθίει. [*Ibid.*]

146. Πρὸς τὸν ἐπὶ τῇ λεοντῇ θρυπτόμενον, Παῦσαι, ἔφη, τὰ τῆς ἀρετῆς στρώματα καταισχύνων. [*Ib.*]

147. Πρὸς τὸν μακαριζόμενον Καλλισθένη, καὶ λέγοντα, ὡς πολυτελῶν παρὰ Ἀλεξάνδρῳ μετέχει, Κακοδαίμων μὲν οὖν ἐστιν, εἶπεν, ὃς καὶ ἀριστᾷ καὶ δειπνεῖ, ὅταν Ἀλεξάνδρῳ δόξῃ. [*Ibid.*]

148. Πρὸς τὸ κοτταβίζον ἐν βαλανείῳ μειράκιον φησίν· Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον. [§. 46.]

149. Χρημάτων δεόμενος, ἀπαιτεῖν ἔλεγε τοὺς φίλους, οὐκ αἰτεῖν. [*Ibid.*]

150. Τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας τρισανθρώπους ἐκάλει ἀντὶ τοῦ τρισαθλίους. [§. 47.]

151. Τὸν πλούσιον ἀμαθῆ πρόβατον εἶπε χρυσόμαλλον. [*Ibid.*]

ad Antipatrum per Athliam quendam misisset, Diogenes forte praesens: *Athlias, inquit, ab Athlia per Athliam ad Athliam scripsit* (ad nomen facta allusione, qua miseria significatur).

140. Perdiccae mortem, nisi ad se veniret, ei minato, *Nihil*, respondit, *magni facturus es, idem enim et cantharus facere et phalangium possit. Ea potius tibi utendum erat comminatione, etiam absque me bene et feliciter te esse victurum.*

141. Saepe inculcabat, facilem hominibus vitam deos proposuisse, latere autem eam quaerentes mellita, unguenta, atque similia.

142. Ei, qui a famulo calceabatur, *Non satis*, inquit, *beatus es, nisi et nares tibi emungat.*

143. Cum vidisset scribas quaestorum sacri aerarii aliquem phialam furatum adducentes, *Heus*, inquit, *magni fures parvum ducunt.*

144. Adolescentem lapides in crucem jacientem videns, *Euge*, inquit, *scopo potieris.*

145. Circumstantibus adolescentibus atque dicentibus, *Caveamus, ne mordeas nos*, *Bono*, inquit, *o mei, animo estote, betis enim canis haud vescitur.*

146. Glorianti, quod leonis pelle tegeretur, *Desine*, inquit, *virtutis stragula inquinare.*

147. Cum a quodam beatus diceretur Callisthenes, quod magnificis epulis ab Alexandro exciperetur, *Minime vero*, dixit, *felix est, qui, prout Alexandro visum est, prandet ac coenat.*

148. Adolescenti in balneo vinum e phiala in poculum ejicienti, (quod genus ludi cottabum appellabant,) *Quanto melius*, inquit, *tanto deterius.*

149. Pecuniis opus habens *eas se ab amicis non petere, sed repetere*, ajebat.

150. Oratores et quotquot dicendo gloriam captant, *ter homines*, pro eo quod est *ter infelices*, appellabat.

151. Divitem indoctum *ovem aureo vellere* dicebat.

152. Θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον, Πράσιμος, Ἤιδειν, εἶπεν, ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσεις τὸν κεκτημένον. [Ibid.]

153. Πρὸς τὸ ῥυπαρὸν βαλανεῖον, Οἱ ἐνθάδε, ἔφη, ποῦ λούονται; [Ibid.]

154. Παχέος κιθαρῳδοῦ πρὸς πάντων μεμφομένου, αὐτὸς μόνος ἐπῄνει. Ἐρωτηθεὶς δὲ, διὰ τί; ἔφη, Ὅτι τηλικοῦτος ὢν κιθαρῳδεῖ καὶ οὐ λῃστεύει. [Ibid.]

155. Τὸν κιθαρῳδὸν ἀεὶ καταλειπόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο, Χαῖρε, ἀλέκτωρ· τοῦ δὲ εἰπόντος, Διὰ τί; Ὅτι, ἔφη, ᾄδων πάντας ἐγείρεις. [§. 48.]

156. Μειρακίου διαδεικνυμένου πληρώσας τὸ προκόλπιον θέρμων ἄντικρυς ἔκαπτε· τοῦ δὲ πλήθους εἰς αὐτὸν ἀφορῶντος, θαυμάζειν, ἔφη, πῶς ἐκεῖνον ἀφέντες αὐτὸν ὁρῶσι. [Ibid.]

157. Λέγοντος αὐτῷ τινὸς ἰσχυρῶς δεισιδαίμονος, Μιᾷ πληγῇ τὴν κεφαλήν σου διαῤῥήξω, Ἐγὼ δέ γε, εἶπε, πταρὼν ἐξ ἀριστερῶν τρέμειν σε ποιήσω. [Ibid.]

158. Ἡγησίου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν συγγραμμάτων, Μάταιος, ἔφη, τυγχάνεις, ὦ Ἡγησία, ὃς ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς, ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς. [Ibid.]

159. Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ τὴν φυγήν, Ἀλλὰ τούτου γε ἕνεκεν, εἶπεν, ὦ κακόδαιμον, ἐφιλοσόφησα. [§. 49.]

160. Εἰπόντος τινὸς, Σινωπεῖς σου φυγὴν κατέγνωσαν, Ἐγὼ δέ γε, εἶπεν, ἐκείνων μονήν. [Ib.]

161. Ἰδών ποτε Ὀλυμπιονίκην πρόβατα νέμοντα, Ταχέως, εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα. [Ibid.]

162. Ἐρωτηθεὶς, διὰ τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν, ἔφη, Ὅτι κρέασιν ὑείοις καὶ βοείοις ἀνῳκοδόμηνται. [Ibid.]

152. Cum prodigi domui videret esse inscriptum, venalis quod sit, *Nempe*, ajebat, *dudum suspicatus sum crapula laborantem domum dominum evomituram.*

153. Sordidum ingressus balneum, *Ubi vero abluentur*, dixit, *heic loti?*

154. Citharoedum pinguedine laborantem, reprehensum ab omnibus, solus laudavit, causamque interrogatus, *Quoniam*, inquit, *talis cum sit, cithara tamen potius quam latrociniis voluit vivere.*

155. Citharoedum, quem pertaesa semper auditorum destituebat corona, ita salutavit: *Salve, Galle.* Eo autem, *Cur ita?* interrogante, *Quia*, inquit, *canens omnes excitas.*

156. Cum adolescentem videret publice recitantem, ipse lupinis sinum implens eos ex adverso obambulans devoravit. Cumque in eum oculos converterent omnes, *Miror*, dixit, *in me oculos vosmet et non in illum potius deflectere.*

157. Dicente quodam admodum superstitioso, *Uno ictu caput tibi confringam*, *At ego*, respondit, *a sinistris sternutans tremorem tibi incutiam.*

158. Hegesia petente, ut sibi librum quendam suum commodaret, *Stultus es*, respondit, *Hegesia, qui caricas quidem non pictas, sed veras expetis, vera autem exercitatione neglecta, ad scriptam te confers.*

159. Exilium ei exprobranti, *Ejus vero causa*, dixit, *philosophatus sum, o bone.*

160. Alio dicente, *Exilio te Sinopenses mulctarunt*, *Et ego illos*, respondit, *mansione.*

161. Olympionicen cum videret oves pascentem, *Quam cito*, dixit, *o bone, ab Olympiis ad Nemea te contulisti?* (*Vide notas.*)

162. Interrogatus, cur stupidiore plerumque ingenio athletae sint, *Quia*, respondit, *suillis carnibus et bubulis maxime constant.*

163. Ἤιτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ, διὰ τί τοῦτο ποιεῖ; Μελετῶ, εἶπεν, ἀποτυγχάνειν. [Ibid.]

164. Αἰτῶν τινα (καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν) ἔφη· Εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μηδενὶ, ἀπὸ ἐμοῦ ἄρξαι. [Ibid.]

165. Ἐρωτηθεὶς ποτε ὑπὸ τοῦ τυράννου, ποῖος ἂν εἴη ἀμείνων χαλκὸς εἰς ἀνδριάντα; ἔφη, Ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐχαλκεύθησαν. [§. 50.]

166. Ἐρωτηθεὶς, πῶς χρῆται Διονύσιος τοῖς φίλοις; ἔφη· Ὡς θυλάκοις, τοὺς μὲν πλήρεις κρημνῶν, τοὺς δὲ κενοὺς ῥίπτων. [Ibid.]

167. Νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, Ὁ τοῦ Διὸς παῖς Ἡρακλῆς καλλίνικος ἐνθάδε κατοικεῖ, μηδὲν εἰσίτω κακόν· ἐπέγραψε· Μετὰ τὸν πόλεμον ἡ συμμαχία. [Ibid.]

168. Τὴν φιλαργυρίαν εἶπε μητρόπολιν πάντων τῶν κακῶν. [Ibid.]

169. Ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη· Εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις. [Ibid.]

170. Τοὺς ἀγαθοὺς ἄνδρας θεῶν ἔλεγεν εἰκόνας εἶναι, τὸν ἔρωτα σχολαζόντων ἀσχολίαν. [§. 51.]

171. Ἐρωτηθεὶς, τί ἄθλιον ἐν τῷ βίῳ; ἔφη· Γέρων ἄπορος. [Ibid.]

172. Ἰδὼν ποτε δύο Κενταύρους κάκιστα ἐζωγραφημένους, ἔφη· Πότερος τούτων Χείρων ἐστί; [Ibid.]

173. Τὸν πρὸς χάριν λόγον ἔφη μελιτίνην ἀγχόνην εἶναι. τὴν γαστέρα Χάρυβδιν ἔλεγε τοῦ βίου. [Ibid.]

174. Ἀκούσας ποτὲ, ὅτι Διδύμων ὁ μοιχὸς συνελήφθη, Ἄξιος, ἔφη, ἐκ τοῦ ὀνόματος κρέμασθαι. [Ibid.]

175. Ἰδὼν γυναῖκα ἐν φορείῳ, Οὐ κατὰ τὸ θηρίον, ἔφη, ἡ γαλεάγρα. [Ibid.]

163. Petebat aliquando statuam; interrogatus, cur hoc faceret: *Ut me*, inquit, *non potiri assuefacerem.*

164. Cum ab aliquo quid peteret (quippe et hoc primum propter inopiam fecerat), dicebat: *Siquidem et alii dedisti, mihi quoque da; si vero nemini, a me incipe.*

165. A tyranno de optimo ad statuam suam aere interrogatus, *Illud optimum*, dixit, *ex quo factae Harmodii et Aristogitonis (tyrannicidarum) sint statuae.*

166. Quomodo Dionysius amicis uteretur, rogatus, *Ut vasculis*, ait: *dum plena sunt, suspendit, abjicit vacua.*

167. Inscripserat quidam domui suae, uxore nuper ducta: *Jovis filius Callinicus Hercules hic habitat; nihil ingrediatur mali.* Adjecit Diogenes: *Post bellum auxilium.*

168. Pecuniae cupiditatem metropolin dixit omnium malorum.

169. Prodigum olivas videns in diversorio edentem, *Ita si prandisses*, dixit, *non ita coenares.*

170. *Bonos viros imagines deorum* dicebat, *amorem otiosorum negotium.*

171. Interrogatus, quidnam esset in vita miserum; *Senex*, inquit, *egenus.*

172. Intuitus aliquando Centauros duos pessime pictos interrogavit: *Uter horum Χείρων (Chiron* vel etiam *pejor) est?*

173. Adulatorum sermonem *melleum esse laqueum* dixit; *ventrem vitae Charybdim.*

174. Didymonem moechum comprehensum esse audiens, *Dignus est*, inquit, *ex ipso nomine* (ἐκ τῶν διδύμων nempe, qui Latinis sunt *testes, testiculi*) *suspendi.*

175. Foeminam in lectica conspiciens, *Indignam vero*, inquit, *tali bellua caveam.*

176. Ἰδὼν δραπέτην ἐπὶ φρέατος καθήμενον, ἔφη· Μειράκιον, βλέπε, μὴ ἐμπέσῃς. [§. 52.]

177. Ἰδὼν μειρακύλλιον ἱματιοκλέπτην ἐν τῷ βαλανείῳ, ἔφη· Ἐπ' ἀλειμμάτιον ἢ ἐπ' ἄλλο ἱμάτιον; [Ibid.]

178. Ἰδών ποτε γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονισμένας, Εἴθε γὰρ, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν. [Ibid.]

179. Ἰδὼν λωποδύτην ἔφη·

——————— τίπτε σὺ ὧδε, φέριστε,
Ἤ τινα συλήσων νεκύων κατατεθνηώτων;

[Ibid.]

180. Ἐρωτηθεὶς, εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι, ἔφη· Οὔ. τοῦ δὲ εἰπόντος, Ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει; ἔφη, Ὁ χρήζων τῆς οἰκίας. [Ibid.]

181. Πρὸς τὸν πολυτελῶς ὀψωνοῦντα·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγοράζεις.

[§. 53.]

182. Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου, καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, Ἐγὼ, εἶπεν, ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ· τραπεζότητα δὲ καὶ κυαθότητα οὐδαμῶς. Καὶ ὅς, Κατὰ λόγον, ἔφη· οἷς μὲν γὰρ κύαθος καὶ τράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχεις· ᾧ δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νοῦν οὐκ ἔχεις. [Ibid.]

183. Ἐρωτηθεὶς (Πλάτων) ὑπό τινος, Ποῖός τίς σοι Διογένης δοκεῖ; Σωκράτης, εἶπε, μαινόμενος. [§. 54.]

184. Ἐρωτηθεὶς, ποίῳ καιρῷ δεῖ γαμεῖν, ἔφη· Τοὺς μὲν νέους μηδέπω, τοὺς δὲ πρεσβυτέρους μηδεπώποτε. [Ibid.]

185. Ἐρωτηθεὶς, τί θέλοι κονδύλου λαβεῖν; Περικεφαλαίαν, ἔφη. [Ibid.]

186. Ἰδών ποτε μειράκιον ἐρυθριῶν, Θάῤῥει, ἔφη, τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα. [Ibid.]

187. Δυοῖν ποτε νομικοῖν ἀκούσας τοὺς δύο κατέκρι-

176. Fugitivum servum ad puteum videns considentem, *Cave*, inquit, *ne incidas.*

177. Adolescentem videns vestibus in balneis furto subducendis operam dantem, *Ad unctiunculam*, dixit, *venis, an ad aliud vestimentum?*

178. Cum vidisset aliquando mulieres ex olivae arbore pendere suspendio enecatas, *Utinam*, inquit, *omnes arbores fructum hujusmodi tulissent.*

179. Videns aliquem vestes e sepulcris suffurantem Homericis istis eum affatus est:

——————— sed hic quid, vir bone, quaeris?
An aliquem e vita functis spoliare parabas?

180. Interrogatus, an servulum aut servulam haberet, negavit. dicenti, *Si ergo mortem obieris, quisnam te ad sepulcrum efferet? Qui domo*, inquit, *indiget.*

181. Ad hominem magnis sumtibus obsonia comparantem itidem ex Homero dixit:

Nate, mihi haud longaevus eris.

182. Platone de ideis disserente et nominante mensalitatem et cyathitatem, *Equidem*, inquit, *o Plato, mensam et cyathum video, mensalitatem vero et cyathitatem non vidéo.* Et ille, *Et merito*, inquit, *quibus enim mensa cyathusque conspicitur, oculos habes; quo autem mensalitas et cyathitas intelligitur, animum non habes.*

183. Plato a quodam interrogatus, qualis sibi videretur Diogenes, respondit: *Socrates furens.*

184. Interrogatus a quodam, quo tempore ducenda sit uxor, *Juvenibus*, inquit, *nondum, provectioribus aetate nunquam.*

185. Interrogatus, quid dari sibi, ut colaphum acciperet. vellet, *Galeam*, respondit.

186. Adolescentem rubore perfusum videns, *Macte virtute*, inquit, *est enim iste virtutis color.*

187. Cum duos aliquando audisset legis peritos,

νεν, εἰπὼν, τὸν μὲν κεκλοφέναι, τὸν δὲ μὴ ἀπολωλεκέναι. [*Ibid.*]

188. Ἐρωτηθεὶς, ποῖον οἶνον ἡδέως πίνει, ἔφη· Τὸν ἀλλότριον. [*Ibid.*]

189. Πρὸς τὸν εἰπόντα, Πολλοί σου καταγελῶσιν, Ἀλλ' ἐγὼ, ἔφη, οὐ καταγελῶμαι. [*Ibid.*]

190. Ἐρωτηθεὶς, ποταπὸς εἴη κύων, ἔφη· Πεινῶν Μελιταῖος, χορτασθεὶς δὲ Μολοττικὸς, τούτων οὓς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι διὰ τὸν πόνον συνεξιέναι αὐτοῖς ἐπὶ τὴν θήραν· οὕτως οὐδὲ ἐμοὶ δύνασθε συμβιοῦν διὰ τὸν φόβον τῶν ἀλγηδόνων. [§. 55.]

191. Ἐρωτηθεὶς, εἰ σοφοὶ πλακοῦντα ἐσθίουσι, Πάντ', εἶπεν, ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι. [§. 56.]

192. Φιλάργυρον ᾔτει, τοῦ δὲ βραδύνοντος, Ἄνθρωπε, εἶπεν, εἰς τροφήν σε αἰτῶ, οὐκ εἰς ταφήν. [*Ibid.*]

193. Ὀνειδιζόμενος ποτὲ ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη· Ἦν ποτε χρόνος, ὅτ' ἤμην ἐγὼ τοιοῦτος, ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ ἔσῃ οὐδέποτε. καὶ πρὸς ἄλλον ἐπὶ τῷ αὐτῷ ὀνειδίσαντα, Καὶ γὰρ ἐνεούρουν θᾶττον, ἀλλὰ νῦν οὔ. [*Ibid.*]

194. Εἰς Μύνδον ἐλθὼν, καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ. [§. 57.]

195. Θεασάμενος ποτὲ πορφυροκλέπτην πεφωραμένον ἔφη·

> Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

[*Ibid.*]

196. Κρατεροῦ ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, Ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἅλα λείχειν, ἢ παρὰ Κρατερῷ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν. [*Ibid.*]

197. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθὼν, Ἐπί-

damnavit utrumque, alterum furatum esse dicens, alterum vero nihil perdidisse.

188. Interrogatus, quodnam vinum ipsi videretur suavissimum, *Id*, ajebat, *quod bibitur alterius impensa.*

189. Dicenti, *Plures te irrident*, *At ego*, inquit, *non irrideor.*

190. Qualis esset canis, interrogatus, *Esuriens*, inquit, *Melitaeus, satur vero Molossus, eorum unus, quos permulti quidem commendant, neque tamen ob laborem audent cum illis ad venatum egredi, itaque nec mecum ob dolorum metum vivere potestis.*

191. Interrogatus, an placentis etiam sapientes vescerentur, *Imo*, respondit, *omnibus rebus perinde ac alii homines.*

192. Poscebat quiddam ab avaro, atque illo tergiversante, *Ad cibum*, inquit, *homo, id a te peto, non ad sepulchrum.*

193. Exprobranti monetae falsationem, *Tempus omnino fuit*, dicebat, *quo tui similis eram; mei autem tu similis evades nunquam.* Alteri sibi idem exprobranti, *Atqui*, inquit, *in lectum mingebam antea, jam autem non amplius.*

194. Myndum profectus cum videret magnificas portas et urbem modicam, *Viri*, inquit, *Myndii, portas claudite, ne urbs vestra egrediatur.*

195. Hominem videns in purpurae furto deprehensum, *Hunc*, inquit,

Purpureum cepit fatum violentaque Parca.

196. Cratero, qui ad se illum invitaverat, respondit: *At malo salem Athenis lingere, quam apud Craterum magnifice instructa frui mensa.*

197. In Anaximenem incidens, pingui aqualiculo

δος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός· καὶ γὰρ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις. [Ib.]

198. Διαλεγομένου ποτὲ αὐτοῦ, τάριχον προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δὲ, Τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν. [Ibid.]

199. Ὀνειδιζόμενός ποτε, ὅτι ἐν ἀγορᾷ ἔφαγεν, Ἐν ἀγορᾷ γὰρ, ἔφη, καὶ ἐπείνησα. [§. 58.]

200. Πλάτων θεασάμενος αὐτὸν λάχανα πλύνοντα, προσελθὼν ἡσυχῇ εἶπεν αὐτῷ, Εἰ Διονύσιον ἐθεράπευες, οὐκ ἂν λάχανα ἔπλυνες· ὁ δὲ ἀπεκρίνατο ὁμοίως ἡσυχῇ, Καὶ σὺ, εἰ λάχανα ἔπλυνες, οὐκ ἂν Διονύσιον ἐθεράπευες. [Ibid.]

201. Πρὸς τὸν εἰπόντα· Οἱ πλεῖους σου καταγελῶσι· Κἀκείνων τυχὸν, εἶπεν, οἱ ὄνοι, ἀλλ' οὔτ' ἐκεῖνοι τῶν ὄνων ἐπιστρέφονται, οὔτ' ἐγὼ ἐκείνων. [Ibid.]

202. Θεασάμενος μειράκιον φιλοσοφοῦν, Εὖγε, εἶπεν, ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος μετάγεις. [Ibid.]

203. Θαυμάζοντος τινὸς τὰ ἐν Σαμοθρᾴκῃ ἀναθήματα, ἔφη· Πολλῷ ἂν εἴη πλείω, εἰ καὶ οἱ μὴ σωθέντες ἀνετίθεσαν. [§. 59.]

204. Εὐμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον ἔφη, Χείρων ἐπανήξεις. τοῦ δὲ ἐπανελθόντος τῇ ἑξῆς, καὶ εἰπόντος, Καὶ ἀπῆλθον, καὶ χείρων οὐκ ἐγενόμην· Χείρων μὲν οὔ, Εὐρυτίων δέ. [Ibid.]

205. Δύσκολον ᾔτει. τοῦ δὲ εἰπόντος, Ἐάν με πείσῃς, ἔφη, Εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισά σε ἂν ἀπάγξασθαι. [Ibid.]

206. Ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον, Ποῖ καὶ πόθεν; Ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν. [Ibid.]

207. Vide Opusc. Sent. Tom. I. pag. 28. No. 79.

208. Φρύνης Ἀφροδίτην χρυσῆν ἀναθείσης ἐν Δελφοῖς, ἐπέγραψε· Τῆς ἀπὸ τῶν Ἑλλήνων ἀκρασίας. [§. 60.]

rhetorum, *Impartire*, inquit, *et nobis pauperibus ventrem: id enim te quidem onere levabit, nobis vero erit emolumento.*

198. Eodem Anaximene aliquando disserente, salsamentum praetendens Diogenes auditores in se convertit; indignante illo, *Disputationem*, inquit, *Anaximenis oboli unius salsamentum dissolvit.*

199. Cum illi probro daretur, quod in foro manducaret, *In foro enim*, ait, *esurii.*

200. Intuitus illum Plato olera lavantem, accedens tacite dixit: *Si Dionysium coluisses, olera profecto non lavisses.* Cui Diogenes ad aurem item respondit: *Et tu si olera lavisses, Dionysium non coluisses.*

201. Dicenti, rideri eum a plerisque, *Et illos forte*, respondit, *asini rident; verum nec illi asinos, nec ego illos curo.*

202. Conspecto adolescentulo philosophante, *Macte virtute*, inquit, *quod amatores corporis ad animae pulchritudinem traducis.*

203. Admirante quodam ea quae in Samothracia videbantur donaria, *Longe*, ait, *plura essent, si et qui servati non sunt, ea dedicassent.*

204. Formoso adolescenti ad convivium eunti, *Chiron*, inquit, *redibis* (quod *deteriorem* notat). Illi redeunti postridie ac sibi dicenti, *Et abii, et deterior factus non sum*, *Non quidem*, inquit, *deterior* (Χείρων), *sed laxior* (Εὐρυτίων).

205. A difficili aliquid petebat: illo dicente, *Si mihi persuaseris*, *Equidem*, inquit, *si persuadere possem, suasissem, ut te suffocares.*

206. Revertebatur Lacedaemone Athenas. Cum igitur interrogaretur, quo et unde veniret, *A viris*, inquit, *ad mulieres.*

208. Auream Venerem Delphis obtulerat Phryne meretrix: cui inscriptionem fecit Diogenes: *Ex Graecorum intemperantia.*

209. Ἀλεξάνδρου ποτὲ ἐπιστάντος αὐτῷ καὶ εἰπόντος Ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεύς· Κἀγὼ, φησὶ, Διογένης ὁ κύων. [Ibid.]

210. Ἐρωτηθεὶς, τί ποιῶν κύων καλεῖται, ἔφη, Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. [Ibid.]

211. Ἀπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυλάττοντος εἰπόντος, Αὐτόθεν πρώην ἄνθρωπος ἀπήγξατο, Ἐγὼ οὖν, φησὶν, αὐτὴν καθαρῶ. [§. 61.]

212. Ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα, Ἴδε, ἔφη, κριὸν ἀρειμάνιον, ὡς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται. [Ibid.]

213. Τὰς εὐπρεπεῖς γυναῖκας ἔλεγε θανασίμῳ μελικράτῳ παραπλησίας εἶναι. [Ibid.]

214. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον, Κύον· ὁ δὲ, Ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε. [Ibid.]

215. Περὶ παιδὸς πεπορνευκότος ἐρωτηθεὶς, πόθεν εἴη, Τεγεάτης, ἔφη. [Ibid.]

216. Ἀφυῆ παλαιστὴν θεασάμενος ἰατρεύοντα, ἔφη, Τί τοῦτο; ἢ ἵνα τοὺς ποτέ σε νικήσαντας νῦν καταβάλῃς; [§. 62.]

217. Θεασάμενος υἱὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, Πρόσεχε, ἔφη, μὴ τὸν πατέρα πλήξῃς. [Ibid.]

218. Δείξαντος αὐτῷ παιδαρίου μάχαιραν, ἣν εἰλήφει παρὰ ἐραστοῦ, Ἡ μὲν μάχαιρα, ἔφη, καλὴ, ἡ δὲ λαβὴ αἰσχρά. [Ibid.]

219. Ἐπαινούντων τινῶν τὸν ἐπιδόντα αὐτῷ, ἔφη, Ἐμὲ δ' οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν; [Ibid.]

220. Ἀπαιτούμενος ὑπό τινος τρίβωνα, ἔφη, Εἰ μὲν ἐχαρίσω, ἔχω· εἰ δὲ ἔχρησας, χρήσομαι. [Ibid.]

221. Ὑποβολιμαίου τινὸς εἰπόντος αὐτῷ, ὅτι χρυσὸν ἔχει ἐν τῷ ἱματίῳ, Ναὶ, ἔφη, διὰ τοῦτο αὐτῷ ὑποβεβλημένος κοιμῶμαι. [Ibid.]

209. Alexandro aliquando subito illi superveniente et dicente, *Ego sum Alexander magnus ille rex: At ego*, inquit, *Diogenes canis.*

210. Interrogatus, quidnam faciens canis vocaretur, *Quod eis*, inquit, *blandior, qui dant, in eos vero, qui non dant, oblatro, malos autem mordeo.*

211. Ficus legenti cum diceret custos, ab ea arbore ante paucos dies hominem se suspendisse, *Ego igitur*, inquit, *illam purgabo.*

212. Olympionicem in scortum oculos identidem vertere observans, *Ecce*, inquit, *ut Martius aries collo a publico scorto ducatur.*

213. Formosa scorta lethali mulso non dissimilia ajebat.

214. Prandenti in foro qui circumstabant identidem acclamabant: *Canis.* At ille, *Vos*, ait, *canes estis, qui me prandentem circumstatis.*

215. De puero constuprato, cujas esset, interrogatus, *Tegeates*, inquit.

216. Cum videret luctatorem quondam ignavum medium factum: *Quid hoc?* inquit, *num ut victores quondam tuos nunc vicissim dejicias?*

217. Scorti filium in turbam lapides mittere videns, *Cave*, dixit, *patrem ne ferias.*

218. Puero gladium sibi ostendente, quem ab amatore acceperat, *gladium pulchrum esse*, dixit, *sed foedam λαβὴν* (quod et *capulum* et *occasionem* accepti gladii notat).

219. Laudantibus hominem nonnullis, qui liberalem adversus Diogenem se gessisset, *Me autem*, inquit, *cur non laudatis, qui accipere merui?*

220. Repetente quodam ab eo pallium, *Si donasti*, inquit, *servandum est; si mutuo dedisti, eo utendum.*

221. Dicente quodam, qui suppposititius foetus esse crederetur, *Aurum habes in pallio, Imo*, inquit, *propterea eo supposito dormire soleo.*

222. Ἐρωτηθεὶς, πόθεν εἴη, Κοσμοπολίτης, ἔφη. [§. 63.]

223. Θυόντων τινῶν τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι, ἔφη· Περὶ δὲ τοῦ, ποταπὸς ἐκβῇ, οὐ θύετε; [Ibid.]

224. Ἔρανον ποτὲ αἰτούμενος πρὸς τὸν ἐρανάρχην ἔφη·

Τοὺς ἄλλους ἐράνιζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

[Ibid.]

225. Ψηφισαμένων Ἀθηναίων Ἀλέξανδρον Διόνυσον, Κἀμὲ, ἔφη, Σάραπιν ποιήσατε. [Ibid.]

226. Ἐν ἱερῷ δειπνῶν μεταξὺ ῥυπαρῶν ἄρτων παρατεθέντων, ἄρας αὐτοὺς ἔῤῥιψεν, εἰπὼν, εἰς ἱερὸν μηδὲν δεῖν ῥυπαρὸν εἰσιέναι. [§. 64.]

227. Πρὸς τὸν εἰπόντα, Οὐδὲν εἰδὼς φιλοσοφεῖς, ἔφη, Εἰ καὶ προσποιοῦμαι σοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι. [Ibid.]

228. Πρὸς τὸν συνιστάντα τὸν παῖδα, καὶ λέγοντα, ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη κράτιστος, Τί οὖν, εἶπεν, ἐμοῦ χρῄζει; [Ibid.]

229. Ἰδών ποτε νεανίσκον θηλυνόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, χείρονα τῆς φύσεως περὶ σαυτοῦ βουλευόμενος; ἡ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σαυτὸν βιάζῃ γυναῖκα εἶναι. [§. 65.]

230. Ἰδὼν ἄφρονα ψαλτήριον ἁρμοζόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, τοὺς μὲν φθόγγους τῷ ξύλῳ προσαρμόττων, τὴν δὲ ψυχὴν εἰς τὸν βίον μὴ ἁρμόττων; [Ibid.]

231. Πρὸς τὸν εἰπόντα, Ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν, Τί οὖν, ἔφη, ζῇς, εἰ τοῦ καλῶς ζῆν οὐ μέλει σοι; [Ibid.]

232. Πρὸς τὸν καταφρονοῦντα τοῦ πατρὸς, Οὐκ αἰσχύνῃ, ἔφη, καταφρονεῖν τούτου, δι' οὗ μέγα φρονεῖς; [Ibid.]

233. Ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, Οὐκ αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνου κολεοῦ μολιβδίνην ἕλκων μάχαιραν; [Ibid.]

222. Quae patria ipsi esset, rogatus, mundi se dixit esse civem.

223. Sacrificantibus parentibus, ut filium a diis impetrarent, *Ut bonum*, inquit, *impetretis, non sacrificatis?*

224. Cum symbolum aliquando ab eo posceretur, collectori dixit:

Symbola posce alios, sed ab Hectore contine dextram.

225. Atheniensibus decreto Bacchi honores Alexandro deferentibus, *Me igitur*, dixit, *Serapidem facite.*

226. In fano coenanti cum sordidi panes apponerentur, sublatos abjecit, *sordidum nihil templo* dicens *esse inferendum.*

227. Dicenti, cur rerum omnium ignarus philosophiam profiteretur, *Si vel prae me feram*, inquit, *philosophiae studium, id philosophari jam est.*

228. Filium commendanti, ut qui ingenio excelleret, et moribus esset cultissimus, *Quid me ergo*, inquit, *ei est opus?*

229. Juvenem quondam videns effoeminatum, *Annon*, inquit, *pudet, quod deterius, quam ipsa natura, de te statuas? Virum ea te fecit, tu foeminam te fieri cogis.*

230. Hominem parum cordatum videns aptare psalterium, *Non erubescis*, inquit, *qui sonos ligno aptes, animum ad vitam non componas?*

231. Dicenti cuidam, *Idoneus ad philosophiam non sum*, *Quid ergo*, inquit, *vivis, si, honeste ut vivas, nulla tibi cura est?*

232. Patrem contemnenti, *Non pudet*, inquit, *eum contemnere, qui tibi, ut magnum sapere possis, fuit auctor?*

233. Juvenem commendatissimae formae stolide audiens loquentem, *Annon pudet*, ait, *plumbeum ex eburnea vagina educere gladium?*

234. Ὀνειδιζόμενος, ὅτι ἐν καπηλείῳ πίνει, Καὶ ἐν κουρείῳ, φησὶ, κείρομαι. [§. 66.]

235. Ὀνειδιζόμενος, ὅτι παρὰ Ἀντιπάτρου τριβώνιον ἔλαβεν, ἔφη·

Οὔ τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα. [*Ibid.*]

236. Πρὸς τὸν λιπαροῦντα τῇ ἑταίρᾳ, Τί θέλεις, ἔφη, τυχεῖν, ὦ κακόδαιμον, οὗ τὸ ἀποτυχεῖν ἄμεινον ἐστί; [*Ibid.*]

237. Πρὸς τὸν μυριζόμενον, Βλέπε, εἶπε, μὴ ἡ τῆς κεφαλῆς σου εὐωδία δυσωδίαν σου τῷ βίῳ παράσχῃ. [*Ibid.*]

238. Τοὺς μὲν οἰκέτας ἔφη δεσπόταις, τοὺς δὲ φαύλους ἐπιθυμίαις δουλεύειν. [*Ibid.*]

239. Ἐρωτηθεὶς, διὰ τί ἀνδράποδα ἐκλήθη, Ὅτι, φησὶ, τοὺς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν, ὁποίαν σὺ νῦν ὁ ἐξετάζων. [§. 67.]

240. Ὀνειδιζόμενος, ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, Κἀκεῖνος, εἶπεν, αἰτεῖ, ἀλλ'

Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι. [*Ibid.*]

241. Ἰδὼν τοξότην ἀφυῆ παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπὼν, ἵνα μὴ πληγῶ. [*Ibid.*]

242. Τοὺς ἐρῶντας ἔφη πρὸς ἡδονὴν ἀτυχεῖν. [*Ibid.*]

243. Ἐρωτηθεὶς, εἰ κακὸς ὁ θάνατος, Πῶς, εἶπε, κακὸς, οὗ παρόντος οὐκ αἰσθανόμεθα; [§. 68.]

244. Πρὸς Ἀλέξανδρον ἐπιστάντα καὶ εἰπόντα, Οὐ φοβῇ με; Τί γὰρ, εἶπεν, εἰ ἀγαθὸν, ἢ κακόν; τοῦ δὲ εἰπόντος, Ἀγαθόν· Τίς οὖν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται; [*Ibid.*]

245. Τὴν παιδείαν, εἶπε, τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. [*Ibid.*]

246. Πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντα ποτὲ κόρης ὀφθαλμὸν, Ὅρα, φησὶ, μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου ἰατρεύων, τὴν κόρην φθείρῃς. [*Ibid.*]

254. Cum illi probro daretur, quod in caupona biberet, *Et in tonstrina tondeor*, inquit.

255. Pallium ab Antipatro quod accepisset, exprobranti, respondit:

Rejicienda deûm non sunt insignia dona.

256. Supplicante quodam meretrici, *Quid*, ait, *consequi vis, miser, quo praestet frustrari?*

257. Unguentis delibuto, *Vide*, ait, *ne corporis fragrantia vitae praestet foetorem.*

258. *Servos dominis, malos cupiditatibus*, ajebat, *servire.*

259. Interrogatus, cur ἀνδράποδα servi dicantur, *Quia*, respondit, *pedes quidem virorum, animum autem habent, qualem tu, qui hoc interrogas.*

240. Cum probro daretur, quod mendicum ageret ipse, longe a mendicitate alieno Platone, *Sed et ipse*, respondit, *mendicitatem exercet,*

Ast capite admoto, reliqui ne forte resciscant.

241. Sagittarium videns imperitum, ad scopum, quem ille peteret, consedit, *ne forte*, dicens, *me feriat.*

242. Amatores in voluptate percipienda falli dicebat atque frustrari.

243. An mala mors esset, interrogatus, *Qui mala sit*, respondit, *quam non sentimus praesentem?*

244. Alexandro repente supervenienti ac dicenti, *Annon times me? Qualem*, inquit, *bonum an malum?* Dicenti *bonum*, *Quis ergo*, ait, *bonum timet?*

245. Disciplinam adolescentibus moderationem, senibus solatium, pauperibus divitias, divitibus ornatum largiri ajebat.

246. Didymoni moecho, puellae curanti oculum, *Cave*, inquit, *ne oculum virginis curans laedas κόρην* (quod et *pupillam* notat et *virginitatem*).

247. *Εἰπόντος τινὸς, ὅτι ὑπὸ τῶν φίλων ἐπιβουλεύεται, Καὶ τί δεῖ πράττειν, ἔφη, εἰ δεήσει τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς ὁμοίως χρῆσθαι;* [*Ibid.*]

248. *Ἐρωτηθεὶς, τί κάλλιστον ἐν ἀνθρώποις, ἔφη, Παῤῥησία.* [§. 69.]

249. *Εἰσελθὼν εἰς διδασκάλου, καὶ Μούσας μὲν ἰδὼν πολλὰς, μαθητὰς δὲ ὀλίγους, Σὺν θεοῖς, ἔφη, διδάσκαλε, πολλοὺς μαθητὰς ἔχεις.*

249. a. *Πρᾶσιν ἤνεγκε γενναιότατα· πλέων γὰρ εἰς Αἴγιναν, καὶ πειραταῖς ἁλοὺς, ὧν ἦρξε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο· καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε ποιεῖν, ἔφη, Ἀνθρώπων ἄρχειν. ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν Ξενιάδην, ἔφη· Τούτῳ με πώλει· οὗτος δεσπότου χρῄζει. Ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον, ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις, καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι διετίθει, ὥστε ἐκεῖνος περιϊὼν, Ἀγαθὸς, ἔλεγε, δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε. Φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ, τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι· τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων· δούλου γὰρ τὸ φοβεῖσθαι· τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι.* [*Idem* §. 74. 75.]

250. *Διογένης ἰδών τινα ἐξυρημένον τὸ γένειον, ἔφησεν· Μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε καὶ οὐ γυναῖκα; Ἕτερον δὲ τινὰ ἐπὶ ἵππου ἰδὼν παραπλησίως ἔχοντα, καὶ μεμυρισμένον, καὶ τούτοις ἀκολούθως ἠμφιεσμένον, πρότερον μὲν ἔφησε ζητεῖν, τί ἐστιν ὁ ἱππόπορνος, νῦν δὲ εὑρηκέναι.* [*Athenaeus Lib. XIII. p.* 565. *Casaubon.*]

251. *Διογένης πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ ἀποτριβομένῳ ἔλεγεν· Εἴθ' ἠδυνάμην καὶ τὴν γαστέρα τρίψας τῆς πείνης καὶ τῆς ἐνδείας παύσασθαι.* [*Idem Lib. IV. pag.* 158.]

247. Referente nonnemine, ipsi amicos insidiari, *Quid faciendum igitur*, inquit, *si amicis perinde ac inimicis est utendum?*

248. Quid inter homines optimum esset, interrogatus, *Dicendi*, respondit, *libertas.*

249. Scholam aliquando ingressus, cum plurimas Musarum statuas, paucos discipulos vidisset, *Cum deabus*, ad praeceptorem inquit, *multos habes discipulos.*

249. a. Sui auctionem fortissime pertulit. Nam cum in Aeginam navigaret, atque a piratis fuisset comprehensus, quorum dux erat Scirpalus, in Cretam deductus venditus est. Praecone autem interrogante, quid sciret facere, respondit *Hominibus imperare.* Unde cum indicasset digito Corinthium quendam purpuratum praetereuntem Xeniadem, *Huïc*, inquit, *me vende: hic enim domino indiget.* Emit igitur illum Xeniades, Corinthumque secum adducens filiis praeceptorem dedit, et toti domui praefecit. Is vero ita se gessit in omnibus, ut ille circumiens diceret: Bonus genius in domum meam ingressus est. Refert Cleomenes in libro, qui Paedagogus inscribitur, necessários suos illum redimere voluisse, illum vero eos fatuos dixisse. Neque enim leones servos esse nutrientium, sed contra illos servire leonibus. Nam servi timere est, feras vero hominibus terrori esse.

250. Diogenes, conspecto quodam mento raso, *An naturae vitio vertis*, inquit, *quod virum te generaverit, non foeminam?* Alterum idem contuitus sic depilem in equo sedentem, unguentis delibutum, ac veste indutum, quae ei mollitiei conveniret, *pridem a se investigatum* dixit, *quidnam foret Equiscortum, tum demum vero inventum.*

251. Diogenes, quia se fricaret, tanquam incivilis notatus et reprehensus, *Utinam*, inquit, *affrictu ventris famem et egestatem placare possem!*

252. *Διογένης ἐν τῇ ἑαυτοῦ πολιτείᾳ νόμισμα εἶναι νομοθετεῖ ἀστραγάλους.* [*Idem Lib. IV. pag.* 159.]

253. *Διογένης ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν ἔνδοξος γίγνοιτο, ἀπεκρίνατο, ὅτι ἥκιστα δόξης φροντίζων.* [*Theon Sophist. Progymnasm. Cap. V. περὶ χρείας.*]

254. *Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς ἐπιστὰς Διογένει κοιμωμένῳ εἶπεν·*

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.

καὶ ὁ Διογένης ἀπεκρίνατο·

Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν. [*Idem ibid.*]

255. *Διογένης μειράκιον ἰδὼν ἀτακτοῦν, τὸν παιδαγωγὸν ἔπαισεν, εἰπών, Τί γὰρ ταῦτα παιδεύεις;* [*Idem in exempl. pag.* 121. *ed. Basil.*]

256. *Διογένης λέγει, ὅτι ὁ θάνατος οὐκ ἔστι κακόν, οὐδὲ γὰρ αἰσχρόν. λέγει, ὅτι εὐδοξία ψόφος ἐστὶ μαινομένων ἀνθρώπων. τὸ δὲ γυμνὸν εἶναι, λέγει, ὅτι κρεῖσσόν ἐστι πάσης περιπορφύρου· τὸ δὲ ἐπ' ἀστρώτῳ πέδῳ καθεύδειν, λέγει, ὅτι μαλακωτάτη κοίτη ἐστί. καὶ ἀπόδειξιν φέρει ἑκάστου, τὸ θάρσος τὸ αὐτοῦ, τὴν ἀταραξίαν, τὴν ἐλευθερίαν, εἶτα καὶ τὸ σωμάτιον στίλβον καὶ συνεστραμμένον.* [*Arrian. Dissert. Epictet. I. Cap. XXIV.* §. 6—8.]

257. *Διογένης τῶν σοφιστῶν τινα ἔδειξεν ἐκτείνας τὸν μέσον δάκτυλον, εἶτα ἐκμανέντος αὐτοῦ, Οὗτός ἐστιν, ἔφη, ὁ δεῖνα· ἔδειξα ὑμῖν αὐτόν.* [*Idem III. Cap. II.* §. 11.]

258. *Διογένης που λέγει, μίαν εἶναι μηχανὴν πρὸς ἐλευθερίαν τὸ εὐκόλως ἀποθνήσκειν, καὶ τῷ Περσῶν βασιλεῖ γράφει, ὅτι Τὴν Ἀθηναίων πόλιν καταδουλώσασθαι οὐ δύνασαι· οὐ μᾶλλον, φησίν, ἢ τοὺς ἰχθύας. Πῶς; οὐ γὰρ λήψομαι αὐτούς; Ἂν λάβῃς, φησίν, εὐθὺς ἀπολιπόντες σε οἰχήσονται, καθάπερ οἱ ἰχθύες. καὶ γὰρ ἐκείνων ὃν ἂν λάβῃς, ἀπέθανε· καὶ οὗτοι ληφθέντες ἐὰν ἀποθνήσκωσι, τί σοι ἐστὶ τῆς παρασκευῆς ὄφελος;* [*Idem Lib. IV. Cap. I.* §. 30. 31.]

259. *Διογένης ἔλεγε τῷ σωτηρίας δεομένῳ ζητεῖν προστή-*

252. Diogenes in sua republica pro nummis ut sint tali pecudum lege sanxit.

253. Diogenes philosophus interrogatus a quodam, quam viam ad gloriam censeret ingrediendam esse, respondit: *eam, in qua esset gloriae neglectus.*

254. Alexander rex Macedonum assistens Diogeni sopito, inquit:

Stertere perpetuam non dignum est principe noctem.

Cui respondit Diogenes:

Cui populi salus et tanta negotia curae.

255. Diogenes adolescentem conspicatus petulantem, ipse pulsavit custodem, tantum locutus: *Cur tu ad hunc modum instituis?*

256. Diogenes mortem ait non esse malum, nam ne turpem quidem: celebritatem esse ait insanientium hominum strepitum: nudum esse ait praestantius esse quavis toga praetexta: in nudo dormire solo mollissimum ait esse lectum. Et ad faciendam fidem cujusque horum, quae dicit, documentum profert suam fiduciam, suam animi constantiam, suam libertatem, denique etiam corpusculum suum nitidum et probe compactum.

257. Diogenes monstravit sophistam quendam medio digito extenso, deinde illo furore percito, *Hic,* inquit, *ille est; monstravi eum vobis.*

258. Diogenes alicubi dixit, unam esse rationem retinendae libertatis haud gravate mori: et Persarum regi scribit, eum Atheniensium civitatem non posse in servitutem redigere; non magis, ait, quam pisces. Quomodo? non capiam eos? Si ceperis, inquit, statim te relicto abibunt, quemadmodum pisces; nam et horum quemcunque ceperis, moritur. At isti capti si moriantur, quae erit expeditionis tuae utilitas?

259. Diogenes dixit eum, qui salvum se velit, quae-

κειν ἢ φίλον σπουδαῖον, ἢ διάπυρον ἐχθρὸν, ὅπως ἐλεγχόμενος ἢ θεραπευόμενος ἀποφεύγῃ τὴν κακίαν. [*Plutarch. de profect. in virtute. Opp. Moral. p.* 82. *ed. Paris. in fol.*]

260. *Διογένης ἐν Κορίνθῳ τὸν υἱὸν τοῦ Διονυσίου θεασάμενος ἰδιώτην ἐκ τυράννου γεγενημένον*, Ὡς ἀναξίως, ἔφη, Διονύσιε, σεαυτοῦ πράττεις. Οὐ γάρ ἐνταῦθά σε μεθ' ἡμῶν ἔδει ζῇν ἐλευθέρως καὶ ἀδεῶς, ἀλλ' ἐκεῖ τοῖς τυραννείοις ἐγκατῳκοδομημένον, ὥσπερ ὁ πατὴρ, ἄχρι γήρως ἐγκαταβιῶσαι. [*Idem in libello an seni gerenda sit respublica. Opp. Moral. p.* 785.]

261. *Διογένης ἐρωτηθεὶς, ὅπως ἂν τις ἀμύναιτο τὸν ἐχθρὸν*, Αὐτὸς, ἔφη, καλὸς κἀγαθὸς γενόμενος. [*Idem de audiendis poetis. Opp. Moral. p.* 21.]

262. *Περὶ Διογένους τοῦ Σινωπέως ἱστοροῦσιν ἀρχομένου φιλοσοφεῖν, ὡς Ἀθηναίοις ἦν ἑορτὴ, καὶ δεῖπνα δημοτελῆ, καὶ θέατρα, καὶ συνουσίας μετ' ἀλλήλων ἔχοντες ἐχρῶντο κώμοις καὶ παννυχίσιν· ὁ δ' ἐν τινὶ γωνίᾳ τῆς ἀγορᾶς συνεσπειράμενος ὡς καθευδήσων ἐνέπιπτεν εἰς λογισμοὺς τρέποντας αὐτὸν οὐκ ἀτρέμα καὶ θραύοντας, ὡς οὐδ' ἀπὸ μιᾶς ἀνάγκης εἰς ἐπίπονον καὶ ἀλλόκοτον ἥκων βίον αὐτὸς ὑφ' ἑαυτοῦ κάθηται τῶν ἀγαθῶν ἁπάντων ἐστερημένος. εἶτα μέντοι μῦν τινα προσερπύσαντα λέγεται περὶ τὰς ψίχας αὐτοῦ τῆς μάζης ἀναστρέφεσθαι. τὸν δ' αὖθις ἀναφέρειν τῷ φρονήματι, καὶ λέγειν πρὸς ἑαυτὸν οἷον ἐπιπλήττοντα καὶ κακίζοντα· Τί φῄς, ὦ Διόγενες; τοῦτον μὲν εὐωχεῖ τὰ σὰ λείμματα καὶ τρέφει, σὺ δ' ὁ γενναῖος, ὅτι μὴ μεθύεις ἐκεῖ κατακείμενος ἐν ἁπαλοῖς καὶ ἀνθινοῖς στρώμασιν, ὀδύρῃ καὶ θρηνεῖς σεαυτόν;* [*Idem de profect. in virt. sent. Opp. Moral. p.* 77.]

263. *Διογένης ἔλεγε καὶ τὸν Σωκράτην αὐτὸν τρυφῆσαι· περιειργάσθαι γὰρ καὶ τῷ οἰκιδίῳ, καὶ τῷ σκιμποδίῳ, καὶ ταῖς βλαύταις δὲ, αἷσπερ οὖν ἐχρῆτο Σωκράτης ἔστιν ὅτε.* [*Aelian. Var. Hist. IV.* 11.]

264. *Διογένης λαβὼν παρὰ Διοτίμου τοῦ Καρυστίου νόμισμα ὀλίγον, ἔφη·*

rere debere aut probum amicum, aut acerrimum hostem, ut vel reprehensus vel correctus vitio liberetur.

260. Diogenes cum filium Dionysii tyranni Corinthi videret privatum de tyranno factum, *Quam indignam*, ajebat, *te ipso vitam agis! non enim hic te libere et tuto vivere conveniebat, sed in patria arci tyrannicae inclusum exemplo patris tui consenescere.*

261. Diogenes interrogatus, qua quis ratione ulcisci inimicum posset, respondit: *Si ipse quam optimus fiat.*

262. Diogenem memorant Sinopensem, cum philosophari coepisset, ac forte Athenienses festos agerent dies, epularenturque splendide, spectaculaque essent et convivia et comessationes per totam noctem ducerentur, in quodam fori angulo convolutum somni capiendi causa jacentem, in cogitationes incidisse animum ipsius non leviter ab instituto avertentes atque frangentes, reputantem, nulla se necessitate vitae genus laboriosum atque a communi usu alienum inivisse, ac se ipsum omnibus bonis privasse: ut vero murem arrepere, et circa micas mazae suae obversari vidit, animum rursus erexisse, ac se ipsum increpasse damnavisseque: *Quid ais* (inquientem), *Diogenes? mus hic reliquiis tuis laetus vescitur, tu vero praeclarus scilicet homo te ipsum deploras ac lamentaris, quod non istic in stragulis mollibus atque floridis inebriare?*

263. Diogenes Socratem etiam ipsum deliciis usum ajebat: nimii enim ornatus fuisse studiosum in parvula domo et lectulo, sandaliis etiam, quibus aliquando solebat uti.

264. Diogenes, accepto exiguo nummo a Diotimo Carystio, dixit:

Σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς,
Ἄνδρα τε καὶ οἶκον.

Ἐδόκει δέ πως ὁ Διότιμος μαλθακώτερος εἶναι. [*Idem ibid. Cap.* 27.]

265. Ἐπῄνει Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου, τὸ λέγον·
Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.

ἀκούοντος Διογένους. Ὁ δὲ εἶπε· *Καὶ μὴν Μεσσήνιοι καὶ οἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐστε οἱ γείτονες.* [*Idem Lib. IX. Cap.* 28.]

266. Διογένης εἰς Ὀλυμπίαν ἐλθὼν, καὶ θεασάμενος ἐν τῇ πανηγύρει Ῥοδιακούς τινας νεανίσκους πολυτελῶς ἠσθημένους, γελάσας ἔφη, *Τύφος τοῦτό ἐστι.* Εἶτα περιτυχὼν Λακεδαιμονίοις ἐν ἐξωμίσι φαύλαις καὶ ῥυπώσαις, *Ἄλλος*, εἶπεν, *οὗτος τύφος.* [*Idem ibid. Cap.* 52.]

267. Ἤλγει τὸν ὦμον Διογένης, ἢ τρωθεὶς, οἶμαι, ἢ ἐξ ἄλλης τινὸς αἰτίας. Ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλγεῖν, τῶν τις ἀχθομένων αὐτῷ κατεκερτόμει λέγων, *Τί οὖν οὐκ ἀποθνήσκεις, ὦ Διόγενες, καὶ σεαυτὸν ἀπαλλάττεις κακῶν;* Ὁ δὲ εἶπε, *Τοὺς εἰδότας, ἃ δεῖ πράττειν ἐν τῷ βίῳ, καὶ ἃ δεῖ λέγειν, τούτους γε ζῆν προσήκει*, ὧν καὶ αὐτὸς ὡμολόγει εἶναι. *Σοὶ μὲν οὖν*, ἔφη, *οὐκ εἰδότι τά τε λεκτέα καὶ τὰ πρακτέα, ἀποθανεῖν ἐν καλῷ ἐστιν· ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων, πρέπει ζῆν.* [*Idem Lib. X. Cap.* 11.]

268. Ὁ γοῦν κυνικὸς φιλόσοφος Διογένης ὕψει καὶ μεγέθει τοσούτῳ φρονήματος ἐχρήσατο, ὥστ' ἁλοὺς ὑπὸ λῃστῶν, ἐπεὶ γλίσχρως καὶ μόγις τὰς ἀναγκαίας παρεῖχον αὐτῷ τροφὰς, οὐδ' ὑπὸ τῆς παρούσης τύχης καμφθεὶς, οὔτε τὴν ὠμότητα τῶν ὑπηγμένων δείσας, *Ἀτοπώτατον*, ἔφη, *γίνεται, δελφάκια μὲν ἢ προβάτια, ὁπότε μέλλοι πιπράσκεσθαι, τροφαῖς ἐπιμελεστέραις εἰς εὐσαρκίαν πιαίνειν, ζώων δὲ τὸ ἄριστον, ἄνθρωπον, ἀσιτίαις κατασκληκευθέντα, ἐπευωνίζεσθαι.* Λαβὼν δὲ τροφὰς διαρκεῖς, ἐπειδὴ μεθ' ἑτέρων ἔμελλεν ἀπεμπολεῖ-

Di tibi dent, quae mente optas et quanta, virumque
Atque domum.

Videbatur autem aliquo modo mollior aut effoeminatior esse Diotimus.

265. Spartanus quidam versum Hesiodi laudabat ita sonantem:

Non vel bos pereat, nisi vicinus malus adsit.

idque audiente Diogene. Ille vero, *Atqui*, inquit, *Messenii et boves eorum perierunt, et vos illorum estis vicini.*

266. Diogenes quum venisset Olympiam et in illa festi celebritate Rhodiacos quosdam adolescentes vidisset pretiose vestitos, ridens dixit: *Fastus ille est.* Deinde quum incidisset in Lacedaemonios vilibus et sordidis tunicis (quas exomides vocant) indutos, *Hic*, inquit, *alius fastus.*

267. Dolorem sentiebat Diogenes in humero, vulneratus, puto, vel alia quadam causa. Quum igitur vehementi dolore videretur affici, quidam inimicorum ejus illudebat ei, dicens: *Quare igitur mortem non obis, o Diogenes, et te ipsum malis liberas?* At ille respondit: *Eos, qui sciunt, quae in vita facere, quaeque dicere deceat, vivere aequum est*, (inter quos et se esse profitebatur). *Itaque tibi*, inquit, *qui neque quae dicenda, neque quae agenda sunt nosti, bonum est mori; me vero, qui scio illa, par est in vivis agere.*

268. Cynicus Diogenes tam elato fuit animo, ut, cum ei capto latrones maligne cibum praeberent, nec praesenti fortuna nec illorum immanitate deterritus diceret, *iniquissimum esse, cum porcelli agnique venales saginentur diligentius, hominem, praestantissimum animal, inedia macerari, quasi hoc pacto non redderetur vilior.* Itaque accepto quantum sat erat, cum jam esset vendendus inter ceteros, sedit et pran-

σθαι, καθίσας πρότερον ἠρίστα μάλ' εὐθαρσῶς, ἐπιδιδοὺς καὶ τοῖς πλησίον. Ἑνὸς δὲ οὐ μόνον λυπουμένου, ἀλλὰ καὶ σφόδρα κατηφοῦντος, Οὐ παύσῃ τῆς συννοίας; ἔφη, χρῶ τοῖς παροῦσι·

Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
Τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.

Ἐπινεανιευμένοις τῶν ὠνητικῶς ἐχόντων, Τί δ' οἶδας; Ἄρχειν, εἶπεν, ἀνθρώπων, ὡς ἔοικε, τῆς ψυχῆς τὸ ἐλεύθερον καὶ εὐγενὲς καὶ φύσει βασιλικὸν ὑπηχούσης. Ἤδη δὲ καὶ πρὸς χαριεντισμὸν ὑπὸ τῆς συνήθους ἐκεχειρίας, ἐφ' ᾧ οἱ ἄλλοι συννοίας γέμοντες κατήφουν, ἐτράπετο. Λέγεται γοῦν, ὅτι θεασάμενος τινὰ τῶν ὠνουμένων, ὃν θήλεια νόσος εἶχεν ἐκ τῆς ὄψεως οὐκ ἄῤῥενα, προσελθὼν ἔφη· Σύ με πρίω· σὺ γὰρ ἀνδρὸς χρείαν ἔχειν μοι δοκεῖς, ὡς τὸν μὲν δυσωπηθέντα, ἐφ' οἷς ἑαυτῷ σύνοιδε, καταδῦναι, τοὺς δὲ ἄλλους τὸ σὺν εὐτολμίᾳ εὐθύβολον ἐκπλήττεσθαι. [*Philo Jud. libro quod omnis probus liber. Opp. pag.* 885. *seq. ed. Francof.*]

269. *Διογένης* ἰδών τινα τῶν λεγομένων ἀπελευθέρων ἁβρυνόμενον, καὶ πολλοὺς αὐτῷ συνηδομένους, θαυμάσας τὸ ἄλογον καὶ ἄκριτον, ὅμοιον εἶπεν, ὡς εἴ τις ἀνακηρύξειέ τινα τῶν οἰκετῶν ἀπὸ ταύτης τῆς ἡμέρας εἶναι γραμματικὸν, ἢ γεωμετρικὸν, ἢ μουσικὸν, οὐδ' ὄναρ τῶν τεχνῶν ἐπῃσθημένον. ὡς γὰρ ἐπιστήμονας οὐ ποιεῖ τὸ κήρυγμα, οὕτως οὐδὲ ἐλευθέρους (ἐπεὶ μακάριον ἦν), ἀλλὰ μόνον οἰκέτας. [*Idem eodem libro pag.* 888.]

270. *Διογένης* συνειδὼς ἑαυτῷ πυθόχρηστον οὖσαν τὴν φιλοσοφίαν, ἔργοις ᾤετο δεῖν ἐξελέγχειν πάντα, καὶ μὴ δόξαις ἄλλων, τυχὸν μὲν ἀληθέσι, τυχὸν δὲ ψευδέσι προσπεπονθέναι. [*Julian. Orat. VI. in Cynicos Opp. Tom. I. p.* 191. *ed. Lips.*]

271. Ἐπειδή τις τῶν νέων ἐν ὄχλῳ, παρόντος καὶ τοῦ *Διογένους*, ἀπέπαρδεν, ἐπάταξεν ἐκεῖνος τῇ βακτηρίᾳ, φάς· Εἶτα, ὦ κάθαρμα, μηθὲν ἄξιον τοῦ δημοσίᾳ τὰ

debat bono animo, impartiens etiam proximis, cumque unus ex his valde moestus cunctanter sumeret: *Desine*, inquit, *tristari, et utere praesentibus.*

Nec formosa cibum Niobe non sumpsit, et ejus
Pignora sub tectis letho bis sena jacebant,
Sex natae, totidemque pubenti corpore nati.

Et cum ei licitatorum quidam illuderent juveniliter, percontando, quid sciret, respondit, *Praeesse hominibus.* Qua voce prodebat ingenuum, generosum vereque regium animum: tandem et ipse ad jocos est versus ex more suo, conservis demisso vultu moerentibus. Cum igitur inter licitatores animadvertisset quendam effoeminatum, quantum ex conspectu apparebat, accedens inquit: *Tu me emito, viro enim opus habere videris.* Sic ille pudefactus cavillo, quod non esse vanum erat sibi conscius, in turbam se abdidit, ceteris audacem conjectorem, sed veridicum, stupentibus.

269. Diogenes conspicatus quendam ex libertis jactantem se hac nova felicitate, favoremque gratulantium, miratus est fatuum eorum judicium, perinde ac si praeconis voce declararetur, servum aliquem in posterum fore grammaticum, aut geometram, aut musicum, qui ne in somnis quidem has artes didicisset: nam praeconium, sicut doctiorem potest reddere neminem, ita nec liberiorem, (alioqui res esset omnium optima et felicissima,) sed tantum in servitutem vindicat (servitute dignos).

270. Diogenes sibi mandatam ab oraculo philosophiam intelligens re ipsa factisque probanda periclitandaque putavit omnia, non alienis inhaerendum opinionibus, forsitan veris, fortassis et falsis.

271. Quum adolescens in turba quidam, praesente Diogene, pepedisset, hunc iste baculo suo tetigit dicens: *Itane, scelus! cum nihil, ut id publice auderes,*

τοιαῦτα θάρσει πράξας ἐντεῦθεν ἡμῖν ἄρχη δόξης καταφρονεῖν. [*Idem ibid. pag.* 197.]

272. Ἔρωτα λύει λιμὸς, ἂν δὲ τούτῳ χρῆσθαι μὴ δύνασαι, βρόχος. [*Idem ibid. pag.* 198.]

273. Οὐκ ἐκ τῶν μαζοφάγων, φησὶν ὁ Διογένης, οἱ τύραννοι, ἀλλ' ἐκ τῶν δειπνούντων πολυτελῶς. [*Idem ibid.*]

273. a. Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν, Νεανίσκε, ἔφησεν, ὁ πατήρ σε μεθύων ἔσπειρε. [*Plutarch. de liber. educat. Cap. III.*]

274. Ἀλέξανδρος ὁ βασιλεὺς ἰδὼν Διογένην κοιμώμενον ἐν πίθῳ, ἔφη· Ὢ πίθε μεστὲ φρενῶν. Ὁ δὲ φιλόσοφος ἀναστὰς ἔφη· Ὦ βασιλεῦ μέγιστε,

Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.

Πρὸς ὃν τις ἀντέφησε τῶν φιλοφρόνων·

Ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης·
Ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες.

[Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ εὐτυχίας καὶ δυςτυχίας.]

275. Diogenes disputare solebat, quanto regem Persarum vita fortunaque superaret: sibi nihil deesse, illi nihil satis unquam fore; se ejus voluptates non desiderare, quibus nunquam satiari ille posset, suas eum consequi nullo modo posse. [*Cicero Tusc. I.* 32.]

276. Diogenes Cynicus dicere solebat, Harpalum, qui temporibus illis praedo felix habebatur, contra deos testimonium dicere, quod in illa fortuna tam diu viveret. [*Idem de Nat. deor. III.* 34.]

277. Diogenes de sepultura idem sentiens, quod Socrates, qui se ostendit de hoc toto genere nihil laborare, sed ut Cynicus asperius, projici se jussit inhumatum. Tum amici, *Volucribusne an feris? Minime vero,* inquit, *sed bacillum propter me, quo abigam, ponitote. Qui poteris?* illi, *non enim senties. Quid igitur mihi ferarum laniatus oberit nihil sentienti?* [*Idem Tusc. I.* 43.]

dignum hactenus egeris, jam nunc istinc gloriae esse contemtor incipies?

272. Amorem solvit fames, sin ea uti non potes, laqueus.

273. *Non ex mazovoris*, ajebat Diogenes, *tyranni prodeunt, sed ex sumptuose coenantibus.*

273. a. Diogenes adolescentulum videns fatuum et dementer sese gerentem, *Adolescens*, inquit, *pater te ebrius seminavit.*

274. Cum aliquando Alexander Diogenem in dolio dormientem vidisset, exclamavit:

O dolium mentis bonae plenissimum!

Erectus igitur philosophus respondit: *O rex,*

Rei secundae gutta mentis dolio
Praestat.

Cui ex adstantibus (cordatioribus) nonnemo:

Res secundae abyssus haud guttam valet
Mentis: carere mente nam miserrimum est.

278. Εἰσὶν οἱ τοῖς πολλοῖς ἀρέσκοντες γάλλοι μᾶλλον ἢ φιλόσοφοι. [*Pseudo-Diogen. Epist. ad Cratetem.*]

279. Δεῖ ζητεῖν,

Ὅ ττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

[*Laertius in vita Menedemi Lib. VI.* §. 103.]

280. Ὁ Διογένης πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ ὡροσκόπιον., Χρήσιμον, ἔφη, τὸ ἔργον πρὸς τὸ μὴ ὑστερῆσαι δείπνου. [*Idem ibid.* §. 104.]

281. Πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ μουσικὴν ἔφη·

Γνώμαις γὰρ ἀνδρῶν εὖ μὲν οἰκοῦνται πόλεις,
Εὖ δ' οἶκος, οὐ ψαλμοῖσι καὶ τερετίσμασιν. [*Idem ibid.*]

282. Ἔφασκε θεῶν μὲν ἴδιον εἶναι μηδενὸς δεῖσθαι· τῶν δὲ θεοῖς ὁμοίων τὸ ὀλίγων χρήζειν. [*Idem ibid.* §. 105.]

282. a. Εὖ γοῦν καὶ Διογένης πρὸς τὸν θαυμάζοντα, ὅτι εὗρεν τὸν ὄφιν ἐν τῷ ὑπέρῳ περιειλημμένον, Μὴ θαύμαζε, ἔφη, ἦν γὰρ παραδοξότερον ἐκεῖνο, εἰ τὸ ὕπερον περὶ ὀρθῷ τῷ ὄφει κατειλημμένον ἐθεάσω. [*Clemens Alexandr. Strom. VII. pag.* 712. *ed. Sylb.*]

Ἐκ τῶν τοῦ Δίωνος Χρυσοστόμου. *)

283. Κατεγέλα τῶν, ὁπότε διψῷεν, τὰς μὲν κρήνας παρερχομένων, ζητούντων δὲ, ὁπόθεν πάντως ὠνήσαιντο Χῖον ἢ Λέσβιον, καὶ πολὺ ἔφασκεν ἀφρονεστέρους εἶναι τῶν βοσκημάτων· ἐκεῖνα μὲν οὐδέποτε διψῶντα κρήνην οὐδὲ ῥεῦμα καθαρὸν παρελθεῖν, οὐδὲ πεινῶντα ἀπέχεσθαι τῶν ἁπαλωτάτων φύλλων καὶ πόας τῆς ἱκανῆς τρέφειν. [*Orat. VI. pag.* 202. *Reisk.*]

284. Τοὺς πόδας οὐδέποτε ἔσκεπεν· οὐ γὰρ ἔφη τρυφε-

---

*) *Pauca haec e Dionis Prusaei Orationibus Diogenianis Excerpta, de quibus tamen dubitari licet, utrum Diogenis sint an ipsius Dionis, hic ad finem Sententiarum Diogenis relegare placuit,*

278. Qui multitudini placent, spadones potius sunt quam philosophi.

279. Inquirendum,

Quid domibus nostris pravi rectique geratur.

280. Diogenes cuidam ostendenti sibi horoscopium, *Utile sane inventum, ait, ne privemur coena* (vel *ne serius justo ad coenam eamus*).

281. Ad eum, qui musicam ostentabat, ait:

Magnae reguntur urbes nam prudentia:
At una cantu non queat regi domus.

282. Dicebat, *Deorum esse proprium nullo indigere; eorum vero, qui diis essent similes, minimis egere.*

282. a. Recte certe Diogenes quoque admiranti cuidam, quod invenisset pistillum a serpente in gyrum circumdatum, *Ne mireris*, inquit; *esset enim illud mirabilius, si vidisses rectum serpentem esse a pistillo circumdatum.*

Sententiae quaedam Diogenis ex Dione Chrysostomo.

283. Ridebat eos, sitim qui sentientes, praeteritis fontium lymphis, unde Chium compararent aut Lesbium vinum, dispicerent: et quam pecudes magis eos desipere dicebat, quae puri fontis fluviique aquas non soleant praeterire, si sitiant, neque foliis aut herbis pastui idoneis esurientes abstineant.

284. Pedes nunquam tegebat, neque enim magis

---

omissis reliquis licet elegantissimis et praestantissimis, quae aperte Diogeni Cynico de suis adfinxit sophista eloquentissimus. [O.]

ρωτέρους εἶναι τῶν ὀφθαλμῶν καὶ τοῦ προσώπου· ταῦτα γάρ, ἀσθενέστατα πεφυκότα, μάλιστα ἀνέχεσθαι τὸ ψύχος, διὰ τὸ γυμνοῦσθαι ἀεί. μὴ γὰρ εἶναι τοῖς ἀνθρώποις δυνατὸν καταδησαμένους τὰ ὄμματα βαδίζειν, ὥσπερ τοὺς πόδας. [*Idem ibid.* 205.]

285. Ἔφη τοὺς πλουσίους ὁμοίους εἶναι τοῖς νεογνοῖς βρέφεσι, δεῖσθαι γὰρ ἀεί ποτε σπαργάνων. [*Idem ibid.*]

286. Ἔλεγε διὰ τὴν μαλακίαν τοὺς ἀνθρώπους ἀθλιώτερον ζῆν τῶν θηρίων· ἐκεῖνα γὰρ ὕδατι μὲν ποτῷ χρώμενα, τροφῇ δὲ βοτάνῃ, τὰ πολλὰ δὲ αὐτῶν γυμνὰ ὄντα δι' ἔτους, εἰς οἰκίαν δὲ οὐδέποτε εἰσιόντα, πυρὶ δὲ οὐδὲν χρώμενα, τοῦτο μὲν ζῆν, ὁπόσον ἡ φύσις ἑκάστοις ἔταξε χρόνον, ἐὰν μηδεὶς ἀναιρῇ· τοῦτο δὲ ἰσχυρὰ καὶ ὑγιαίνοντα διάγειν ὁμοίως ἅπαντα, δεῖσθαι δὲ μηδὲ ἰατρῶν μηδὲ φαρμάκων· τοὺς δὲ ἀνθρώπους οὕτω μὲν πάνυ φιλοζώους ὄντας, τοσαῦτα δὲ μηχανωμένους πρὸς ἀναβολὴν τοῦ θανάτου, τοὺς μὲν πολλοὺς αὐτῶν μηδὲ εἰς γῆρας ἀφικνεῖσθαι, ζῆν δὲ νοσημάτων γέμοντας, ἃ μηδὲ ὀνομάσαι ῥᾴδιον, τὴν δὲ γῆν αὐτοῖς μηδὲ ἐξαρκεῖν παρέχουσαν φάρμακα· δεῖσθαι δὲ καὶ σιδήρου καὶ πυρός, καὶ μήτε Χείρωνος, μήτε Ἀσκληπιοῦ, μήτε τῶν Ἀσκληπιαδῶν ἰωμένων μηδὲν αὐτοῖς ὄφελος εἶναι, διὰ τὴν αὐτῶν ἀκολασίαν καὶ πονηρίαν, μηδὲ μάντεων μαντευομένων, μηδὲ ἱερέων καθαιρόντων. [*Idem ibid. pag.* 205.]

287. Ἔφη εἰς τὰς πόλεις (συνελθεῖν ἀνθρώπους), ὅπως ὑπὸ τῶν ἔξωθεν μηδὲν ἀδικῶνται, καὶ τὰ δεινότατα πάντα ἐργάζεσθαι, ὥσπερ ἐπὶ τοῦτο ξυνεληλυθότας· διὰ ταῦτα δὲ δοκεῖν αὐτῷ καὶ τὸν μῦθον λέγειν, ὡς τὸν Προμηθέα κολάζοι ὁ Ζεὺς διὰ τὴν εὕρεσιν καὶ μετάδοσιν τοῦ πυρός, ὡς ἀρχὴν τοῦτ' ὂν καὶ ἀφορμὴν τοῖς ἀνθρώποις μαλακίας καὶ τρυφῆς, οὐ γὰρ δὴ τὸν Δία μισεῖν τοὺς ἀνθρώπους, οὐδὲ φθονεῖν αὐτοῖς ἀγαθοῦ τινος. [*Idem ibid.*]

288. Ἐπεὶ ἔλεγον τινὲς, οὐ δυνατὸν εἶναι ζῆν τὸν ἄνθρωπον ὁμοίως τοῖς ἄλλοις ζώοις διὰ τὴν ἁπαλότητα

quam faciem oculosque delicatos esse ajebat, quae licet tenerrimae sint corporis partes, plurimum tamen sustineant frigoris et quas nudas semper circumferamus. Neque enim hominibus integrum esse, ut salvi incedant, si oculos perinde ac pedes obligent.

285. Similes ajebat divites esse recens natis infantibus, semper enim fasciis, quibus illigentur, opus habere.

286. Homines sua mollitie vitam dixit habere miseriorem animantium vita. Haec enim aquam in potum, herbas in cibum habere, et nuda pleraque toto anno ne domum quidem ingredi. Igne vero penitus non usa vivere tamen, quousque naturae ipsis vivere lege liceat, nisi ea humana praevenerit crudelitas. Interea robore et sanitate integra vitam degere ea, nec medicis indiga, nec medicamentis. Homines contra vitae adeo studioses, nec quidquam intermittentes eorum, quae ad mortem facere possint differendam, maximam partem ne senium quidem attingere: vitam vero omnem inter morbos exigere, quorum tanta sit seges, ut labor sit vel nomina edere, neque totam, qua late patet terra, praebendis medicamentibus sufficere. Urendos item esse et secandos, nec Chirona eis nec Aesculapium, neque Asclepiadarum quempiam iis intemperantiae et pessimis moribus indulgentibus sufficere, imo nec vates, nec sacerdotum lustrationes.

287. In civitates coire homines dixit, ut externi hostis propellant injuriam, cum ipsi interea mutuo se lacerent, et gravissima sibi mutuo inferant mala, quasi ejus rei causa in societatem civilem coaluissent. Proinde et fabulam de Prometheo (ob ignem surreptum a Jove graviter punito) eo spectare ajebat, quod Jupiter igne homines ad mollitiem assuefieri nollet, qui nihil alias bonorum hominibus invideat.

288. Cum teneras humani corporis carnes obtenderent nonnulli causamque dicerent esse, cur homo, ut

τῶν σαρκῶν, καὶ διότι ψιλός ἐστι, οὔτε θριξὶ σκεπόμενος, ὥσπερ τὰ πολλὰ τῶν θηρίων, οὔτε πτεροῖς, οὔτε δέρμα ἰσχυρὸν ἐπαμπέχεται, πρὸς ταῦτα ἀντέλεγεν, οὕτω μὲν σφόδρα ἁπαλοὺς εἶναι διὰ τὴν δίαιταν· φεύγειν μὲν γὰρ ὡς τὸ πολὺ τὸν ἥλιον, φεύγειν δὲ τὸ ψῦχος· τὴν δὲ ψιλότητα τοῦ σώματος μηδὲν ἐνοχλεῖν. Ἐπεδείκνυε δὲ τούς τε βατράχους, καὶ ἄλλα οὐκ ὀλίγα ζῶα, πολὺ μὲν ἁπαλώτερα ἀνθρώπου, πολὺ δὲ ψιλότερα, καὶ ἔνια τούτων ἀνεχόμενα, οὐ τὸν ἀέρα μόνον, ἀλλὰ καὶ ἐν τῷ ψυχροτάτῳ ὕδατι ζῆν δυνάμενα τοῦ χειμῶνος. Ἐπεδείκνυε δὲ τῶν ἀνθρώπων αὐτῶν τούς τε ὀφθαλμοὺς καὶ τὸ πρόσωπον οὐδὲν δεόμενον σκέπης. καθόλου δὲ ἐν μηδενὶ τόπῳ γίγνεσθαι ζῶον, ὃ μὴ δύναται ζῆν ἐν αὐτῷ· ἢ πῶς ἂν ἐσώθησαν οἱ πρῶτοι γενόμενοι ἄνθρωποι, μήτε πυρὸς ὄντος, μήτε οἰκιῶν, μήτε ἐσθῆτος, μήτε ἄλλης τροφῆς, ἢ τῆς αὐτομάτου; ἀλλὰ τὴν πανουργίαν τοῖς ὕστερον καὶ τὰ πολλὰ εὑρίσκειν καὶ μηχανᾶσθαι πρὸς τὸν βίον οὐ πάνυ τι συνενεγκεῖν· οὐ γὰρ πρὸς ἀνδρείαν καὶ δικαιοσύνην χρῆσθαι τῇ σοφίᾳ τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς ἡδονήν· διώκοντας δὲ τὸ ἡδὺ καὶ ἐξ ἅπαντος ἀεὶ ζῆν ἀηδέστερον καὶ ἐπιπονώτερον· καὶ δοκοῦντας προμηθεῖσθαι σφῶν αὐτῶν, κάκιστα ἀπόλλυσθαι, διὰ τὴν πολλὴν ἐπιμέλειάν τε καὶ προμήθειαν· καὶ οὕτω δὴ τὸν Προμηθέα δικαίως λέγεσθαι δεδεμένον τῇ πέτρᾳ κείρεσθαι τὸ ἧπαρ ὑπὸ τοῦ ἀετοῦ. [*Idem ibid. pag.* 207.]

289. *Διογένης ὁ Σινωπεὺς*, ὅτε ἔφυγεν ἐκ *Σινώπης*, ἀφικόμενος εἰς τὴν *Ἑλλάδα* διῆγε ποτὲ μὲν ἐν *Κορίνθῳ*, ποτὲ δὲ *Ἀθήνησιν*. Ἔφη δὲ μιμεῖσθαι τοῦ *Περσῶν* βασιλέως τὴν δίαιταν· καὶ γὰρ ἐκεῖνος τῷ μὲν χειμῶνι ἐν *Βαβυλῶνι* καὶ *Σούσοις*, ἐνίοτε δ᾽ ἐν *Βάκτροις* διῆγεν, ἐν τοῖς εὐδιεινοτάτοις τῆς *Ἀσίας*· τοῦ δὲ θέρους ἐν *Ἐκβατάνοις* τῆς *Μηδικῆς*, ὅπου ψυχρότατος ὁ ἀὴρ ἀεί ποτέ ἐστι, καὶ τῷ περὶ *Βαβυλῶνα* χειμῶνι τὸ θέρος ὅμοιον· οὕτω δὲ καὶ αὐτὸς μεταλλάττειν τὴν οἴκησιν κατὰ τὰς ὥρας τοῦ ἔτους etc. [*Idem ibid. p.* 197.]

290. *Διογένης* ἔλεγε δεῖν τὸν φρόνιμον ἄνδρα, ὥσπερ τὸν ἀγαθὸν ἰατρόν, ὅπου πολλοὶ νοσοῦσιν, ἐκεῖσε ἰέναι βοηθήσοντα, οὕτως ὅπου πλεῖστοι εἰσὶν ἀφρονέστεροι, ἐκεῖ μάλι-

reliqua animantia, vitam non posset agere, quibus natura vitam de integumentis prospexisset: ipse quidem, *e victu eam esse teneritudinem,* respondit, *solis aestus frigorisque rigorem summa evitantium cura*: utque corpus nullis integumentis gaudens in culpa non esse ostenderet, ranas monstrabat, aliaque animantia multa, haud paulo, quam homo, tenera magis: quorum tamen pleraque non aërem ferant tantum, sed in frigidissima etiam aqua agant vitam mediis hiemis rigoribus. Sed et ad hominum oculos faciemque integumento nihil opus habentes provocabat: in summa nulla in parte naturae contendebat existere animal, quod non propriis viribus et a natura sibi inditis vitam possit conservare. Vel qua tandem ratione primi homines vitam potuissent sustinere, nec ignem nec domos nec vestitum nec cibum etiam nisi illum, quem sua sponte natura profert, ullum cognoscentes: at eorum posteris industriam suam et in inveniendis rebus, quae ad vitae commoditatem faciunt, parum profuisse contendebat: qua factum sit, ut neque fortitudinem neque industriam, sed unice suavem vitam sectantes, amaram maxime habeant atque aerumnosam, nimia sui cura perniciem sibi struentes: quamobrem elegantissime *Prometheus* affixus fingatur, aquila jecur ejus depascente.

289. Diogenes Sinopensis cum fugeret ex patria, partim Corinthi vivebat, partim Athenis, imitari se inquiens regum Persarum vivendi rationem, qui hyeme in Babylone et Susis, nonnunquam in Bactris etiam, locis aëris temperie in Asia celebribus, aestate autem Ecbatanis viverent, ubi aër semper est frigidissimus, aestasque hyemi in Babylone simillimus. Sic et ipsum se dicebat mutare suam mansionem ad diversas anni tempestates.

290. Oportere, ajebat Diogenes, virum sapientem, ut bonus faciat medicus, ad ea loca accurrere opis ferendae causa, ubi maxima sit aegrotantium turba, ita

στα ἀποδημεῖν ἐξελέγχοντα καὶ κολάζοντα τὴν ἄνοιαν αὐτῶν. [*Idem Orat. VIII. p.* 276.]

291. *Παρέσχε δὲ καὶ αὐτὸν τῷ βουλομένῳ ἐντυγχάνειν, καὶ ἔλεγε θαυμάζειν, ὅτι, εἰ μὲν ἔφη ὀδόντας ἰᾶσθαι, πάντες ἂν αὐτῷ προσῄεσαν οἱ δεόμενοι ὀδόντα ἐξελέσθαι· καὶ νὴ Δία εἰ ὑπέσχετο ὀφθαλμοὺς θεραπεύειν, πάντες ἄνθρωποι ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον· ὁμοίως δὲ εἰ σπληνὸς ἢ ποδάγρας, ἢ κορύζης εἰδέναι φάρμακον· ἐπεὶ δὲ ἔφη παύσειν τοὺς πεισομένους αὐτῷ ἀγνοίας καὶ πονηρίας καὶ ἀκολασίας, οὐδεὶς αὐτῷ προσεῖχεν, οὐδὲ ἐκέλευσεν ἰᾶσθαι αὐτὸν, οὐδ' εἰ πολὺ προσλήψεσθαι ἀργύριον ἔμελλεν.* [*Id. ibid. pag.* 277.]

292. *Προσεοικέναι ἔφη ἑαυτὸν τοῖς κυσὶ τοῖς Λάκωσι· καὶ γὰρ τούτους, ὅταν στῶσιν εἰς τὰς πανηγύρεις, πολλοὺς μὲν εἶναι τοὺς καταψήχοντας καὶ προσπαίζοντας, μηδένα δὲ ὠνεῖσθαι ῥᾳδίως διὰ τὸ μὴ ἐπίστασθαι χρῆσθαι.* [*Idem ibid. p.* 279.]

293. *Ἔλεγε δὲ ἐπισκώπτων, ὅτι ὀρθῶς ἐπιπλήττοιτο τὸ τοῦ κυνός· (διὰ γὰρ χαλεπότητα καὶ τὸ λοιδορεῖσθαι κύνα αὐτὸν ἀπεκάλουν·) τοὺς γὰρ κύνας ἕπεσθαι μὲν εἰς τὰς πανηγύρεις, μηδένα δὲ ἀδικεῖν τῶν ἐκεῖ γιγνομένων, ὑλακτεῖν δὲ καὶ μάχεσθαι τοῖς κακούργοις καὶ κακίστοις· καὶ ὅταν οἱ ἄνθρωποι μεθυσθέντες καθεύδωσιν, αὐτοὺς ἐγρηγορότας φυλάττειν.* [*Idem Orat. IX. pag.* 288.]

294. *Ἐπεὶ δὲ καὶ ἐστεφανώσατο τῆς πίτυος, πέμψαντες οἱ Κορίνθιοι τῶν ὑπηρετῶν τινας ἐκέλευον ἀποθέσθαι τὸν στέφανον καὶ μηδὲν παράνομον ποιεῖν. Ὁ δὲ ἤρετο αὐτοὺς, διὰ τί παράνομόν ἐστιν αὐτὸν ἐστεφανῶσθαι τῆς πίτυος, ἄλλους δὲ οὐ παράνομον; Εἶπεν οὖν τις αὐτῶν, ὅτι οὐ νενίκηκας, ὦ Διόγενες. Ὁ δὲ, Πολλούς γε, εἶπεν, ἀνταγωνιστὰς καὶ μεγάλους, οὐχ οἷα ταῦτά ἐστι τὰ ἀνδράποδα, τὰ νῦν ἐνταῦθα παλαίοντα καὶ δισκεύοντα καὶ τρέχοντα· τῷ παντὶ δὲ χαλεπωτέρους, πενίαν καὶ φυγὴν καὶ ἀδοξίαν,*

et sese ea maxime frequentare loca, ubi sit major animo laborantium multitudo, ut eorum sanet atque castiget amentiam.

291. Omnibus autem, quibus cum eo conversari esset visum, facilem se praebebat, seque mirari ajebat, quod, cum nemo inveniatur, qui ad se festinaturus non sit, dentem evelli sibi cupientium, si dentibus medendo se adesse profiteatur, nemo item oculis laborans oculum ei non sit ostensurus, si medicinam polliceatur, similiterque si lienis vel podagrae aut pituitae medicinam ostendat: nemo tamen fere sit, qui ignorantiae ceterorumque animi morborum et intemperantiae sanitatem pollicenti attendat, vel expetat medicinam, ne quidem si aurum insuper daturum promittat.

292. Spartanis sese similem canibus esse ajebat. Eos enim etiam in nundinis vaenum expositos multos attrectare quidem, neminem vero emere facile, quod uti illis nescirent.

293. Cum vero in ludis Isthmicis mordacitatem ei exprobrantes canem appellarent nonnulli, dixit jocabundus, merito se appellari canem. Canes scilicet homines ad ludos illos sacros sequi solere, neque tamen eorum, qui ludis illis intersint, offendere quenquam, verum latrare tantum, furibusque et latronibus obesse, imo et crapula obdormientes a canibus vigilias obeuntibus custodiri.

294. Cum pineam sibi ipsi coronam imposuisset, a Corinthiis per praecones admonitus est, ut poneret coronam, neque contra sacrorum ludorum leges peccaret. Tum ipse interrogavit, quid legi adversum in eo sit, quod, qua alii incedunt coronati pinu, incedat et ipse. Cumque ei responsum esset, victorem ipsum haud esse, *Ego vero*, inquit, *maximos vici athletas et fortissimos, non mancipia misera, qualia sunt ista, quae ludis hisce lucta certant, discove et cursu. Fortissimos autem antagonistas paupertem voco atque*

ἔτι δὲ ὀργήν τε καὶ λύπην, καὶ ἐπιθυμίαν καὶ φόβον, καὶ τὸ πάντων ἀμαχώτατον ἢ καὶ δυσμαχώτατον θηρίον, ὕπουλον καὶ μαλθακὸν, ἡδονήν. [*Idem ibid. p.* 291.]

295. *Τὰ ἀρεσκόμενα.*

(Ex Diogene Laertio Lib. VI. §. 70—73.)

Διττὴν ἔλεγεν εἶναι τὴν ἄσκησιν· τὴν μὲν ψυχικὴν, τὴν δὲ σωματικήν· ταύτην καθ' ἣν ἐν γυμνασίᾳ συνεχεῖς γινόμεναι φαντασίαι, εὐλυσίαν πρὸς τὰ τῆς ἀρετῆς ἔργα παρέχονται· εἶναι δὲ ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας, οὐδὲν ἧττον εὐεξίας καὶ ἰσχύος ἐν τοῖς προσήκουσι γενομένης, ὡς περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Παρετίθετο δὲ τεκμήρια τοῦ ῥᾳδίως ἀπὸ τῆς γυμνασίας ἐν τῇ ἀρετῇ καταγίνεσθαι· ὁρᾷν τε γὰρ ἔν τε ταῖς τέχναις ταῖς βαναύσοις καὶ ταῖς ἄλλαις οὐ τὴν τυχοῦσαν ὀξυχειρίαν τοὺς τεχνίτας ἐκ τῆς μελέτης πεποιημένους, τούς τε αὐλητὰς καὶ τοὺς ἀθλητὰς, ὅσον ὑπερφέρουσιν ἑκάτεροι τῇ ἰδίᾳ πονήσει τῇ συνεχεῖ, καὶ ὡς οὗτοι, εἰ μετήνεγκαν τὴν ἄσκησιν καὶ ἐπὶ τὴν ψυχὴν, οὐκ ἂν ἀνωφελῶς καὶ ἀτελῶς ἐμόχθουν.

Οὐδέν γε μὴν τοπαράπαν ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην πᾶν ἐκνικῆσαι· δέον οὖν ἀντὶ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους ζῆν εὐδαιμόνως, παρὰ τὴν ἄνοιαν κακοδαιμονοῦσι. Καὶ γὰρ αὐτῆς τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυτάτη προμελετηθεῖσα, καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν ἀηδῶς ἐπὶ τοὐναντίον μετίασιν, οὕτω οἱ τοὐναντίον ἀσκηθέντες ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι. Τοιαῦτα διελέγετο καὶ ποιῶν ἐφαίνετο, ὄντως νόμισμα παραχαράττων, μηδὲν οὕτω τοῖς κατὰ νόμον ἢ τοῖς κατὰ φύσιν διδούς· τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν, ὅνπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων.

Περὶ τοῦ νόμου ἔλεγε, ὅτι χωρὶς αὐτοῦ οὐχ οἷόν τε πο-

exilium et ignominiam, iram praeterea, tristitiam, concupiscentiam, metum, omniumque fortissimam belluam, dolosam illam et blandientem voluptatem.

295. Placita Diogenis.

Quantum ad opiniones ejus, duplicem esse ajebat exercitationem, alteram animi, corporis alteram. Priori genere exercitis diligenter frequentia sese phantasmata ingerere, quae virtutis usum magis reddant expeditum: alterum autem carere altero haud posse, cum bonus habitus atque vires confirmatae in corpore aeque ac animo plane sint necessariae. Facile autem virtutem parari exercitatione, ita argumentatus evincebat. In mechanicis atque aliis artibus exercitio tempore haud magno artifices summam sibi dexteritatem comparare: athletas autem atque musicos maxime excellere eos, qui majore industria studioque indefesso in suis artibus versati essent, qua eadem si in animis quoque excolendis uti voluissent, successu laborum felicissimo fuisse gavisuros.

Nihil dicebat porro in vita absque exercitatione perfici posse, eam vero nihil non vincere posse: homines autem, qui labores suscipere naturae convenientes debebant, felicitati conducentes, contraria ratione inutilibus vacare, propriaque stoliditate perpetuae miseriae obnoxios esse. Nempe ipsum voluptatis contemptum consuetudine jucundissimum effici. Et sicuti ii, qui voluptario vitae generi se totos addicunt, ab ea sine magna perturbatione revocari non possunt, ita eos, qui contrariam rationem sequantur, summa facilitate has ipsas voluptates negligere. Talia docebat atque etiam re ipsa praestabat, monetam publicam (i. e. leges a populo sancitas) revera adulterans, quod plus naturae quam legi tribuebat, eandem vitae formam, quam Hercules olim, se vivere affirmans, dum nihil libertati praeferret.

De lege disseruit, quod sine ipsa respublica ordi-

λιτεύεσθαι. Οὐ γάρ φησιν ἄνευ πόλεως ὄφελός τι εἶναι ἀστείου· ἀστεῖον δὲ ἡ πόλις· νόμου δὲ ἄνευ πόλεως οὐδὲν ὄφελος· ἀστεῖον ἄρα ὁ νόμος.

Εὐγενείας δὲ καὶ δόξας καὶ τὰ τοιαῦτα πάντα διέπαιζε, προκοσμήματα κακίας εἶναι λέγων, μόνην δὲ ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ.

Ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας, γάμον μηδὲν ὀνομάζων, ἀλλὰ τὸν πάντα τῇ πάσῃ συνεῖναι, κοινοὺς δὲ διὰ τοῦτο καὶ τοὺς υἱέας.

Μηδέν τε ἄτοπον εἶναι καὶ ἐξ ἱεροῦ τι λαβεῖν, ἢ τῶν ζώων τινὸς γεύσασθαι, μηδ᾿ ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν, καὶ τῷδε ὀρθῷ λόγῳ πάντα ἐν πᾶσιν εἶναι καὶ διὰ πάντων ἰέναι λέγων· καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέας εἶναι, καὶ ἐν τῷ λαχάνῳ ἄρτον, καὶ ἐπὶ τῶν σωμάτων τῶν λοιπῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων.

Μουσικῆς δὲ καὶ γεωμετρικῆς καὶ ἀστρολογίας καὶ τῶν τοιούτων ἠμέλει, ὡς ἀχρήστων καὶ οὐκ ἀναγκαίων.

Περὶ Διογένους τελευτῆς.

Διογένης ὁ Σινωπεύς, ὅτε λοιπὸν ἐνόσει ἐπὶ θανάτῳ, ἑαυτὸν φέρων μόνον ἔῤῥιψε κατά τινος γεφυρίου πρὸς γυμνασίῳ ὄντος, καὶ προσέταξε τῷ παλαιστροφύλακι, ἐπειδὰν αἴσθηται ἀναπεπνευκότα αὐτὸν, ῥίψαι εἰς τὸν Ἰλισσόν. Οὕτως ἄρα ὀλίγον ἔμελε Διογένει καὶ θανάτου καὶ ταφῆς. [*Aelian. Var. Hist. VIII*, 15.]

nari non possit: nam sine republica nullum esse usum civilis rei: rem civilem autem esse civitatem: neque sine lege ullam esse civitatis pretium: legem igitur rem esse civitatis.

Nobilitatem autem et gloriam ac reliqua ejus generis ornamenta malitiae illa esse dicens atque integumenta, solam rectam esse rempublicam, quae mundi legibus fulciretur.

Mulieres communes esse oportere statuebat, conjugium rem vanam et nihili esse opinatus, virumque foemina, quacunque visum fuisset, uti posse, liberos vero etiam ex tali conjunctione natos communes esse oportere.

Ex templo quidpiam sumere honestum esse minus, neutiquam largiebatur, neque animantium genere quocunque censebat essé abstinendum, neque humanis adeo carnibus vesci impium putabat, quod multarum gentium usu confirmari possit. Nempe, ut res habet, omnia in omnibus esse putabat seque invicem permeare: sic in pane carnes et in olere panem credebat esse: simili modo in reliquis etiam corporibus, reliquiis scil. panis et carnis per poros exiguos in alia corpora se insinuantibus, atque transpiratione vicissim ex illis delabentibus.

Musicam, astronomiam, geometriam aliaque hujus commatis repudiabat, tanquam necessaria minus nullique rei profutura.

De morte Diogenis.

Diogenes Sinopensis, quum ad extremum lethali morbo decumberet, se ipsum dejecit in pontem quendam, qui prope gymnasium erat, mandavitque custodi palaestrae, ut, simulac sentiret, se exspirasse, abjiceret in Ilissum. Adeo parum curabat mortem et sepulturam Diogenes.

ΚΡΑΤΗΤΟΣ ΘΗΒΑΙΟΥ

α. ΛΕΙΨΑΝΑ ΕΜΜΕΤΡΑ.

(Ex Analectis Brunckii Tom. I. p. 186. seqq.)

1. Ἔρωτα παύει λιμός· εἰ δὲ μὴ, χρόνος,
Ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
Θεραπεία σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

[*Anthol. Planud. I. Tit.* 37.]

2. Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
Καλὴ καὶ πίειρα, περίῤῥυπος, οὐδὲν ἔχουσα,
Εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
Οὔτε λίχνος πόρνης, ἐπαγαλλόμενος πυγῇσιν·
Ἀλλὰ θύμον καὶ σκόρδα φέρει, καὶ σῦκα καὶ ἄρτους,
Ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους ἐπὶ τούτοις
Οὐχ ὅπλα κέκτηνται, ἐπὶ κέρματι δ', ἢ ἐπὶ δόξῃ.

[*Diogen. Laert. VI.* §. 85.]

3. Τίθει μαγείρῳ μνᾶς δέκ', ἰατρῷ δραχμήν·
Κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν·
Πόρνῳ τάλαντον, φιλοσόφῳ τριώβολον. [*Id. VI,* 86.]

4. Χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔκγονε Σωφροσύνης.
Σὴν ἀρετὴν τιμῶσιν, ὅσοι τὰ δίκαι' ἀσκοῦσι.

[*Anthol. Planud. I. Tit. XII.*)

5. Ταῦτ' ἔχω, ὅσσ' ἔμαθον καὶ ἐφρόντισα, καὶ μετὰ Μουσῶν
Σέμν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψε.

[*Diog. Laert. VI,* 86.]

6. Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
Χόρτον ἐμῇ συνεχῶς δότε γαστέρι, ἥ τέ μοι ἀεὶ
Χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.

— — — — — — — — — —

Ὠφέλιμον δὲ φίλοις καὶ γλυκερὸν τίθετε.
Χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτὰ, κανθάρου οἶτον,

CRATETIS THEBANI

a. FRAGMENTA POETICA.

1. Fames amorem sedat, aut sedat dies:
Quod si nec istis flamma cedat contumax,
Medicina restat laqueus extremo loco. [*Grot.*]

2. Est quaedam medio constructa urbs Mantica fastu,
Pulchra quidem et pinguis, squalore circumflua, rebus
Egens; nec parasitus adit, stolidusve penetrat,
Deditus aut quisquam damnosis ganeo scortis.
Allia sed, panes, ficus profertque lupinos,
Quae rixae cupidis raro praetensa fuere,
Amorum sed causae argentum aut gloria vana.

5. Ponito coquo minas decem, medico drachmam:
Assentatori talenta quinque, consiliario fumum:
Meretrici talentum, philosopho triobolum.

4. Vive, fave, dea sancta, piis gratissima, frugi
Vita, parit nobis quam bona pauperies.
Te venerantur enim, quis cordi est jusque piumque. [*Grot.*]

5. Tantum habeo, quantum didici, quantumque labore
Percepi, et studio, rapuit sed cetera fumus.

6. Mnemosynes et Jovis Olympii inclyta proles,
Musae Pierides, audite me precantem.
Pabulum meo assiduum date ventri, et date citra
Servitutem, quae tenuem constituit victum.
— — — — — — — — — —
Utilem porro amicis, non jucundum facite.
Pecunias vero nolo cogere inclytas, scarabaei felicitatem

Μύρμηκός τ' ἄφενος, χρήματα μαιόμενος,
Ἀλλὰ δικαιοσύνης μετέχειν, καὶ πλοῦτον ἀγινεῖν
Εὔφορον, εὔκτιτον, τίμιον εἰς ἀρετήν.
Τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνὰς,
Οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.

[*Julian. Orat. VI. et VII.*]

7. Κράτητός ἐστι καὶ τόδε, ὅτι ἐκ φιλοσοφίας αὐτῷ περιγένοιτο

Θέρμων τε χοῖνιξ, καὶ τὸ μηδενὸς μέλειν.

[*Diog. Laert. VI,* 86.]

8. Συναισθόμενος, ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων·

Στείχεις δὲ, φίλε κύρτων,
Βαίνεις τ' εἰς Ἀΐδαο δόμους κυφὸς διὰ γῆρας.

[*Idem VI,* 92.]

9. Πρὸς Ἀλέξανδρον πυθόμενον, εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη· Καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει.

— — — — — — Ἔχειν δὲ πατρίδα
Ἀδοξίαν τε καὶ πενίαν, ἀνάλωτα τῇ Τύχῃ.

καὶ Διογένους

Εἶναι πολίτης ἀνεπιβουλεύτου φθόνου. [*Id. VI,* 93.]

10. Καὶ θυγατέρα ἐξέδωκε, ὡς αὐτὸς ἔφη,

Κυνὶ ἐπὶ πείρᾳ δοὺς τριάκονθ' ἡμέρας. [*Idem ibid.*]

11. Θηβαῖος Κράτης

Τῶνδε (φησὶ) κράτει ψυχῆς ἤθει ἀγαλλομένη
Οὔθ' ὑπὸ χρυσείων δουλουμένη, οὔθ' ὑπ' ἐρώτων
Τηξιπόθων· οὐδ' ἔτι σύνεμποροί εἰσι φίλυβρι.

καὶ τὸ ὅλον ἐπιλέγει·

Ἡδονῇ ἀνδραποδώσει ἀδούλωτοι καὶ ἄκναπτοι,
Ἀθάνατον βασιλείαν ἐλευθερίαν τ' ἀγαπῶσιν.

[*Clemens Alex. Strom. II. p.* 412, 13. *Sylb.*]

11. a. Ὁ γὰρ χρόνος μ' ἔκαμψε τέκτων μὲν σοφὸς,
Ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

[Στοβ. λόγ. ψόγος γήρως.]

Formicaeque divitias pecunias parans,
Sed justitiae particeps esse et opes innoxias,
Tolerabiles, parabiles, pretiosas ad virtutem.
Eas nactus Mercurium et Musas propitiabo castas,
Non impendiis luxuriosis, sed virtutibus sanctis.

7. *Dixit Crates, quod ipsi ex philosophiae studio provenisset*
Choenix lupini et cura nullius rei.

8. ——————— *vadis nunc, optime curve,*
Vadis ad Orci aedes, longa gibbose senecta.

9. Alexandro interroganti, num vellet restitui ac refici patriam suam, *Quid,* ait, *opus est? rursum enim fortassis Alexander eam alius diruet.*
——— *Habere se patriam, contemtum gloriae*
Et paupertatem, quae exscindi a fortuna non possit.
Et *Diogenis*
Civem se esse, invidiae insidias non metuentis.

10. Et filiam locavit Cynico cuidam,
Illi experimenti causa dans triginta dies.

11. Crates Thebanus:
Haec vincas rectis exsultans moribus, atque
Te auro haud addicens: cupidis nec amoribus unquam
Servam, nec servatores sunt amplius ulli.
et totum colligit veluti in epilogum:
Mancipat at quem non turpis tangitque voluptas,
Regnum immortale et libertas huic quoque amatur. [*Sylburg.*]

11. a. Tempus me flexit, sapiens quidem artifex,
Sed omnia reddens infirmiora.
[*Stob. Serm. vituperium senectutis.*]

β Γνῶμαι καὶ Ἀποφθέγματα.

12. Πενία οὐδὲν δεινὸν, ἐπεὶ καὶ Κράτητι ἂν ἔδοξε τῷ Θηβαίῳ δεινὸν, ὃς τῶν ἑαυτοῦ τῇ πόλει παραχωρήσας, καὶ εἰπὼν,

Κράτης Κράτητα χρημάτων ἀποστερεῖ,

τότε ἔδοξεν ἐλευθεροῦσθαι καὶ στέφανον ὡς ἐπὶ ἐλευθερίᾳ περιεβάλλετο, ὅτι τὴν πενίαν ἀντὶ τῆς εὐπορίας ἠλλάξατο. [*Simplic. Comm. ad Epictet. Enchirid. C. X. p.* 107. *seq. ed. Schweigh.*]

13. Τοὺς τῶν μοιχευόντων (γάμους) ἔφη τραγικοὺς φυγὰς καὶ φόνους ἔχειν ἔπαθλον, τοὺς δὲ τῶν ἑταίραις προσιόντων κωμικοὺς, καὶ ἐξ ἀσωτίας γὰρ καὶ μέθης μανίαν ἀπεργάζεσθαι. [*Diog. Laert. VI.* 89.]

14. Παρακαλῶν παρά του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο, ἀγανακτοῦντος δὲ ἔφη· Τί γὰρ οὐχὶ καὶ ταῦτα σά ἐστι, καθάπερ καὶ τὰ γόνατα; [*Id. ibid.*]

15. Ἔλεγε ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾷ καὶ σαπρόν τινα κόκκον εἶναι. [*Idem ibid.*]

16. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρῳδὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῷ μετώπῳ ἐπέγραψε· ΝΙΚΟΔΡΟΜΟΣ ΕΠΟΙΕΙ. [*Idem ibid.*]

17. Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῷ ἄρτους καὶ οἶνον ὠνείδισε, εἰπών· Εἴθε γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον. δῆλον οὖν, ὡς ὕδωρ ἔπινεν. [*Idem ib.* §. 90.]

18. Ὑπὸ τῶν Ἀθήνησιν ἀστυνόμων ἐπιτιμηθεὶς, ὅτι σινδόνα ἠμφιέστο, ἔφη· Καὶ Θεόφραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον. ἀπιστούντων δὲ, ἀπήγαγεν εἰς κουρεῖον, καὶ ἔδειξε κειρόμενον. [*Idem ibid.*]

19. Ἐν Θήβαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθεὶς καὶ ἑλκόμενος τοῦ ποδὸς, ἐπέλεγεν ἀφροντιστῶν·

Εἷλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

[*Idem ibid.*]

20. Ζήνων ὁ Κιττιεὺς ἐν ταῖς χρείαις καὶ κώδιον αὐτὸν φησί ποτε προσράψαι τῷ τρίβωνι ἀνεπιστρεπτοῦντα. [*Idem ibid.* §. 91.]

21. Ἦν καὶ τὴν ὄψιν αἰσχρὸς καὶ γυμναζόμενος ἐγε-

b. *Sententiae et Apophthegmata.*

12. In paupertate nil mali est, alioqui enim et Crateti Thebano ita visum esset, qui bona sua reipublicae concessit, dicens:

Crates Cratetem privat hac pecunia.

ac tum demum se in libertatem adsertum putavit, et coronam, veluti libertate recepta, capiti imposuit, cum divitias paupertate commutasset.

13. Moechorum connubia dixit esse tragica, praemia enim reportare exilia et caedes: eorum vero, qui scortis congrederentur, comica; nam ex luxu et ebrietate in insaniam verti.

14. Cum pro quodam intercederet apud gymnasii rectorem, ejus coxas tetigit. Illo indignante: *Quid enim*, ait ille, *nonne et ista tua sunt, sicut et genua?*

15. *Fieri non posse*, ajebat, *ut inveniatur, qui lapsus non sit, sed veluti in malo granato unicum saltem putridum granum esse.*

16. Cum Nicodromum offendisset citharoedum, caesus in faciem est. Chartulam itaque pice imponens fronti, inscripsit: NICODROMUS FECIT.

17. Demetrio Phalereo, qui panes ipsi miserat et vinum, id exprobravit, *Utinam*, inquiens, *et fontes panem ferrent*, aquam se bibere subindicans.

18. Ab aedilibus Atheniensium reprehensus, sindone quod uteretur: *Eodem*, inquit, *habitu utentem vobis Theophrastum ostendam.* Quod cum illi se credere haud posse dicerent, in tonstrinam deductis eum ostendit, dum tonderetur, ita amictum.

19. Cum Thebis a principe gymnasii flagris caesus esset pedibusque traheretur, ridens dixit:

Protractum pedibus detrusit limine sacro.

20. Zenoni Cittieo in Chriis relatum, pellem ovis palleo attrito eum adsuisse nihil de vestitu laborantem.

21. Erat facie deformi, et cum se exerceret, ride-

λᾶτο. Εἰώθει δὲ λέγειν ἐπαίρων τὰς χεῖρας· Θάῤῥει, Κράτης, ὑπὲρ ὀφθαλμῶν καὶ τοῦ ἄλλου σώματος· τούτους δὲ ὄψει τοὺς καταγελῶντας ἤδη, καὶ συνεσπασμένους ὑπὸ νόσου, καί σε μακαρίζοντας, αὑτοὺς δὲ καταμεμφομένους ἐπὶ τῇ ἀργίᾳ. [*Idem ibid.*]

22. Ἔλεγε, μέχρι τούτου δεῖν φιλοσοφεῖν, μέχρι ἂν δόξωσιν οἱ στρατηγοὶ εἶναι ὀνηλάται. [*Idem ibid.* §. 92.]

23. Ἐρήμους ἔλεγε τοὺς μετὰ κολάκων ὄντας, ὥσπερ τοὺς μόσχους, ἐπειδὰν μετὰ λύκων ὦσιν· οὔτε γὰρ ἐκείνους τοὺς προσήκοντας, οὔτε τούτοις συνεῖναι, ἀλλὰ τοὺς ἐπιβουλεύοντας. [*Idem ibid.*]

24. Τί ἔχει δυσχερὲς ἢ ἐπίπονον ἡ πενία; ἢ οὐ Κράτης καὶ Διογένης πένητες ἦσαν, καὶ πῶς ῥᾳδίως διεξήγαγον ἄτυφοι γενόμενοι καὶ αἰτῆσαι, καὶ διαίτῃ εὐτελεῖ καὶ λιτῇ δυνάμενοι χρήσασθαι; — Ἀπορία καὶ δάνεια περιέστηκε; κόγχον καὶ κύαμον συνάγαγε, φησὶν ὁ Κράτης, καὶ τὰ τούτοις πρόσφορα· κᾂν τάδε δρᾷς, ῥᾳδίως στήσεις τρόπαιον κατὰ πενίας. [Στοβ. λόγ. α. περὶ ἀρετῆς.]

25. Κράτης ἀπείκαζε τοὺς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις, ἄνευ γὰρ δεσμοῦ καὶ ἀνάγκης μηδὲν ἐθέλειν τῶν δεόντων ποιεῖν. [Στοβ. λόγ. δ. περὶ ἀφροσύνης.]

26. Κράτης εἰς ἀγορὰν ἐμβαλὼν καὶ ὁρῶν τοὺς μὲν πιπράσκοντας, τοὺς δὲ ὠνουμένους, Οὗτοι, ἔφη, διότι ἐναντίον πρᾶγμα ἀλλήλοις ποιοῦσιν, ἑαυτοὺς μακαρίζουσιν· ἐγὼ δὲ ἐμαυτὸν, ὅτι ἀμφοτέρων ἀπήλλαγμαι, μὴ ὠνούμενος, μὴ πωλῶν. [Στοβ. λόγ. ε. περὶ σωφροσύνης.]

27. Κράτης τοὺς κόλακάς φησι συγκατανευσιφάγους. [Στοβ. λόγ. ιδ. περὶ κολακείας.]

28. Κράτης πρὸς νέον πλούσιον πολλοὺς κόλακας ἐπισυρόμενον, Νεανίσκε, εἶπεν, ἐλεῶ σὴν ἐρημίαν. [*Id. ib.*]

29. Κράτης λέγεται ὁ Θηβαῖος τοῖς στασιάζουσιν οἴκοις ἐπιφοιτῶν λόγοις εἰρήνης διακρίνειν τὰς ἔριδας. [Ἀντων. λόγ. περὶ ἀγάπης καὶ εἰρήνης.]

batur. Solebat autem sublatis manibus dicere: *Bono animo esto, o Crates, oculorum pariter et reliquarum corporis partium causa. Eos enim, qui etiamnum te rident, mox videbis morbo contractos, te quidem fateri beatum, se autem ignaviae arguere.*

22. Tamdiu philosophandum esse ajebat, donec videantur, qui exercitibus praesint imperatores, agasones esse.

23. Eos, qui assentatoribus delectantur, non minus esse, ajebat, desertos, quam vitulos, cum inter lupos sunt, neque enim cum illis esse, qui bene velint, neque cum his, sed insidiatores.

24. Ecquid tandem molestiae et laboris affert paupertas? Annon Crates et Diogenes pauperes erant? at quam facile tulerunt indigentiam, laeti et alacres etiam mendicando et frugali parcoque victu contenti. Inopia et aes alienum circumstant? *Concham et fabam collige,* inquit Crates, *et si qua his similia. Haec si feceris, facile statues tropaeum paupertatis.* [*Anonymus apud Stobaeum Serm. I. de virtute.*]

25. Crates homines stultos terebris ajebat similes esse, quod nisi vinculis vel aliis rebus coacti officium suum nunquam faciant. [*Stob. Serm. IV. de stultitia.*]

26. Crates in forum delatus ibique alios emendo alios vendendo videns occupatos, *Illi,* inquit, *beatos se putant rebus occupati contrariis, me vero ego beatum existimo, quod neque emptione opus habeam, neque venditione.* [*Stob. Serm. V. de temperantia.*]

27. Crates adulatores appellabat συγκατανευσιφάγους (quasi *connuepulones*), quod facile omnium dictis inter epulas annuant. [*Stob. Serm. XIV. de adulatione.*]

28. Crates ad juvenem plurimis stipatum parasitis, *Miror,* inquit, *te ita solum esse.* [*Ibid.*]

29. Crates Thebanus fertur familias dissidentes adiisse et de pace verba faciendo lites diremisse. [*Anton. Serm. de caritate et pace.*]

50. *Μὴ παρὰ πάντων τὰ διδόμενα δέχεσθαι χρή· οὐ γὰρ θεμιτὸν ἀρετὴν ὑπὸ κακίας τρέφεσθαι.* [*Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ εὐεργεσίας καὶ χάριτος.*]

51. *Κράτης νεανίσκον ἰδὼν ἀθλητικὸν οἴνῳ καὶ κρεοφαγίᾳ καὶ ἀσκήσει σάρκα πολλὴν ὑποτρέφοντα, εἶπεν, Ὦ δαιμόνιε, παῦσαι καθ' ἑαυτοῦ ποιῶν τὸ δεσμωτήριον ἰσχυρόν.* [*Οἱ αὐτοὶ λόγ. περὶ ἀκρασίας καὶ γαστριμαργίας.*]

52. *Κόσμος ἐστίν, ὡς ἔλεγε Κράτης, τὸ κοσμοῦν, κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν, ποιεῖ δὲ τοιαύτην οὔτε χρυσὸς, οὔτε σμάραγδος, οὔτε κόκκος· ἀλλ' ὅσα σεμνότητος, εὐταξίας, αἰδοῦς ἔμφασιν περιτίθησι.* [*Στοβ. λόγ. Γαμικὰ παραγγέλματα.*]

53. *Κράτης οὐ τῷ πλούτῳ εἶπεν ἑαυτὸν ηὐδοξηκέναι μεγάλα, ἀλλὰ τῇ πενίᾳ.* [*Ὁ αὐτὸς λόγ. σύγκρισις πενίας καὶ πλούτου.*] *)

54. *Πολλάκις ὁ Κράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν, ὅτι, εἴπερ ἄρα δυνατὸν ἦν, ἀναβάντα ἐπὶ τὸ μετεωρότατον τῆς πόλεως ἀνακραγεῖν μέρος· Ὦ ἄνθρωποι, ποῖ φέρεσθε, οἵτινες χρημάτων μὲν κτήσεως πέρι πᾶσαν ποιεῖσθε σπουδὴν, τῶν δ' υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε;* [*Plutarch. de liber. educat. Cap. VII. p.* 46. *ed. Heusinger.*]

54. a. *Κράτης πήραν ἔχων καὶ τρίβωνα παίζων καὶ γελῶν ὥσπερ ἐν ἑορτῇ τὸν βίον διετέλεσε.* [*Idem de animi tranquillitate. Opp. Tom. II. p.* 466.]

55. *Κράτητα τὸν φιλόσοφον εἰς πᾶσαν οἰκίαν εἰσιόντα μετὰ τιμῆς καὶ φιλοφροσύνης δεχομένων θυρεπανοίκτην ἐκάλουν.* [*Idem Sympos. II. Opp. Tom. II. pag.* 632.] *Hinc ipse Crates dixit in tragoediis suis, teste Laertio in vita Hipparchiae VI. segm.* 98.:

Οὐχ εἷς πάτρας μοι πύργος, οὐ μία στέγη,
Πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
Ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

---

*) *Alia Cratetis Apophthegmata contenta in Teletis Fragmentis*

30. *Non accipienda promiscue esse a quocunque oblata*, ajebat Crates, *non decere enim, ut virtutem improbitas nutriat.* [*Anton. et Max. Serm. de beneficentia et gratia.*]

31. Crates conspicatus adolescentulum athleticum vino, carne et exercitatione bene pastum ventremque promittentem, *Noli*, inquit, *o miser, adversus te ipsum carcerem munire.* [*Iidem Serm. de gulositate et incontinentia.*]

32. Ornamentum id esse dicebat Crates, quod ornat, ornare autem mulierem id, quod honestiorem eam faciat: talem autem praestare non aurum, non smaragdum, non coccum, sed quaecunque gravitatis, moderationis et pudoris eam induant facie. [*Stob. Serm. Nuptialia praecepta.*]

33. Gloriam sibi non divitiis partam ajebat Crates, sed paupertate. [*Idem Serm. Comparatio paupertatis et divitiarum.*]

34. Antiquus ille Crates saepius dixit, se, si fieri posset, altissimo urbis loco conscenso proclamaturum: *Quo tenditis, homines, qui rei faciundae omne impenditis studium, at filiorum, quibus opes vestras relinquetis, curam geritis perexiguam?*

34.a. Crates cum pera sua et pallio vitam omnem tanquam festum quoddam ridendo et ludendo transegisse dicitur.

35. Crates cum libere omnium intraret domos, honorifice et amicissime acceptus ab omnibus, *Ostiapertoris* inde nomen tulit. Qua de re ipse loquitur in tragoediis:

Non turris una nec casa una patriae
Mihi est, sed universae arces terrae et domus
Parata nobis mansio et coenacula.

---

a *Stobaeo servatis dabimus cum Teletis reliquiis in hujus collectionis Tomo IV.*

36. *Κράτης ὁ Θηβαῖος ἔλεγεν· Μὴ πρὸ φακῆς λοπάδ᾽ αὔξων εἰς στάσιν ἄμμε βάλῃς.* [*Athenaeus Dipnos. Lib. IV. pag.* 158. *Casaub.*]

56. Thebani Cratetis dictum hoc memorabile fuit: *Ante lentem ollam cave auxeris, ne in seditionem nos conjicias.*

57. Crates cum vidisset adolescentulum secreto ambulantem, interrogavit, quid illic solus faceret. *Mecum*, inquit, *loquor*. Cui Crates: *Cave*, inquit, *rogo, et diligenter attende, ne cum homine malo loquaris.* [*Seneca Epist.* X.]

58. Crates ille, Diogenis sectator, ut lar familiaris apud homines aetatis suae Athenis cultus est. Nulla domus ei unquam clausa erat; nec erat patris familias tam absconditum secretum, quin eo tempestive Crates intervenerit, litium omnium et jurgiorum inter propinquos disceptator atque arbiter. Quod Herculem olim poetae memorant, monstra illa immania hominum ac ferarum virtute subegisse, orbemque terrae purgasse: similiter adversum iracundiam et invidiam atque avaritiam atque libidinem ceteraque animi humani monstra atque flagitia philosophus iste Hercules fuit; eas omnes pestes mentibus exegit, familias purgavit, malitiam perdomuit, seminudus et ipse et clava insignis, etiam Thebis oriundus, unde Herculem fuisse memoria exstat. Igitur priusquam plane *Crates* factus, inter proceres Thebanos numeratus est: lectum genus, frequens famulitium, domus amplo ornata vestibulo, ipse bene vestitus, bene praediatus: post intellexit nullum sibi in re familiari praesidium legatum, quo fretus aetatem agat, omnia fluxa infirmaque esse, quidquid sub coelo divitiarum est, eas omnes ad bene vivendum non quidquam esse. Haec atque hoc genus alia partim cum audiret a Diogene Crates, alia sibimet ipsi suggereret: denique in forum exilit, rem familiarem abjicit, velut onus stercoris magis labori quam usui. Dein coetu facto maximo exclamat: *Crates Cratetem manumittit.* Exin non modo solus, verum nudus et liber omnium, quoad vixit, beate vixit. Adeoque is cupiebatur, ut

59. Ὁ Κράτης ἐδημοσίευσε τὴν οὐσίαν· εἶτα εἰς τὸ σῶμα βλαβεὶς, ἔσκωπτεν ἑαυτὸν τὴν χωλότητα τοῦ σκέλους καὶ τὸ κυρτὸν τῶν ὤμων· ἐπορεύετο δὲ ἐπὶ τὰς τῶν φίλων ἑστίας, ἄκλητος, κεκλημένος, διαλλάσσων τοὺς οἰκειοτάτους ἀλλήλοις, εἴποτε στασιάζοντας αἴσθοιτο. ἐπετίμα δὲ οὐ μετὰ πικρίας, ἀλλὰ μετὰ χάριτος· οὐχ ἵνα συκοφαντεῖν δοκῇ τοὺς σωφρονισθέντας· ὠφελεῖν δὲ ἐθέλων αὐτούς τε ἐκείνους καὶ τοὺς ἀκούοντας. [*Julianus Orat. VI. pag.* 201.]

ΜΟΝΙΜΟΥ.

Τὸν πλοῦτον εἶπε τύχης ἔμετον εἶναι. [Στοβ. λόγ. ψόγος πλούτου.]

ΔΗΜΩΝΑΚΤΟΣ.

Γνῶμαι καὶ Ἀποφθέγματά τινα. *)

1. Τοσοῦτον εἰς ἀρετὴν προσθήσεις, ὅσον ἂν ὑφέλῃς τῶν ἡδονῶν. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ βίου ἀρετῆς καὶ κακίας p. 55.]

2. Αἰσχρὸν μὲν ἐν ἄλλοις ἀποδέχεσθαι τὰς ἀρετὰς, ἐν ἑαυτοῖς δὲ ἔχειν τὰς κακίας. [*Ibid.*]

3. Τοὺς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δὲ ἀμελοῦντας ὠνείδιζεν, ὡς τῶν μὲν οἴκων ἐπιμελουμένους, τῶν δὲ ἐνοίκων ἀμελοῦντας. [*Ibid.*]

---

*) *Plura alia Demonactis Apophthegmata servavit nobis Lucianus in ejus vita, quae autem, cum Luciani scripta in omnium Graecas literas amantium manibus sint, hic recipere supervacaneum duximus.*

virgo nobilis, spretis junioribus et ditioribus procis, ultro eum sibi optaverit. Cumque interscapilium Crates retexisset, quod erat aucto gibbere, peramque cum baculo et pallium humi posuisset, eamque suppellectilem sibi esse puellae profiteretur, eamque formam quam viderat, proinde sedulo sibi consuleret, ne post querela eam caperet: enimvero Hipparche conditionem accipit. Jamdudum sibi provisum satis et satis consultum respondit; neque ditiorem maritum, neque formosiorem uspiam gentium posse invenire; proinde duceret, quo liberet. [*Apulejus Floril. Lib. I. pag.* 349. *seq. ed. Elmenhorst.*]

59. Crates bona sua publicabat; cumque distorto esset corpore, in cruris sui claudicationem et gibbum humerorum dicteria jaciebat: ad aedes autem amicorum seu sponte seu vocatus accedebat, maxime necessarios invicem concilians, si quid inter illos simultatis intercessisse cognosceret. Ejus vero reprehensio acerbitate omni carens suavitatis lepore condiebatur: ut non calumniari velle, quos argueret, sed tam ipsis, quam ceteris, qui audiebant, prodesse videretur.

MONIMI.

Divitias fortunae vomitum appellabat. [*Stob. Serm. vituperium divitiarum.*]

DEMONACTIS
Sententiae nonnullae et Apophthegmata.

1. Tantum ad virtutem adjicies, quantum voluptatibus ademeris. [*Anton. et Maxim. Serm. de vitae virtute et vitio.*]

2. Turpe est in aliis probare virtutes, intra se autem habere vitia. [*Ibid.*]

3. Corporis curatores, sui autem negligentes probrosos existimabat, et similes iis, qui domos quidem curant, sed domesticos negligunt. [*Ibid.*]

4. Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτὸν, καὶ ἀλλότριος τῶν κακῶν ἔσῃ. [Μαξίμ. λόγ. περὶ φρονήσεως καὶ βουλῆς.]

5. Θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεῶν. [Στοβ. λόγ. περὶ ὑπεροψίας.]

6. Ἄλλων ἐξεταζόντων, εἰ κόσμος ἔμψυχος, καὶ αὖθις, εἰ σφαιροειδής· Ὑμεῖς, εἶπε, περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς ἑαυτῶν ἀκοσμίας οὐ φροντίζετε. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ πολυπραγμοσύνης p. 164.]

7. Τινὸς σοφιστοῦ αἰτιωμένου αὐτὸν καὶ λέγοντος· Διὰ τί με κακῶς λέγεις; Ὅτι μὴ καταφρονεῖς, ἔφη, τοῦ κακῶς λέγοντος. [Οἱ αὐτοὶ λόγ. περὶ ψόγου καὶ διαβολῆς pag. 259.]

8. Δημώναξ ἐρωτηθεὶς, πότε ἤρξατό φιλοσοφεῖν, Ὅτε καταγιγνώσκειν, ἔφη, ἐμαυτοῦ ἠρξάμην. [Στοβ. λόγ. κα. περὶ τοῦ γνῶθι σαυτόν p. 534.]

9. Τοῖς ὠσὶ πλέον ἢ τῇ γλώττῃ χρῶ. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ γλωσσαλγίας p. 396.]

10. Οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι σιγῶσι. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ παιδείας καὶ φιλοσοφίας p. 706.]

11. Ἐλάσσω κακὰ πάσχουσι οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων. τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται· τοῖς δὲ φίλοις ἀνεωγμένοι εἰσὶ καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι. [Ἀντων. λόγ. περὶ φίλων μοχθηρῶν p. 724.]

12. Μυστήριον ἐν φιλίᾳ ἀκούσας ὕστερον ἐχθρὸς γενόμενος μὴ ἐκφάνῃς· ἀδικεῖς γὰρ οὐ τὸν ἐχθρὸν, ἀλλὰ τὴν φιλίαν. [*Ibid.*]

13. Μὴ κτῆσαι φίλον, ᾧ μὴ πάντα πιστεύεις. [*Ibid.*]

14. Εἰσί τινες, οἳ τὸν παρόντα βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ ὡς ἕτερον βίον βιωσόμενοι, οὐ τὸν παρόντα. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ πλούτου καὶ πενίας καὶ φιλαργυρίας p. 760.]

15. Δείκνυσι ἡ μὲν τροπὴ τὸν κατ' ἀλήθειαν ἀνδρεῖον,

4. Alienis te exemplis erudito, et nihil mali patieris. [*Maxim. Serm. de prudentia et consilio p. 94.*]

5. Mortales cum nati sitis, ne super deos vos erexeritis. [*Stob. Serm. de superbia.*]

6. Cum quidam exquirerent, an mundus esset animatus, et rursus, an globosus: *Vos*, inquit Demonax, *de mundo solliciti estis, at vestrum ipsorum immunditiem non curatis.* [*Anton. et Maxim. Serm. de curiositate.*]

7. Cum sophista quidam culparet eum et diceret: *Cur mihi maledicis?* respondit: *Quoniam tu maledicentem non contemnis.* [*Iidem Serm. de vituperatione et calumnia.*]

8. Demonax interrogatus, quando coepisset philosophari, *Tum*, dixit, *cum cognoscere me ipsum incepi.* [*Stob. Serm. XXI. de cognoscendo se ipsum.*]

9. Auribus magis, quam lingua utitor. [*Anton. et Maxim. Serm. de loquacitate.*]

10. Indocti, tanquam pisces capti, dum trahuntur, silent. [*Anton. et Maxim. Serm. de disciplina seu eruditione et philosophia.*]

11. Pauciora mala contingunt hominibus ab inimicis, quam ab amicis. Inimicos enim cum metuant, ab eis cavent: amicis vero aperti sunt, unde periculis exponuntur, et insidiis eorum facile capiuntur. [*Anton. Serm. de amicis improbis.*]

12. Arcanum in amicitia auditum inimicus factus ne efferas; laederes enim non tam inimicum quam amicitiam. [*Ibid.*]

13. Ne pares amicum, cui non ausis per omnia credere. [*Ibid.*]

14. Sunt quidam, qui non in hac praesenti vita vivunt, sed magno studio praeparant, quasi alteram in terris vitam sint acturi, non hanc praesentem. [*Anton. et Maxim. Serm. de divitiis, paupertate et avaritia.*]

15. Fugae tempus in bello virum revera fortem

ἡ δὲ ἀτυχία τὸν φρόνιμον. [Οἱ αὐτοὶ λόγ. περὶ εὐτυχίας καὶ δυστυχίας p. 820.]

ΠΙΝΔΑΡΟΥ ΑΠΟΦΘΕΓΜΑΤΑ.

(Ex vita Pindari antiqua in editione Theriacorum Nicandri a Cl. Schneidero curata. Pag. XVII.)

1. Πίνδαρος ὁ μελοποιὸς ἐρωτηθεὶς ὑπό τινος, τί πρίονος ὀξύτερον, εἶπε· Διαβολή.

2. Παραγενόμενος εἰς Δελφοὺς καὶ ἐρωτώμενος, τί πάρεστι θύσων τῷ Ἀπόλλωνι, εἶπεν· Παιᾶνα.

3. Ἐρωτηθεὶς, διὰ τί Σιμωνίδης πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐ θέλει· Ὅτι βούλομαι, ἔφη, ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

4. Ἐρωτηθεὶς, διὰ τί εὖ πράττοντι τὴν θυγατέρα οὐ δίδωσιν, οὐ μόνον δεῖσθαί φησιν εὖ πράττοντος, ἀλλὰ καὶ πράξοντος εὖ.

5. Ἐρωτηθεὶς πάλιν ὑπό τινος, διὰ τί μέλη γράφων οὐκ ἐπίσταται ᾄδειν, εἶπεν· Καὶ γὰρ οἱ ναυπηγοὶ πηδάλια κατασκευάζοντες κυβερνᾷν οὐκ ἐπίστανται.

6. Τοὺς φυσιολογοῦντας ἔφη ἀτελῆ σοφίας δρέπειν καρπόν.

declarat, calamitas vero prudentem. [*Iidem Serm. de fortuna bona et mala.*]

PINDARI APOPHTHEGMATA.

1. Pindarus poeta lyricus interrogatus ab aliquo, quid serra esset acutius, respondit: *Calumnia.*

2. Quum Delphos se contulisset, interrogatus, quale sacrificium oblaturus esset Apollini, respondit: *Paeanem.*

3. Interrogatus, cur, Simonide ad tyrannos in Sicilia profecto, ipse id detrectaret: *Quia*, inquit, *mihi ipsi vivere cupio, non aliis.*

4. Interrogatus, cur homini divitiis affluenti filiam non collocaret: *Quia*, inquit, *illa indiget marito non divitiis, sed virtutibus affluente.*

5. Interrogatus ab aliquo, cur, cum ipse carmina lyrica componeret, ipse tamen cantare nesciret, respondit: *Atqui et navium fabricatores gubernacula facientes nesciunt regere navem.*

6. Physiologos dixit imperfectum et immaturum sapientiae fructum demetere.

ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

ΑΝΤΙΣΘΕΝΗΣ Ἀθηναῖος ἀπὸ ῥητόρων φιλόσοφος Σωκρατικὸς, ὅστις Περιπατητικὸς ἐκλήθη πρῶτον, εἶτα ἐκύνισεν, υἱὸς δὲ ὢν ὁμωνύμου πατρὸς, μητρὸς δὲ τὸ γένος Θρᾴσσης. Οὗτος συνέγραψε τόμους δέκα· πρῶτον μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου εὑρόντος τὴν σοφίαν· τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥόδωνι ἀνατιθέασιν. Οὗτος οὖν καὶ τῆς Κυνικῆς κατήρξατο φιλοσοφίας, ἥτις οὕτως ἐκλήθη διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ διδάξαι αὐτόν· καὶ Διογένους δὲ καθηγητὴς γέγονε τοῦ Κυνὸς καὶ τῶν λοιπῶν· ὅτι ἀῤῥωστοῦντι Ἀντισθένει μακρὰν καὶ δυσανάκλητον ἀῤῥωστίαν ὁ Διογένης ξιφείδιον ἐπιδέδωκεν εἰπὼν, εἰ φίλου χρῄζεις ὑπουργίας· οὕτως ᾤετο ἐκεῖνος οὐδὲν ἀλγεινὸν τὸν θάνατον, ὥςτε γίνεσθαι τὴν ἀῤῥωστίαν τρυφήν.

ΔΙΟΓΕΝΗΣ Ἱκεσίου υἱὸς τραπεζίτου Σινωπεύς· ὃς φυγὼν τὴν πατρίδα, διὰ τὸ παρακόψαι νόμισμα, ἦλθεν εἰς Ἀθήνας, καὶ Ἀντισθένει παραβαλὼν τῷ Κυνικῷ, ἠράσθη τοῦ ἐκείνου βίου, καὶ τὴν Κυνικὴν φιλοσοφίαν ἠσπάσατο, πολλῆς οὔσης αὐτῷ ὑπεριδὼν οὐσίας. Γηραιὸς δὲ ὢν, ὑπὸ πειράτου Σκιρτάλου ἐλήφθη καὶ πραθεὶς ἐν Κορίνθῳ Ξενιάδῃ τινὶ, παρὰ τῷ πριαμένῳ διέμεινεν οὐχ ἑλόμενος λυθῆναι ὑπὸ τῶν Ἀθηναίων καὶ τῶν οἰκείων φίλων. Ἐπὶ δὲ τῆς ριγ' Ὀλυμπιάδος κατέστρεψε τὸν βίον δηχθεὶς ὑπὸ κυνὸς τὸ σκέλος, καὶ θεραπείας ὑπεριδὼν, κατὰ τὴν αὐτὴν ἡμέραν, ὅτε καὶ ὁ Μακεδὼν Ἀλέξανδρος ἐν Βαβυλῶνι ἀπέθανεν.

Ἄλλως.

Διογένης Ἀντισθένους ὁμιλητὴς, ὃς πρῶτος Κλέων ἐπεκλήθη· ἐν πίθῳ δὲ διέτριβεν. ἐρομένῳ δὲ αὐτῷ, πῶς ἂν πρωτεύσειεν, ἐπολιτεύσατο γὰρ, ὁ θεὸς ἀνεῖλεν, εἰ παραχαράξειεν· ὁ δὲ τὸ νόμισμα παρεχάραξεν, ἐφ' ᾧ φυγὼν ἦλθεν εἰς Ἀθήνας. Ἐντυχὼν δὲ Ἀντισθένει κατὰ δόξης διαλεγομένῳ, ἐφιλοσόφησε. πλέων δὲ ὑπὸ καταποντιστῶν ληφθεὶς ἐπράθη· κηρυττόμενος δὲ καὶ ἐρωτώμενος, τί εἰδείη, ἄ ρ χ ε ι ν ἀ ν θ ρ ώ π ω ν, ἔφη. καὶ θεασάμενος Κορίνθιον πλούσιον ἄνθρωπον

ἄσωτον, Τούτῳ με, ἔφη, πώλησον, δεσπότου γὰρ δέῃ· ὁ δὲ ὠνεῖται καὶ εἰς Κόρινθον ἄγει, καὶ τῶν παίδων ἀποδείκνυσι παιδαγωγόν· ἔλεγε δὲ, δαίμονα ἀγαθὸν εἰς τὴν οἰκίαν εἰσεληλυθέναι.

Ἄλλως.

Διογένης. Ὅτε Διογένης εἶχεν ἐρῶντα παῖδα, καὶ πικρὸς ἦν πατὴρ, οὐ συνεγίνωσκε νέου ῥαθυμίαν, ἀλλ' ἀνείργων αὐτὸν καὶ ἀναστέλλων τοῦ πόθου μᾶλλόν οἱ τὸ πάθος παρώξυνε. Καὶ ἦν τοῦ κακοῦ δεινὴ ἐπίτασις, ἐξεῤῥιπίζετο γὰρ ὁ ἔρως, ἐμποδὼν ἱσταμένου τοῦ Διογένους, καὶ εἰς τὴν παροῦσαν νόσον μᾶλλον ἐξήπτετο ὁ νέος. Ἧκεν οὖν εἰς Δελφοὺς, ὡς ἑώρα φιλόνεικον ὂν τὸ κακὸν, καὶ δυσανασχετῶν τε ἅμα καὶ περιαλγῶν ἐρωτᾷ (τὸν θεὸν), εἴ οἱ πέπαυται νοσῶν ποτε ὁ παῖς. Ὁ δὲ ὡς εἶδεν οὐ πάνυ φρενήρη γέροντα, οὐδὲ ἐρωτικαῖς συγγνώμονα ἀνάγκαις, λέγει ταῦτα·

Λήξει παῖς σὸς ἔρωτος, ὅταν κούφῃ νεότητι
Κύπριδος ἱμερόεντι καταφλεχθῇ φρένας οἴστρῳ.
Ὀργὴν οὖν πρήϋνον ἀμειδέα, μηδ' ἐπιτείνειν
Κωλύων· πράσσεις γὰρ ἐναντία σοῖσι λογισμοῖς·
Ἢν δ' ἐφ' ἡσυχίην ἔλθῃς, λήθην τάχος ἕξει
Φίλτρων, καὶ νήψας αἰσχρᾶς καταπαύσεται ὁρμῆς.

Ἀκούσας τοίνυν ὁ Διογένης ταῦτα, τὸν μὲν θυμὸν κατεστόρεσεν, ἐλπίδος δὲ ὑπεπλήσθη χρηστῆς, ἔχων τῆς τοῦ παιδὸς σωφροσύνης ἐγγυητὰς ἀξιόχρεως. Καὶ ἐν ταὐτῷ βελτίων ἐγένετο ὁ πατὴρ ἡμερωθεὶς τε καὶ πραϋνθεὶς τὸν τρόπον. Τοῦτό τοι καὶ ὁ τραγικὸς Αἵμων ὁ τοῦ Σοφοκλέους ἀπεδείξατο τῆς Ἀντιγόνης ἐρῶν, καὶ πικρῷ ζυγομαχῶν πατρὶ τῷ Κρέοντι· καὶ γάρ τοι καὶ ἐκεῖνος ὁμοίως ἐλαυνόμενος, ξίφει πρὸς τὸν ἔρωτα καὶ τὸν πατέρα τὴν νόσον διελύσατο.

ΚΡΑΤΗΣ Ἀσκώνδου Θηβαῖος, φιλόσοφος Κυνικὸς, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ, ὃς ἐξαργυρίσας τὴν οὐσίαν δέδωκε τὰ ἀργύρια τραπεζίτῃ εἰπὼν, εἰ οἱ παῖδες αὐτῷ φιλοσοφήσουσι, τῷ δήμῳ δοῦναι· εἰ δὲ μὴ, τοῖς παισὶν αὐτοῦ· γήμας δὲ Ἱππαρχίαν τὴν Μαρωνεῖτιν, κυνογαμίαν τὸν γάμον ἐκάλεσε· παῖδα δὲ ἔσχεν ἐξ αὐτῆς Πασικλέα. Ἦν δὲ ἐπὶ τῆς ριγ' Ὀλυμπιάδος. Ἐπεκλήθη δὲ θυρεπανοί-

κτης, διὰ τὸ ἀδεῶς εἰσέρχεσθαι εἰς παντὸς οὗπερ ἠβούλετο οἶκον. Οὗτος καταλιπὼν τὴν οὐσίαν μηλόβοτον, ἀρθεὶς ἐπὶ τοῦ βωμοῦ, εἶπεν· Ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης. Ἔγραψε φιλόσοφα. Κράτης εἶπεν· Ἔρωτα παύει λιμὸς, εἰ δὲ μὴ, χρόνος· εἰ δὲ μὴ τοῦτο δύναται, βρόχος. Οὗτος κατεπόντωσε τὴν οὐσίαν, ὡς λέγει Φιλόστρατος ὁ Λήμνιος ἐν τῷ βίῳ Ἀπολλωνίου τοῦ Τυανέως, καὶ ἔστιν ἐν τῷ Ἀναξαγόρας.

ΒΙΟΣ ΑΡΙΣΤΙΠΠΟΥ.

(Ἐκ τῶν Σουΐδα.)

ΑΡΙΣΤΙΠΠΟΣ Ἀριτάδου ἀπὸ Κυρήνης, φιλόσοφος, Σωκράτους ἀκουστὴς, ἀφ' οὗπερ ἡ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἤρξατο. Πρῶτος δὲ τῶν Σωκρατικῶν μισθοὺς ἐπράξατο· Ξενοφῶντι δὲ εἶχε δυσμενῶς, καὶ ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ· καὶ τῶν μὲν πάντων ἀπέλαυε, καὶ ἡδονὴν μετεδίωκε· πόνων δὲ ἀπόλαυσιν μηδεμίαν ἐθήρα τῶν οὐ παρόντων· ὅθεν Διογένης βασιλικὸν Κύνα αὐτὸν ἐκάλει. Ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ ἄριστα. Διήκουσε δὲ αὐτοῦ ἡ θυγάτηρ Ἀρήτη, ἀφ' ἧς ὁ παῖς αὐτοῦ ὁ νέος Ἀρίστιππος ὃς ἐκλήθη μητροδίδακτος, οὗ Θεόδωρος ὁ ἄθεος ἐπικληθεὶς, εἶτα θεὸς, τοῦ δὲ Ἀντίπατρος, τοῦ δὲ Ἐπιτιμήδης ὁ Κυρηναῖος, τοῦ δὲ Παραβάτης, τοῦ δὲ Ἡγησίας ὁ πεισίθνητος, τοῦ δὲ Ἀννίκερις ὁ Πλάτωνα λυτρωσάμενος.

Ἄλλως.

ΑΡΙΣΤΙΠΠΟΣ Σωκράτους ὁμιλητὴς, ἐν πᾶσι τὴν ἡδονὴν ἀσπασάμενος καὶ ἐπίχαρις. Λέγεται δὲ, ὅτι καὶ τοῦ παιδὸς αὐτῷ φέροντος ἀργύριον καὶ ἀχθομένου τῷ βάρει, τὸ βαροῦν ἀπόβαλε, ἔφη· [infr. Apophth. 35.]. ἐπιβουλευόμενος δὲ ἐν πλῷ δι' ἃ ἐπήγετο (l. ἐπείγετο), εἰς τὴν θάλασσαν ἐξέβαλε αὐτά· ἡ γὰρ τούτων, ἔφη, ἀπώλεια ἐμοὶ σωτηρία. [Apophth. 36.] Ἐπέσκωπτε δὲ Ἀντισθένην ἀεὶ διὰ τὴν στρυφνότητα. Καὶ πρὸς Διονύσιον τὸν Σικελίας τύραννον ἐλθὼν καὶ πίνων ἐνίκα, καὶ ὀρχήσεως καὶ ἄλλης κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δὲ, προσκομιζομένης αὐτῷ τῆς στολῆς, εἶπεν Εὐριπίδου Ἰαμβικά·

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολὴν
Ἄῤῥην πεφυκὼς καὶ γένους ἐξ ἄῤῥενος.

Ἀρίστιππος δὲ δεξάμενος καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ·

— — — — Καὶ γὰρ ἐν βακχεύμασιν
Ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται. [Apophth. 39.]

Ὑπὲρ φίλου δὲ ἀξιῶν καὶ μὴ τυγχάνων τῶν ποδῶν ἥψατο καὶ ἔπεισε. Καὶ οὐ ταύτης ἐγὼ κολακείας αἴτιος, εἶπεν, ἀλλὰ Διονύσιος ὁ ἐν γόνασι τὰς ἀκοὰς ἔχων. [Apophth. 40.]

ΑΡΙΣΤΙΠΠΟΥ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ
ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ

ARISTIPPI CYRENAEI
SENTENTIAE ET APOPHTHEGMATA
EX DIVERSIS SCRIPTORIBUS COLLECTA.

ΑΡΙΣΤΙΠΠΟΥ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ

ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ.

1.

(Ἐκ τῶν Διογένους τοῦ Λαερτίου.)

Ἦν ὁ Ἀρίστιππος ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμονίως ὑποκρίνασθαι —— ἀπέλαυε γὰρ ἡδονῆς τῶν παρόντων, οὐκ ἐθήρα δὲ πόνῳ τὴν ἀπόλαυσιν τῶν οὐ παρόντων. [§. 65.]

1. Τοῦτόν φασί ποτε κελεῦσαι πέρδικα πεντήκοντα δραχμῶν ὠνηθῆναι· αἰτιασαμένου δέ τινος, Σὺ δ' οὐκ ἄν, εἶπεν, ὀβολοῦ τοῦτον ἐπρίω; ἐπινεύσαντος δὲ, Τοσοῦτον, ἔφη, ἐμοὶ δύνανται αἱ πεντήκοντα δραχμαί. [§. 65.]

2. Διονυσίου ποτὲ, τριῶν ἑταιρῶν οὐσῶν, μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν, εἰπών· Οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι· ἀπαγαγὼν μέντοι, φασὶν, αὐτὰς ἄχρι τοῦ θυρῶνος, ἀπέλυσεν. Οὕτως ἦν καὶ ἑλέσθαι καὶ καταφρονῆσαι πολύς. [§. 67.]

3. Διονυσίου προσπτύσαντος αὐτῷ ἠνέσχετο· μεμψαμένου δέ τινος, Εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ ἀνάσχωμαι κρέμματι ῥανθῆναι, ἵνα βλέννον λάβω; [*Ibid.*]

4. Παριόντα ποτὲ αὐτὸν λάχανα πλύνων Διογένης ἔσκω-

ARISTIPPI CYRENAEI
SENTENTIAE ET APOPHTHEGMATA.

1.

(E Diogenis Laertii vita Aristippi Lib. II. §. 65—104.)

Erat Aristippo ingenium facile, ut se accommodaret et loco et tempori et personae: noveratque omnem fortunae statum ac vicissitudinem ferre adcommode. — — — Nam ut libenter percipiebat praesentium voluptatem, ita, ut absentibus frueretur, non laborabat.

Omnis Aristippum decuit color, et status, et res. [Horat. I. Epist. XVII. v. 25.]

1. Ajunt, illum aliquando jussisse perdicem quinquaginta drachmis emi. Tantumque luxuriae graviter ferentem quendam interrogasse: *Tune illam obolo non emeres?* et cum annuisset ille: *Mihi vero,* inquit, *tantundem valent quinquaginta drachmae.*

2. Tres formosas meretrices ei in conspectum dari aliquando Dionysius jussit, unamque, quam ex illis vellet, eligere. Tum ille tres simul abduxit, dicens, neque Paridi tutum fuisse, quod unam praetulerit caeteris. Eas igitur ad vestibulum usque deduxit, ac dimisit: adeo erat in eligendo et in contemnendo prudentissimus.

3. Consputus a Dionysio aequo animo tulit. Eam injuriam cum quidam aegre ferret: *Piscatores,* inquit, *ut gobium venentur, mari patiuntur se aspergi, et ego, ut blennum capiam, non patiar excreatione adspergi?*

4. Praetereuntem quandoque Diogenes olera ab-

ψε καί φησιν· Εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες· ὁ δέ· Καὶ σὺ, εἶπεν, εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες. [§. 68.]

5. Ἐρωτηθεὶς ποτε, τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη· Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν. [*Ibid.*]

6. Ἐρωτηθεὶς, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· Τὸ δύνασθαι πᾶσι θαῤῥαλέως ὁμιλεῖν. [*Ib.*]

7. Ὀνειδιζόμενός ποτ᾽ ἐπὶ τῷ πολυτελῶς ζῇν, Εἰ τοῦτ᾽, ἔφη, φαῦλόν ἐστιν, οὐκ ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο. [*Ibid.*]

8. Ἐρωτηθεὶς ὑπὸ Διονυσίου· Διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι; ἔφη, Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν. [§. 69.]

9. Ὀνειδιζόμενός ποτ᾽ ἐπὶ τῷ πολυτελῶς ζῇν ὑπὸ Πλάτωνος, ἔφη· Ἆρα φαίνεταί σοι Διονύσιος ἀγαθός; τοῦ δ᾽ ὁμολογήσαντος, Καὶ μὴν, ἔφη, ζῇ ἐμοῦ πολυτελέστερον· ὥστ᾽ οὐδὲν κωλύει καὶ πολυτελῶς καὶ καλῶς ζῇν. [*Ibid.*]

10. Ἐρωτηθεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη· Ὥσπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων. [*Ibid.*]

11. Εἰσιὼν ποτε εἰς ἑταίρας οἰκίαν, καὶ τῶν σὺν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, Οὐ τὸ εἰσελθεῖν, ἔφη, χαλεπὸν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν. [*Ibid.*]

12. Αἴνιγμα τινὸς αὐτῷ προτείναντος καὶ εἰπόντος, Λῦσον· Τί, ὦ μάταιε, ἔφη, λῦσαι θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει;

13. Ἄμεινον, ἔφη, ἐπαίτην ἢ ἀπαίδευτον εἶναι· οἱ μὲν γὰρ χρημάτων, οἱ δὲ ἀνθρωπισμοῦ δέονται. [*Ibid.*]

14. Λοιδορούμενος ποτε ἀνεχώρει· τοῦ δ᾽ ἐπιδιώκοντος εἰπόντος, Τί φεύγεις; Ὅτι, φησὶ, τοῦ μὲν κακῶς

luens objurgavit dicens: *Ista tu si apparare tibi didicisses, tyrannorum aulas non sectareris. Tu vero,* ait ille, *siquidem conversari cum hominibus scires, olera profecto non lavisses.*

5. Rogatus aliquando, quid haberent eximium philosophi, *Si omnes,* inquit, *leges intereant, aequabiliter* (ut antea) *viveremus.*

6. Interrogatus, quidnam sibi ex philosophiae studiis acquisivisset, *Posse,* inquit, *cum omnibus fidenter conversari.*

7. Reprehensus, quod exquisitis et multis sumptibus viveret, *Si vituperandum hoc esset,* inquit, *profecto in Deorum non fieret solennibus.*

8. Percontanti Dionysio, *Cujus rei gratia philosophi divitum limina terunt, philosophorum vero divites non ita? Quod illi,* inquit, *sciunt, quibus indigent; at hi nesciunt.*

9. Cum illi vitio vertisset Plato, quod tam laute viveret, *Num,* inquit, *tibi videtur bonus vir Dionysius?* illo annuente: *Atqui ille,* ait, *me multo lautius vivit: unde nihil prohibet quempiam laute et bene vivere.*

10. Interrogatus, quo differant docti ab indoctis, *Quo,* inquit, *domiti equi ab indomitis.*

11. Ingressus aliquando meretricis cubiculum cum adolescentibus nonnullis, eorum aliquem erubescere videns, *Non,* inquit, *ingredi turpe est (?), sed egredi non posse turpe est.*

12. Cum propositum aenigma ut solveret a nonnemine importune urgeretur, *Quid,* inquit, *stulte, vis, ut solvam, quod etiam ligatum nobis negotium exhibet?*

13. *Praestare,* ajebat, *mendicum esse quam indoctum, illum enim pecuniis, hunc humanitate destitui.*

14. Conviciis aliquando lacessitus, subito abivit. Conviciatore vero, cur fugeret, interrogante, *Quoniam,*

λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ. [*Ibid.*]

15. Εἰπόντος τινὸς, ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι παρὰ ταῖς τῶν πλουσίων θύραις· Καὶ γὰρ καὶ οἱ ἰατροὶ, φησὶ, παρὰ ταῖς τῶν νοσούντων· ἀλλ' οὐ διὰ τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν. [*Ibid.*]

16. Εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. Πρὸς οὖν τὸν εἰπόντα, Ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι; Οὐ γὰρ περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν ἕκαστοι. [§. 71.]

17. Σεμνυνομένου τινὸς ἐπὶ πολυμαθίᾳ, ἔφη· Ὥσπερ οὐχ οἱ πλεῖστα ἐσθίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ, ἀλλ' οἱ χρήσιμα ἀναγινώσκοντες εἰσὶ σπουδαῖοι. [*Ibid.*]

18. Πρὸς τὸν ὑπὲρ αὐτοῦ λογογράφον δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτόν· Τί σε ὤνησε Σωκράτης; ἔφη· Τοῦτο, τοὺς λόγους, οὓς εἶπας ὑπὲρ ἐμοῦ, ἀληθεῖς εἶναι. [*Ibid.*]

19. Τὰ ἄριστα ὑπετίθετο τῇ θυγατρὶ Ἀρήτῃ, συνασκῶν αὐτὴν ὑπεροπτικὴν τοῦ πλείονος εἶναι. [§. 72.]

20. Ἐρωτηθεὶς ὑπό τινος, τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθεὶς, Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδήσεται λίθος ἐπὶ λίθῳ. [*Ibid.*]

21. Συνιστάντος τινὸς αὐτῷ υἱὸν, ᾔτησε πεντακοσίας δραχμάς· τοῦ δὲ εἰπόντος, Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι· Πρίω, ἔφη, καὶ ἕξεις δύο. [*Ibid.*]

22. Ἀργύριον εἶπε παρὰ τῶν γνωρίμων λαμβάνειν, οὐχ ἵνα αὐτὸς χρῷτο, ἀλλ' ἵνα ἐκεῖνοι εἰδεῖεν, εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις. [*Ibid.*]

23. Ὀνειδιζόμενός ποτε, ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, Καὶ γὰρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι. [*Ibid.*]

inquit, *maledicendi tu potestatem, non audiendi ego habemus.*

15. Dicenti cuidam, se philosophos semper divitum limina obsidentes videre, *Et medicos,* inquit, *languentium januas terentes vides; nemo tamen est, qui aegrotus malit quam medicus es se.*

16. Corinthum navigabat aliquando, et, cum tempestate jactaretur, turbari coepérat. In eâ perturbatione insultanti cuidam ac dicenti: *Nos vulgus ignobile non metuimus, vos vero philosophi cur trepidatis? Quid mirum,* respondit, *nam alia est vitae, cujus nos curam gerimus, quam vestrae dignitas.*

17. Glorianti cuidam, quod multa didicisset, *Sicuti,* ait, *non ii, qui plurimum comedunt, plurimumque in gymnasio exercentur, melius valent, quam qui necessariis implentur, ita nec qui plurima, sed qui utilissima lectione collegerunt, eruditi sunt et docti.*

18. Oratori, qui causam pro ipso dixerat ac vicerat, sciscitanti, *Quid tibi profuit Socrates? Hoc,* inquit, *ut oratio, quam pro me habuisti, vera sit.*

19. Aretam filiam suam praeclaris monitis instituebat, exercens eam, ut id, quod nimium esset, contemneret.

20. Rogatus a quodam, quid ab eruditione emolumenti filio suo sit exspectandum, *Si aliud nihil, hoc saltem,* respondit, *ne in theatro lapis lapidi insideat.*

21. Cum filium quispiam ei commendasset instituendum, quingentas postulavit drachmas, eoque dicente, *Tanti emere mancipium possum, Eme,* respondit, *et habebis duo* (filium scil. servumque emptitium).

22. Pecuniam se ab amicis accipere dicebat, non ut ipse uteretur, sed ut scirent illi, quas ad res pecuniis uti conveniat.

23. Exprobranti, quod rhetorem conduxisset, causam suam qui ageret apud judices, *Atqui,* inquit, *et coquum, dum coenam facio, conduco.*

24. Ἀναγκαζόμενος ποτὲ ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, Γελοῖον, ἔφη, εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυνθάνῃ, τὸ δὲ, πότε δεῖ λέγειν, σύ με διδάσκεις· ἐπὶ τούτῳ δὴ ἀγανακτήσαντα τὸν Διονύσιον ἔσχατον αὐτὸν κατακλῖναι· καὶ τὸν, Ἐνδοξότερον, φάναι, τὸν τόπον ἠθέλησας ποιῆσαι. [§. 73.]

25. Αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾷν, Οὐκ αἰσχύνῃ, εἶπεν, ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος; [Ib.]

26. Ἐρωτηθεὶς ποτε, τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη· Εἰς ἀγνῶτας τοὺς δύο γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ. [Ibid.]

27. Αὐχοῦντός τινος ἐπὶ τῷ πολλὰ πίνειν καὶ μὴ μεθύσκεσθαι, Τοῦτο καὶ ἡμίονος, ἔφη. [Ibid.]

28. Πρὸς τὸν αἰτιώμενον, ὅτι ἑταίρᾳ συνοικεῖ, Ἆρά γε, εἶπεν, μή τι διενέγκαι οἰκίαν λαβεῖν, ἐν ᾗ πολλοί ποτε ᾤκησαν, ἢ μηδεὶς; Εἰπόντος δὲ, Οὔ· Τί δὲ, πλεῦσαι ἐν νηΐ, ᾗ μυρίοι ποτὲ ἐνέπλευσαν, ἢ μηδὲ εἷς; Οὐδαμῶς· Οὐδ' ἄρα γυναικὶ, ἔφη, συνεῖναι, ᾗ πολλοὶ κέχρηνται, ἢ μηδείς. [§. 74.]

29. Πρὸς τὸν αἰτιώμενον, ὅτι Σωκράτους μαθητὴς ὢν ἀργύριον λαμβάνει, καὶ γὰρ Σωκράτη, πεμπόντων αὐτῷ τινων καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα, τὰ λοιπὰ ἀποπέμπειν, Καὶ μάλα, εἶπεν, εἶχε γὰρ ταμίας τοὺς πρώτους Ἀθηναίων, ἐγὼ δὲ Εὐτυχίδην ἀργυρώνητον. [Ibid.]

30. Πρὸς τοὺς μεμφομένους, ὅτι ἐχρῆτο Λαΐδι τῇ ἑταίρᾳ, ἔφη· Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι. ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν ἄριστον, οὐ τὸ μὴ χρῆσθαι. [§. 75.]

31. Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψωνίαν ἔφη· Σὺ δ' οὐκ ἂν τριωβόλου ταῦτ' ἐπρίω; ὁμολο-

24. Cogente eum aliquando Dionysio, ut de rebus philosophicis dissereret, *Ridiculum*, dixit, *est, si quidem me, ut loquar, interrogas, quando tamen oporteat loqui, ipse praescribis.* Quam ob rem indignatus Dionysius infimo omnium loco jussit accumbere: quod nihil commotior fecit, *Honoratiorem*, inquiens, *hunc locum facere voluisti.*

25. De natandi peritia glorianti, *Non erubescis*, inquit, *de his, quae delphini etiam possunt, gloriari?*

26. Interrogatus, quid differat sapiens ab insipiente, *Mitte*, inquit, *ambos nudos ad eos, quibus ignoti sunt, et disces.*

27. Alii sibi placenti, quod multum bibens non inebriaretur, *Hoc*, inquit, *etiam mulus potest.*

28. Exprobranti, quod cum meretrice cohabitaret, *Dic age*, inquit, *num quid differat domum accipere, quam multi aliquando inhabitaverint, aut quam nemo?* Negante illo, *Quid*, inquit, *num differre putas ea navi ferri, in qua innumeri saepe navigaverint, an in qua nullus?* Minime, inquit ille. *Non ergo*, inquit, *differt cum muliere congredi, quae multis fuerit exposita, an quae nulli.*

29. Cum argueretur a quodam, quod, quum esset Socratis discipulus, pecuniam (a discipulis) acciperet: Socratem enim, quum frumentum et vinum quidam ei mitterent, paucis acceptis, cetera remittere solitum: *Non mirum*, inquit, *si quidem Socrates promos condos habebat Atheniensium principes, ego Eutychidem, servum emptitium.*

30. Cum sugillaretur, quod cum Laide meretrice rem haberet: *Habeo*, inquit, *Laidem, non habeor* (ab illa). Nam continere se a voluptatibus, neque eis manus dare, praeclarum esse, non, earum sibi usum interdicere.

31. Exprobrantem sibi lautiores et delicatiores cibos hac ratione compescuit: *Tu*, inquit, *ista tribus*

γήσαντος δὲ, Οὐκέτι τοίνυν, ἔφη, φιλήδονος ἐγὼ, ἀλλὰ σὺ φιλάργυρος. [*Ibid.*]

32. Σίμου ποτὲ τοῦ Διονυσίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος (ἦν δὲ Φρὺξ καὶ ὄλεθρος), ἀναχρεμψάμενος, προσέπτυσε τῇ ὄψει· τοῦ δ' ἀγανακτήσαντος· Οὐκ εἶχον, εἶπε, τόπον ἐπιτηδειότερον. [*Ibid.*]

33. Ἐρωτώμενος, πῶς ἀπέθανε Σωκράτης, ἔφη· Ὡς ἂν ἐγὼ εὐξαίμην. [§. 76.]

34. Πολυξένου ποτὲ τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτὸν, καὶ θεασαμένου γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰτιασαμένου, μικρὸν διαλιπὼν, Δύνασαι, ἔφη, καὶ σὺ μεθ' ἡμῶν σήμερον γενέσθαι; τοῦ δ' ἐπινεύσαντος, Τί οὖν, ἔφη, ἐμέμφου; ἔοικας γὰρ οὐ τὴν ὀψωνίαν, ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι. [§. 76. et 77.]

35. Τοῦ θεράποντός ἐν ὁδῷ βαστάζοντος ἀργύριον καὶ βαρυνομένου, Ἀπόχεε, ἔφη, τὸ πλέον, καὶ ὅσον δύνασαι βάσταζε. [§. 77.]

36. Πλέων ποτὲ, ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικὸν, λαβὼν τὸ χρυσίον ἠρίθμει· ἔπειτα ἐς θάλατταν, ὡς μὴ θέλων, παρακατέβαλε, καὶ δῆθεν ἀνῴμωξεν. Οἱ δὲ καὶ ἐπειπεῖν φασὶν αὐτὸν, Ὡς ἄμεινον ταῦτα ὑπ' Ἀριστίππου, ἢ διὰ ταῦτα Ἀρίστιππον ἀπολέσθαι. [*Ibid.*]

37. Διονυσίου ποτὲ ἐρομένου, ἐπὶ τί ἥκοι, ἔφη· ἐπὶ τὸ μεταδώσειν ὧν ἔχει, καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. Ἔνιοι δὲ (φασὶν) οὕτως ἀποκρίνασθαι· Ὁπότε μὲν σοφίας ἐδεόμην, ἧκον παρὰ τὸν Σωκράτη· νῦν δὲ χρημάτων δεόμενος παρὰ σὲ ἥκω. [§. 78.]

38. Κατεγίνωσκε τῶν ἀνθρώπων ὡς τὰ σκεύη μὲν ἐν ταῖς ἀγορασίαις σκοπούντων, τοὺς δὲ βίους εἰκῇ δοκιμαζόντων. (Οἱ δὲ τοῦτο Διογένους φασί.) [*Ibid.*]

39. Ποτὲ παρὰ πότον κελεύσαντος Διονυσίου ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, (φασὶ) τὸν μὲν Πλάτωνα μὴ προσέσθαι εἰπόντα·

obolis non emeres? Fatente illo, *Non tam igitur,* ait' *ego voluptati deditus sum, quam tu avaritiae.*

32. Simus Dionysii quaestor, Phryx gente pessimorumque morum homo, domum suam eum deduxit, pavimentis ex marmore magnifice ornatam. Tum Aristippus in faciem ejus despuit, *locum* indignanti affirmans *opportuniorem se videre nullum.*

33. Interrogatus, quomodo Socrates obiisset diem, *Ita,* respondit, *ut ipse quàm maxime cuperem.*

34. Intravit ad illum aliquando sophista Polyxenus, intuitusque mulieres compositas et magnifice instructum convivium, accusare luxum ejusmodi coepit. Continuit se ille parumper ac demum: *Potesne hodie nobiscum esse?* Et cum ille annuisset: *Cur ergo,* inquit, *quereris? Videris enim non delicatiorem mensam accusare, sed sumptum.*

35. Gestabat famulus in itinere pecuniam, et cum premeretur onere: *Effunde,* ait, *quod nimis est, et fer ea, quae potes.*

36. Cum aliquando navigaret, didicissetque, navem esse piraticam, prolatum aurum numerabat, deinde velut imprudenti et invito lapsum e manibus jactavit in mare, ingemuitque graviter. Sunt qui illum et hoc dixisse memorent: *Melius est, ut haec ab Aristippo, quam Aristippus propter ista pereat.*

37. Interroganti Dionysio, ad quid venisset, *Ut,* inquit, *quae habeo impertiar et quae non habeo accipiam.* Alii sic eum respondisse referunt: *Quando sapientia egebam, adii Socratem; nunc pecuniarum egens ad te veni.*

38. Homines in auctionibus variam supellectilem diligentissime inspicientes reprehendebat, quod in mancipiis emendis similem curam non adhiberent.

39. Jusserat aliquando in compotatione Dionysius, ut singuli cum veste purpurea saltarent. Id se facturum Plato negavit, dicens:

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.

τὸν δὲ Ἀρίστιππον λαβόντα καὶ μέλλοντα ὀρχήσασθαι εὐστόχως εἰπεῖν·

— — — Καὶ γὰρ ἐν βακχεύμασιν
Οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται. [*Ib.*]

40. Δεόμενός ποτε περὶ φίλου Διονυσίου καὶ μὴ ἐπιτυγχάνων, εἰς πόδας αὐτοῦ πεσὼν ἔπεισε. πρὸς οὖν τὸν ἐπισκώψαντα, *Οὐκ ἐγώ*, φησὶν, *αἴτιος, ἀλλὰ Διονύσιος, ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων.* [§. 79.]

41. Διατρίβων ἐν Ἀσίᾳ καὶ ληφθεὶς ὑπὸ Ἀρταφέρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα, *Καὶ ὧδε θαῤῥεῖς; Πότε γὰρ*, εἶπεν, *ὦ μάταιε, θαῤῥήσαιμι ἂν μᾶλλον ἢ νῦν, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξεσθαι;* [*Ibid.*]

42. Τοὺς τῶν ἐγκυκλίων παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέντας ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς Πηνελόπης μνηστῆρσι· καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν καὶ Πολυδώραν καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν, πάσας δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν δύνασθαι γῆμαι. τῷ δ' ὅμοιον καὶ Ἀρίστων· τὸν γὰρ Ὀδυσσέα, καταβάντα εἰς ᾅδου, τοὺς μὲν νεκροὺς πάντας σχεδὸν ἑωρακέναι καὶ συντετυχηκέναι, τὴν δὲ βασίλισσαν αὐτὴν μὴ τεθεᾶσθαι. [*Ibid.*]

43. Ἐρωτηθεὶς, τίνα ἐστὶν, ἃ δεῖ τοὺς καλοὺς παῖδας μανθάνειν, ἔφη· *Οἷς ἄνδρες γενόμενοι χρήσονται.* [§. 80.]

44. Πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ, ὡς ἀπὸ Σωκράτους πρὸς Διονύσιον ἔλθοι, *Ἀλλὰ πρὸς Σωκράτην*, εἶπεν, *ἦλθον παιδείας δεόμενος, πρὸς δὲ Διονύσιον παιδιᾶς.* [*Ibid.*]

45. Ἐξ ὁμιλίας αὐτῷ χρηματισαμένῳ φησὶ Σωκράτης, *Πόθεν σοὶ τοσαῦτα;* καὶ ὅς· *Ὅθεν σοὶ τὰ ὀλίγα.* [*Ibid.*]

46. Ἑταίρας εἰπούσης πρὸς αὐτὸν, *Ἐκ σοῦ κύω*, *Οὐ μᾶλλον*, ἔφη, *γινώσκεις, ἢ εἰ δι' ὁλοσχοίνων ἰοῦσα ἔφασκες ὑπὸ τοῦδε κεκεντῆσθαι.* [§. 81.]

Effoeminata veste non possum tegi.
eam vero Aristippus induit: et cum saltare inciperet, scite admodum dixit:

— — — — — — sacris nec Liberi
Patris pudica mens, puto, corrumpitur.

40. Cum aliquando pro amico quodam suo apud Dionysium intercederet, illeque audire nollet, ipse ad pedes ejus provolutus, (postremo quod vellet, impetravit). Quod factum cum ei exprobraret nonnemo: *Non ego,* dixit, *culpandus eram, sed Dionysius, qui aures in pedibus habet.*

41. In Asia moratus cum ab Artapherne satrapa comprehensus fuisset, interrogatus a quodam, an ibi confideret, *Stulte,* respondit, *confidensne sim, si non hoc tempore fuerim, quo cum Artapherne mihi loquendum?*

42. Eos, qui, philosophia neglecta, disciplinis encycliis vacarent, Penelopes ajebat procis esse simillimos: illos enim et Melantho et Polydoram ceterasque ancillas omnes sibi conciliare: dominam vero ipsam haud vincere potuisse. Cui geminum Aristonis istud: Vlyssi ad inferos delapso, cum mortuis fere omnibus ut colloqueretur, datum esse; reginam ne videre quidem potuisse.

43. Interrogatus, quaenam honestos pueros oporteat discere, *Ea,* inquit, *quae viris usui futura sunt.*

44. Exprobranti, quod a Socrate ad Dionysium se contulisset, *Atqui,* inquit, *doctrinae indigus ad Socratem sum profectus, ad Dionysium vero recreatione et lusibus opus habens.*

45. Multas jam ex institutionibus suis pecunias consecuto cum diceret Socrates, *Unde tibi tam multa?* ille inquit, *Unde tibi tam pauca.*

46. Meretrice ei dicente, quod uterum gestaret ex eo, *Non,* inquit, *hoc magis nosti, quam per spinas densissimas ambulans dicere potest: Ista me sauciavit.*

47. Ἠτιάσατό τις αὐτὸν τὸν υἱὸν ἀποῤῥιπτοῦντα, ὥσπερ οὐκ ἐξ αὐτοῦ γεγονότα. καὶ ὅς, Καὶ τὸ φλέγμα, φησὶ, καὶ τοὺς φθεῖρας ἐξ ἡμῶν ἴσμεν γεννωμένους, ἀλλ' ἀχρεῖα ὄντα ὡς ποῤῥωτάτω ῥίπτομεν. [Ib.]

48. Ἐκδεξάμενος τὸ ἀργύριον παρὰ Διονυσίου, Πλάτωνος ἄραντος βιβλίον, πρὸς τὸν αἰτιασάμενον, Ἐγὼ μὲν γὰρ, εἶπεν, ἀργυρίων, Πλάτων δὲ βιβλίων ἐστὶν ἐνδεής. [Ibid.]

49. Πρὸς τὸν εἰπόντα, Τίνος ἕνεκα ἐλέγχεται παρὰ Διονυσίου; Οὗ ἕνεκα, φησὶν, οἱ ἄλλοι. [Ib.]

50. Ἤτει Διονύσιον ἀργύριον. καὶ ὅς, Ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν. ὁ δ' ὑπολαβὼν, Δὸς, εἶπε, καὶ περὶ τούτου ζητῶμεν· δόντος δὲ, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρηκα. [§. 82.]

51. Εἰπόντος πρὸς αὐτὸν Διονυσίου,

Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

ὑπολαβὼν (ἔφη),

Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ. [Ib.]

52. Ὀργισθεὶς πρὸς Αἰσχίνην μετ' οὐ πολὺ, Οὐ διαλλαχθησόμεθα, οὐ παυσόμεθα, εἶπε, ληροῦντες, ἀλλὰ ἀναμένεις, ἕως ἄν τις ἡμᾶς ἐπὶ τῆς κύλικος φλυαρῶν διαλλάξῃ; καὶ ὅς, Ἀσμένως, ἔφη. Μνημόνευε τοίνυν, εἶπεν Ἀρίστιππος, ὅτι σοι πρότερος, πρεσβύτερος ὤν, προσῆλθον. Καὶ ὁ Αἰσχίνης, Εὖγε, νὴ τὴν Ἥραν, εὐλόγως εἶπας· ἐπεὶ πολλῷ μου βελτίων ὑπάρχεις. ἐγὼ μὲν γὰρ ἔχθρας, σὺ δὲ φιλίας ἄρχεις. [§. 83.]

Ἐκ τῶν ἄλλων.

53. Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μὲν, μὴ προεκφερόμενος δὲ, ὥσπερ καὶ νεὼς καὶ ἵππου, οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται. [Στοβ. λόγ. ιϛ. σωφροσύνη καὶ ἐγκράτεια πῶς διαφέρουσι.]

54. Ἀρίστιππος Κυρηναῖος φιλόσοφος θεασάμενός τινα ὀργιζόμενον καὶ διὰ τῶν λόγων χαλεπαίνοντα ἔφη· Μὴ

47. Causante quodam, quod filium quasi non ex se natum projiceret, *An vero*, inquit, *ignoramus, et pituitam et pediculos ex nobis gigni, quae tamen velut inutilia quam longissime projicimus?*

48. Cuidam, quod a Dionysio pecunias accepisset, Platone libris ab eodem donato, objurganti respondit: *Nempe pecunia ego, Plato libris opus habebat.*

49. Interrogatus, quanam re Dionysii offensam incurrisset, *Eadem*, respondit, *qua alii.*

50. Postulabat pecuniam a Dionysio, et ille, *Dixisti*, inquit, *non egere sapientem. Da*, inquit ille, *et postea de his quaeramus:* et cum dedisset: *Videsne*, ait, *me non indigere?*

51. Cum Dionysius versus istos recitasset:

Quisquis tyrannum accesserit frequentius,
Fit servus illi, sit licet liberrimus.

ex tempore Aristippus respondit:

Non serviet, si liber ante venerit.

52. Cum Aeschini male quandoque cum ipso convenisset, Aristippus prior eum affatus, *Annon redibimus*, ait, *in gratiam? Annon delirandi faciemus finem? Num exspectabis, donec aliquis nos scurra inter pocula reconciliet?* Tum Aeschines, *Lubentissime*, inquit. *Memento ergo*, Aristippus subjecit, *quod ad te, major licet natu, prior accesserim.* Tum Aeschines, *Recte quidem*, inquit, *nam longe me virtute superas, ego enim rixae, tu reconciliationis auctor fuisti.*

Ex aliis.

53. Moderatur voluptati, non qui penitus abstinet, sed qui hoc modo utitur, ut non abripiatur cum ipsa: ut navi et equo moderatur, haud qui non utitur, sed qui, quo libuerit, ducit. [*Stob. Serm. XVI. Temperantia et continentia quomodo differant etc.*]

54. Aristippus Cyrenensis philosophus cum succensere quendam vidisset ac verbis indignari, dixit: *Ne*

τοὺς λόγους δι' ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ λόγων καταπαύωμεν. [Στοβ. λόγ. κ. περὶ ὀργῆς.]

54. a. 'Αρίστιππος ἐρωτηθείς, τί θαυμαστόν ἐστιν ἐν τῷ βίῳ, "Ανθρωπος ἐπιεικὴς, εἶπεν, καὶ μέτριος, ὅτι ἐν πολλοῖς ὑπάρχων μοχθηροῖς οὐ διέστραπται. [Λόγ. λζ'. περὶ χρηστότητος.]

54. b. 'Αρίστιππος ὁ Κυρηναῖος φιλόσοφος ἔφη, τοσούτῳ βασιλείαν διαφέρειν τυραννίδος, ὅσον νόμος ἀνομίας καὶ ἐλευθερία δουλείας. [Λόγ. μζ'. ψόγος τυραννίδος.]

54. c. Τοῦ Διονυσίου λέγοντος πρὸς 'Αρίστιππον, Οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ, 'Αληθῆ λέγεις, εἶπεν, εἰ γὰρ ὠφέλησο, ἀπέπαυσο ἂν τῆς τυραννίδος, ὥσπερ ἱερᾶς νόσου. ['Εν τῷ αὐτῷ.]

55. Οὐχ ὥσπερ ὑπόδημα τὸ μεῖζον δύσχρηστον, οὕτω καὶ ἡ πλείων κτῆσις· τοῦ μὲν γὰρ ἐν τῇ χρήσει τὸ περιττὸν ἐμποδίζει· τῇ δὲ καὶ ὅλῃ χρῆσθαι κατὰ καιρὸν ἔξεστι καὶ μέρει. [Στοβ. λόγ. ἐννενηκοστὸς β'. ὅτι τὰ χρήματα ἀβλαβῆ συμμέτρως καὶ δικαίως πορισθέντα.]

56. 'Αρίστιππος γυναῖκα καλὴν μικρὰν ἰδὼν, Μικρὸν κακὸν μὲν, μέγα δὲ καλὸν, ἔφη. ['Αντων. λόγ. περὶ γυναικὸς ἀνδρείας καὶ σώφρονος.]

57. 'Αρίστιππος ὁ Κυρηναϊκὸς φιλόσοφος παρεκελεύσατο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς καὶ ναυαγήσασι συγκολυμβήσει. ['Αντων. καὶ Μαξίμ. λόγ. περὶ παιδείας καὶ φιλοσοφίας.]

58. 'Αρίστιππος, ἐπειδή ποτε πλέων, τοῦ σκάφους ἀπολομένου, ἐπὶ τὰς Συρακουσίων ἠϊόνας ἐξεβράσθη, πρῶτον μὲν ἐθάῤῥησε, θεασάμενος ἐπὶ τῆς ψάμμου διάγραμμα γεωμετρικόν· ἐλογίσατο γὰρ εἰς Ἕλληνάς τε καὶ σοφοὺς ἄνδρας, οὐκ εἰς βαρβάρους ἥκειν. Ἔπειτα παραγενόμενος εἰς τὸ Συρακουσίων γυμνάσιον, καὶ ταυτὶ τὰ ἔπη φθεγξάμενος,

verba per iram proferamus, sed verbis iram compescamus. [*Stob. Serm. XX. de ira.*]

54. a. Aristippus interrogatus, quid esset admirandum in vita, *Vir probus*, respondit, *et moderatus, quoniam, etsi inter multos improbos agat, non tamen pervertitur.* [*Serm. XXXVIII. de bonitate.*]

54. b. Aristippus Cyrenensis philosophus regnum a tyrannide tantum differre dixit, quantum lex a reipublicae statu absque legibus et libertas a servitute. [*Serm. XLVII. vituperium tyrannidis.*]

54. c. Cum Dionysius exprobraret Aristippo, quod nihil utilitatis ab eo cepisset, *Verum ais*, dixit, *si quid enim tibi profuissem, non secus a tyrannide, quam a comitiali morbo, liberari voluisses.* [*Ibid.*]

55. Non quemadmodum calceus major ineptus est ad usum, ita et possessio copiosior. Calcei enim magnitudo superflua utentem impedit: opibus autem vel universis vel ex parte aliqua, ubi opportunum fuerit, uti licet. [*Stob. Serm. XCII. quod pecuniae moderate ac juste comparatae innoxiae sint.*]

56. Aristippus mulierem parvam sed pulchram conspicatus, *Parvum*, inquit, *malum, sed magnum pulchrum.* [*Anton. Meliss. Serm. de muliere forti ac temperante pag.* 607.]

57. Aristippus Cyrenaicus philosophus adolescentes hortari solebat, ut talia sibi viatica quaererent, quae cum ipsis naufragio facto enatare possint. [*Anton. et Maxim. Serm. de disciplina et philosophia pag.* 704.]

58. Aristippus, quum aliquando navigans, fracta scapha, in littus Syracusanum ejectus esse, primum quidem bono animo esse coepit, cum in arena vidisset descriptas lineas geometricas: reputabat enim, sese ad Graecos ac sapientes viros, non ad barbaros, pervenisse. Post, ubi venisset in Syracusiorum gymnasium, et hosce versus pronuntiasset,

Τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
Τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι;
προσιόντας τέ τινας ἔσχεν αὐτῷ καὶ γνωρίζοντας, ὅστις εἴη, καὶ πάντων ὧν ἐδεῖτο μεταδιδόντας εὐθέως. Ὡς δ' εἰς Κυρήνην, αὐτοῦ τὴν πατρίδα, μέλλοντές τινες πλεῖν ἐπυνθάνοντο, μή τι τοῖς οἰκείοις ἐπιστέλλει, κελεύειν αὐτοῖς ἔφη, ταῦτα κτᾶσθαι τὰ κτήματα, ἃ καὶ ναυαγήσαντι συνεκκολυμβήσει. [*Galen. Protrept. ad literas addiscendas Cap. V. pag.* 11. *ed. Willet.*]

59. Ἀρίστιππος Ὀλυμπιάσιν Ἰσχομάχῳ συμβαλὼν ἠρώτα, τί Σωκράτης διαλεγόμενος οὕτω τοὺς νέους διατίθησι, καὶ μικρὰ ἄττα τῶν λόγων αὐτοῦ σπέρματα καὶ δείγματα λαβὼν, οὕτως ἐμπαθῶς ἔσχεν, ὥστε τῷ σώματι συμπεσεῖν καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ ἰσχνός· ἄχρις οὗ πλεύσας Ἀθήναζε διψῶν καὶ διακεκαυμένος ἠρύσατο τῆς πηγῆς καὶ τὸν ἄνδρα καὶ τοὺς λόγους αὐτοῦ καὶ τὴν φιλοσοφίαν ἱστόρησεν, ἧς ἦν τέλος ἐπιγνῶναι τὰ ἑαυτοῦ κακὰ καὶ ἀπαλλαγῆναι. [*Plutarch. de curiositate Opp. Tom. II. p.* 516.]

60. Ἀρίστιππος χωρίον ἀπολέσας καλὸν ἠρώτησεν ἕνα τῶν πάνυ προσποιουμένων συνάχθεσθαι καὶ συναγανακτεῖν· *Οὐχὶ σοὶ μὲν χωρίδιον ἕν ἐστιν, ἐμοὶ δὲ τρεῖς ἀγροὶ καταλείπονται;* συνομολογήσαντος δ' ἐκείνου, *Τί οὖν,* εἶπεν, *οὐ σοὶ μᾶλλον ἡμεῖς συναχθόμεθα;* [*Idem de animi tranquillitate p.* 469.]

60. b. Πανταχόθεν (φησὶν ὁ Ἀρίστιππος) ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδός. [*Τέλης παρὰ Στοβαίῳ λόγ. λή. περὶ ξένης.*]

61. Ἀρίστιππος, ἑταίρων αὐτῷ τινων ὀδυρομένων βαρύτατα, πολλὰ μὲν καὶ ἄλλα πρὸς αὐτοὺς εἶπε λύπης ἀνασταλτικὰ, καὶ ταῦτα δὲ ἐν προοιμίοις· *Ἀλλ' ἔγωγε ἥκω παρ' ὑμᾶς, οὐχ ὡς συλλυπούμενος, ἀλλ' ἵνα παύσω ὑμᾶς λυπουμένους.* [*Aelian. Var. Hist. VII. Cap.* 3.]

62. Πάνυ σφόδρα ἐῤῥωμένως ἐῴκει λέγειν ὁ Ἀρίστιππος, παρεγγυῶν, μήτε τοῖς παρελθοῦσιν ἐπικάμνειν, μήτε τῶν ἐπιόντων προκάμνειν· εὐθυμίας γὰρ δεῖγμα τὸ τοιοῦτο, καὶ ἵλεω διανοίας ἀπόδειξις. Προσέταττε δὲ ἐφ' ἡμέρᾳ τὴν

Quis Oedipum in diem vagantem et exulem
Bonis recipiet hoc die rarissimis?

et habuit, qui ipsum convenirent, et agnito protinus omnia, quibus opus erat, impertirent. Deinde cum essent, qui in Cyrenen, illius patriam, navigaturi percunctarentur, *num quid suis renuntiari vellet: Jubete*, inquit, *illos has sibi parare possessiones, quae, navi fracta, simul enatant cum possessore.*

59. Aristippus in Ischomachum ludis Olympicis incidens quaesivit, quibusnam disputationibus Socrates ita animos adolescentum afficeret; acceptisque exiguis sermonum ejus seminibus atque documentis, ita vehementem sensit animi ardorem, ut et corpus marcesceret, et plane pallidus gracilisque redderetur, donec sitibundus et flagrans Athenas navigavit, ac ipso de fonte hausit, Socratemque et doctrinam ejus atque philosophiam cognovit: cujus philosophiae finis est, perspicere sua mala, iisque liberari.

60. Aristippus, praedio amisso quodam egregio, ex aliquo eorum, qui majorem in modum casum ejus dolore et inique ferre simulabat, quaesivit: *Nonne tu unicum possides agellum, mihi tres fundi sunt reliqui?* Assenso, *Cur itaque non tuam potius vicem doleam?* inquit.

60. b. Undique, inquit Aristippus, aequalis similisque in Plutonis regiam via est. [*Teles ap. Stob. Serm. XXXVIII. de exilio.*]

61. Aristippus, quum quidam ex necessariis ejus gravissime lamentarentur, cum alia multa ad cohibendum luctum idonea illis dixit, tum vero et haec in exordio: *At ego non venio ad vos, ut una lamenter, sed ut vos a luctu abducam.*

62. Aristippus prorsus fortiter et vere visus est loqui, praecipiens, neque ob praeterita torquere se, neque in antecessum ob futura: id enim animi esse documentum tranquilli, hilarisque cogitationis argumentum.

γνώμην ἔχειν, καὶ αὖ πάλιν τῆς ἡμέρας ἐπ' ἐκείνῳ τῷ μέρει, καθ' ὃ ἕκαστος ἢ πράττει τι ἢ ἐννοεῖ. Μόνον γὰρ ἔφασκεν ἡμέτερον εἶναι· τὸ παρὸν, μήτε δὲ τὸ φθάνον, μήτε τὸ προσδοκώμενον· τὸ μὲν γὰρ ἀπολωλέναι, τὸ δὲ ἄδηλον εἶναι, εἴπερ ἔσται. [*Idem Lib. XIV. Cap. 7.*]

63. Ἀρίστιππος ὁ φιλόσοφος χρισάμενος μύρῳ, κακοὺς κακῶς ἀπολωλέναι χρῆναι τοὺς κιναίδους ἔφασκεν τοῦ μύρου τὴν ὠφέλειαν εἰς λοιδορίαν διαβεβληκότας. [*Clemens Alex. Paedagog. Lib. II. p. 179. ed. Sylb.*]

64. Τὰ ἀρεσκόμενα περὶ τοῦ τέλους.

Οἱ ἐπὶ τῆς ἀγωγῆς τοῦ Ἀριστίππου μείναντες καὶ Κυρηναϊκοὶ προσαγορευθέντες δόξαις ἐχρῶντο τοιαύταις. δύο πάθη ὑφίσταντο, πόνον καὶ ἡδονήν· τὴν μὲν λείαν κίνησιν, τὴν ἡδονήν· τὸν δὲ πόνον τραχεῖαν κίνησιν· μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἥδιόν τι εἶναι. καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζώοις, τὸν δὲ ἀποκρουστικόν. ἡδονὴν μέντοι τὴν τοῦ σώματος, οὐ τὴν καταστηματικὴν ἡδονὴν, τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων, καὶ οἷον ἀνοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται, τέλος εἶναι φασί. Δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας διαφέρειν· τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν· εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα· εἶναι δὲ τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετὴν, τὴν δ' εὐδαιμονίαν οὐ δι' αὑτὴν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς· εἶναι δὲ τὴν ἡδονὴν ἀγαθὸν, κἂν ἀπὸ τῶν ἀσχημοτάτων γένηται. Εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὑτὴν αἱρετὴ καὶ ἀγαθόν. Ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις (ὡς εἴρηται παρ' Ἐπικούρῳ) δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονὴ, οὐδὲ ἡ ἀηδονία ἀλγηδὼν, ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως· ἐπεὶ ἡ ἀπονία οἱονεὶ

Iubebat autem in singulos tantum dies animum intendere, et porro istius diei illam tantum partem, qua quisque quid ageret aut cogitaret. Solum enim ajebat praesens nostrum esse, non autem praeteritum, neque futurum: illud enim jam periisse, hoc an eventurum sit, incertum esse.

63. Aristippus philosophus cum unguento unctus esset, dicebat, malos male perdendos esse cinaedos, qui, ut unguenti utilitas male audiret, effecerunt.

64. *Ejusdem et discipulorum ejus Cyrenaicorum placita de fine bonorum.*

Qui Aristippi instituta amplexi sunt et ab illo Cyrenaici sunt appellati, hisce opinionibus utuntur. Duas affectiones statuunt, dolorem et voluptatem: voluptatem lenem motum, dolorem vero asperum appellantes: nihil differre a voluptate voluptatem, neque aliud alio magis volupe esse. Atque illam quidem cunctos animantes appetere, hunc autem repellere. Voluptatem autem corporis intelligunt, quam et finem (bonorum) esse dicunt, non eam, quae in statu sit et doloris privatione consistat et velut a turbatione omni quietem agat, quam suscepit Epicurus finem (bonorum) constituens. Videtur autem eis finis a beata vita differre: finem quippe esse particularem voluptatem, beatam autem vitam sive felicitatem voluptatum particularium constare conventu: particularem quoque voluptatem propter se ipsam esse eligendam; felicitatem vero non propter se ipsam, sed propter particulares voluptates expetendam: voluptatem praeterea bonum esse affirmant, etiamsi a turpissimis proveniat rebus; licet enim foeda sit actio, voluptatem tamen per se ipsam esse eligendam bonumque existimandum. Porro illa doloris amotio, quam tuetur Epicurus, eis non videtur voluptas esse, neque privatio voluptatis dolor: utraque enim esse in motu constituta, cum non sit motus doloris voluptatisve privatio. Quippe doloris illa vacatio veluti

καθεύδοντός ἐστι κατάστασις — ἀλλὰ μὴν οὐδὲ κατὰ μνήμην τῶν ἀγαθῶν ἢ προσδοκίαν ἡδονήν φασιν ἀποτελεῖσθαι, ὅπερ ἤρεσκεν Ἐπικούρῳ, ἐκλύεσθαι γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνημα — Πολὺ μέντοι τῶν ψυχικῶν ἡδονῶν τὰς σωματικὰς ἀμείνους εἶναι, καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς. [*Diog. Laert. Lib. II.* §. 86. *seq.*]

ΒΙΩΝΟΣ ΤΟΥ ΒΟΡΥΣΘΕΝΙΤΟΥ ΣΟΦΙΣΤΟΥ ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ.

(E diversis scriptoribus collecta.)

Ἐν τῷ περὶ δούλων.

1. Οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι, οἱ δὲ πονηροὶ ἐλεύθεροι δοῦλοι πολλῶν ἐπιθυμιῶν. [Στοβ. λόγ. β. περὶ κακίας καὶ λόγ. ξ. περὶ δεσποτῶν καὶ δούλων.]

Ἀποφθέγματα.

2. Βίων ἔλεγε, τοὺς γραμματικοὺς ζητοῦντας περὶ τῆς Ὀδυσσέως πλάνης μὴ ἐξετάζειν τὴν ἰδίαν, μηδὲ καθορᾷν, ὅτι καὶ περὶ αὐτῷ τούτῳ πλανῶνται ζητοῦντες περὶ τὰ μηδὲν χρήσιμα.

3. Βίων, ἐρωτηθεὶς, τί ἐστιν ἄνοια, εἶπε· Προκοπῆς ἐμπόδιον. [Στοβ. λόγ. δ. περὶ ἀφροσύνης.]

dormientis status est. — Imo ne ex memoria quidem, seu expectatione bonorum voluptatem perfici dicunt, quod placet Epicuro: nam tempore motum animi effluere. — Longe tandem esse praestantiores corporum quam animorum voluptates, deterioresque corporis quam animi afflictiônes.

65. Cyrenaici non omni malo aegritudinem effici censent, sed insperato et nec opinato malo. [*Cic. Tusc. III*, 13.]

66. Cyrenaici propter permotiones intimas nihil putant esse judicii. Etenim in solo tactu, et eo quidem, quem philosophi interiorem vocant, aut doloris aut voluptatis Cyrenaici putant veri esse judicium, quia sentiatur. [*Idem Acad. II*, 46.]

67. Quid Cyrenaei videntur? minime contemti philosophi; qui negant esse quidquam, quod percipi possit extrinsecus, ea se sola percipere, quae tactu intimo sentiant, ut dolorem, ut voluptatem; neque se, quo quid colore, aut quo sono sit, scire, sed tantum sentire, affici se quodam modo. [*Idem ibid. c.* 24.]

BIONIS BORYSTHENITAE SOPHISTAE
SENTENTIAE ET APOPHTHEGMATA.

Ex libro de servis.

1. Servi boni liberi sunt, at liberi, qui mali sunt, servi multarum cupiditatum existunt. [*Stob. Serm. II. de malitia et LX. de dominis et servis.*]

Apophthegmata.

2. Bion ajebat, Grammaticos, dum Vlyssis errores investigarent, non animadvertere suos, neque videre, quod in hoc ipso errent, dum pro rebus nullius momenti labores multos inutiles exhauriunt.

3. Interroganti, quid esset amentia sive stultitia, *Proficiendi impedimentum*, respondit. [2. *et* 3. *Stob. Serm. IV. de imprudentia.*]

4. *Βίων σοφιστὴς τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγεν πάσης κακίας εἶναι.* [Στοβ. λόγ. ί. περὶ ἀδικίας.]

5. *Ἡ περὶ ταφῆς ἄγνοια (φησὶν ὁ Βίων) πολλὰς τραγῳδίας ἐποίησεν.* [Τέλης παρὰ Στοβαίῳ λόγ. λή. περὶ ξένης.]

6. *Ἀντίγονος ὁ βασιλεὺς Βίωνα τὸν φιλόσοφον διαβληθέντα ὡς δυσγενῆ ἤρετο·*

Τίς, πόθεν εἶς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες;

κἀκεῖνος εἶπεν· Ἀλλ' ὀρθῶς ἔχει, ὦ βασιλεῦ, ὅταν τοξοτῶν χρείαν ἔχῃς, οὐκ ἐρωτῶντα τὸ γένος, ἀλλὰ τιθέντα τὸν σκοπὸν, τοὺς ἀρίστους τοξευτὰς παραλαμβάνειν· οὕτως οὖν καὶ ἐπὶ τῶν φίλων ἐξέταζε, οὐ πόθεν εἰσὶν, ἀλλὰ τίνες. [Στοβ. λόγ. πδ'. περὶ εὐγενείας etc.]

7. *Βίων ἔφη· Τὰ χρήματα τοῖς πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν.* [Στοβ. λόγ. ργ'. ὅτι ἀβέβαιος ἡ εὐπραξία.]

8. *Εἰ δέ τις ὑπείληφε, βεβαίως ἔχειν τὸν πλοῦτον, καὶ οὐδέποτε προλείψειν αὐτὸν, οὗτος ἔοικε τύχης καὶ παραδόξων πραγμάτων καταπεφρονηκέναι, καὶ οὐκ εἰδέναι, ὅτι πεπλανημένον τὸ εὖ πράττειν καὶ οὐκ ἀεὶ παρὰ τοῖς αὐτοῖς.* [Ibid.]

9. *Ἡ τύχη, φησὶν ὁ Βίων, ὥσπερ ποιήτρια, ὅτε μὲν πρωτολόγου, ὅτε ὑστερολόγου περιτίθησι πρόσωπον, καὶ ὅτε μὲν βασιλέως, ὅτε δὲ ἀλήτου.* [Τέλης παρὰ Στοβαίῳ λόγ. έ. περὶ σωφροσύνης.]

10. *Βίων ἔλεγεν, ὥσπερ τὰ φαῦλα τῶν βαλαντίων, κἂν μηδενὸς ᾖ ἄξια, τοσούτου ἐστὶν ἄξια, ὅσον ἐν ἑαυτοῖς τὸ νόμισμα ἔχουσιν· οὕτω καὶ τῶν πλουσίων τοὺς οὐδενὸς ἀξίους καρποῦσθαι τὰς ἀξίας ὧν κέκτηνται.* [Στοβ. λόγ. πθ'. ἔπαινος πλούτου.]

11. *Βίων ἔλεγε, καταγελάστους εἶναι τοὺς σπουδάζοντας περὶ πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται.* [Στοβ. λόγ. ἐννενηκοστὸς ά. ψόγος πλούτου.]

12. *Βίων ἔλεγε, γελοιοτάτους εἶναι τοὺς ἀστρονομοῦντας,*

4. Bion sophista avaritiam esse dicebat omnis improbitatis metropolim. [*Stob. Serm. X. de injustitia.*]

5. Sepulturae ignorantia, inquit Bion, multos tragoedias fecit. [*Teles ap. Stob. Serm. XXXVIII. de exilio.*]

6. Antigono regi sciscitanti ex eo,

Ede tuum nomen, patriam, genus atque parentes.

respondit Bion: Atqui bene facis, o rex, si sagittarios tibi comparaturus de genere illorum non quaeris, sed, scopo proposito, quinam optimi sint, experiris. Sic et de amicis, non unde, sed quales sint, erat dispiciendum. [*Stob. Serm. LXXXIV. de nobilitate.*]

7. Bion dixit: Fortuna divitibus pecunias non donavit, sed mutuo dedit. [*Stob. Serm. CIII. quod inconstans sit prosperitas.*]

8. Divitias si quis firmas opinetur, neque unquam a se discessuras, is fortunam contemnere videtur casusque inopinatos; ignorat etiam, quam vaga res sit prosperitas, nec iisdem semper adhaerens. [*Ibid.*]

9. Fortuna velut poetria nunc primi, nunc ultimi actoris locum nobis tribuit, et alias regis, alias mendici personam. [*Teles ap. Stob. Serm. V. de Temperantia.*]

10. Bion ajebat: Quemadmodum vilia marsupia, etsi nullius pretii ipsa fuerint, tanti tamen aestimantur, quantum in se numismatis continent: ita divites, etiam homines nullius frugis, bonorum, quae possideant, aestimatione et pretio fruuntur. [*Stob. Serm. LXXXIX. Laus divitiarum.*]

11. Bion ridiculos esse ajebat, qui divitiis studeant; eas enim porrigere fortunam, avaritiam servare, benignitatem dissipare. [*Stob. Serm. XCI. Vituperium divitiarum.*]

12. Bion ajebat, maxime ridiculos esse astronomos,

οἱ τοὺς παρὰ ποσὶ τοὺς ἐν αἰγιαλοῖς ἰχθῦς οὐ βλέποντες, τοὺς ἐν τῷ οὐρανῷ φάσκουσιν εἰδέναι. [Στοβ. λόγ. οή. περὶ θεῶν καὶ τῆς περὶ τὸν οὐρανὸν καὶ κόσμον φυσιολογίας.]

13. Βίων ἔφη, δεῖν τὸν ἀγαθὸν ἄρχοντα παυόμενον τῆς ἀρχῆς μὴ πλουσιώτερον, ἀλλ' ἐνδοξότερον γεγονέναι. [Στοβ. λόγ. μδ'. περὶ ἀρχῆς.]

14. Καθάπερ καὶ ἐξ οἰκίας, φησὶν ὁ Βίων, ἐξοικιζόμεθα, ὅτ' ἂν τὸ ἐνοίκιον ὁ μισθώσας οὐ κομιζόμενος, τὴν θύραν ἀφέλῃ, τὸν κέραμον ἀφέλῃ, τὸ φρέαρ ἐγκλείσῃ, οὕτω καὶ ἐκ τοῦ σώματος ἐξοικίζομαι, ὅταν ἡ μισθώσασα φύσις τοὺς ὀφθαλμοὺς ἀφαιρῆται, τὰ ὦτα, τὰς χεῖρας, τοὺς πόδας. [Ἀδέσποτον παρὰ Στοβ. λόγ. ά. περὶ ἀρετῆς.]

14. a. Βίων πρὸς τοὺς λέγοντας, ὅτι τὸ κάλλος τυραννίδα ἔχει, Φεῦ, ἔλεγε, τυραννίδος τριχὶ καταλυομένης. [Στοβ. λόγ. ξδ'. περὶ κάλλους.]

14. b. Ὁ σοφιστὴς Βίων τὰς τῶν καλῶν τρίχας Ἁρμοδίους ἐκάλει καὶ Ἀριστογείτονας, ὡς ἅμα καλῆς τυραννίδος ἀπαλλαττομένους ὑπ' αὐτῶν τοὺς ἐραστάς. [*Plutarch. Amor. Opp. Tom. II. p. 770. B.*]

E Diogene Laertio Lib. IV. §. 47—51. et aliis.

15. Ὀνειδιζόμενος ἐπὶ τῷ μὴ θηρᾶσαι μειράκιον, Οὐχ οἷόν τε, ἔφη, ἁπαλὸν τυρὸν ἀγκίστρῳ ἐπισπᾶσθαι. [§. 47.]

16. Ἐρωτηθείς ποτε, τίς μᾶλλον ἀγωνιᾷ, ἔφη· Ὁ τὰ μέγιστα βουλόμενος εὐημερεῖν. [§. 48.]

17. Ἐρωτηθείς, εἰ γήμαι, ἔφη· Ἐὰν μὲν γήμῃς αἰσχράν, ἕξεις ποινήν· ἂν δὲ καλήν, ἕξεις κοινήν. [*Ibid.*]

18. Τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι τῶν κακῶν· εἰς αὐτὸ γοῦν πάντα καταφεύγειν· τὴν δόξαν ἐτῶν μητέρα εἶναι· τὸ κάλλος ἀλλότριον ἀγαθόν· τὸν πλοῦτον νεῦρα πραγμάτων. [*Ibid.*]

19. Πρὸς τὸν τὰ χωρία καταδεδηκότα, Τὸν μὲν Ἀμφιάραον, ἔφη, ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν. [*Ib.*]

20. Μέγα κακὸν τὸ μὴ δύνασθαι φέρειν κακόν. [*Ibid.*]

qui, cum non videant pisces juxta se in littore natantes, illos, qui in coelo sint, videre se dicant. [*Stob. Serm. LXXVIII. de diis et physiologia circa coelum et mundum.*]

13. Bion dixit, oportere bonum principem a magistratu discedentem, non ditiorem, sed clariorem evasisse. [*Stob. Serm. XLIV. de magistratu etc.*]

14. Non aliter quam e domo, inquit Bion, exigimur, si locator, non accepto habitationis pretio, fores revellat, tegulam adimat, puteum obstruat, ita etiam et ex isto corpusculo relegor, quando quae locavit natura oculos ademerit, aures, manus, pedes. Non moror amplius. [*Incertus ap. Stob. Serm. I. de virtute.*]

14. a. Bion ad dicentes, pulchritudini tyrannidem inesse, *Papae*, inquit, *bella tyrannis, quae coma cadente solvitur.* [*Stob. Serm. LXIV. de pulchritudine.*]

14. b. Bion sophista formosorum crines Harmodios vocavit atque Aristogitones, quod iis enatis pulchra tyrannide amatores sese abdicare cogantur.

15. Reprehensus, quod adolescentem quendam non sibi vendicasset, *Nempe*, inquit, *mollem caseum hamo attrahere non licet.*

16. Quisnam mortalium anxietate maxima perturbaretur, interrogatus, *Ille*, respondit, *qui se maxime felicem esse cupit atque beatum.*

17. Rogatus, an ducenda esset uxor, dixit: *Si quidem turpem duxeris, poenam habebis: sin autem formosam, communis erit.*

18. Senectutem malorum omnium portum dixit, ad quem cuncta ea confugerent: gloriam annorum esse matrem, pulchritudinem alienum bonum, divitias nervos rerum.

19. Ad eum, qui agros suos dilapidaverat, *Terra*, dixit, *Amphiaraum, tu terram absorbuisti.*

20. Magnum malum ferre non posse malum.

21. *Κατεγίνωσκε τῶν τοὺς ἀνθρώπους κατακαιόντων μὲν ὡς ἀναισθήτους, παρακαιόντων δὲ ὡς αἰσθανομένοις.* [*Ibid.*]

22. *Ἔλεγε συνεχὲς, ὅτι αἱρετώτερόν ἐστι τὴν ὥραν ἄλλῳ χαρίζεσθαι, ἢ ἀλλοτρίας ἀποδρέπεσθαι, καὶ γὰρ εἰς σῶμα βλάπτεσθαι καὶ εἰς ψυχήν.* [§. 49.]

23. *Εὔκολον ἔφασκεν τὴν εἰς ᾅδου ὁδόν· καταμύοντας γοῦν ἀπιέναι.* [*Ibid.*]

24. *Ἐν Ῥόδῳ τὰ ῥητορικὰ διασκούντων Ἀθηναίων, τὰ φιλοσοφούμενα ἐδίδασκε. Πρὸς οὖν τὸν αἰτιασάμενον ἔφη· Πυροὺς ἐκόμισα καὶ κριθὰς πωλῶ;* [*Ibid.*]

25. *Ἔλεγε τοὺς ἐν ᾅδου μᾶλλον ἂν κολάζεσθαι, εἰ ὁλοκλήροις καὶ μὴ τετρημένοις ἀγγείοις ὑδροφόρουν.* [§. 50.]

26. *Πρὸς τὸν ἀδολέσχην, λιπαροῦντα συλλαβέσθαι αὐτῷ, Τὸ ἱκανόν σοι ποιήσω, φησὶν, εἰ παρακλήτους πέμψῃς, καὶ αὐτὸς μὴ ἔλθῃς.* [*Ibid.*]

27. *Πλέων μετὰ πονηρῶν, λῃσταῖς περιέπεσε· τῶν δὲ, Ἀπολώλαμεν, εἰπόντων, ἐὰν γνωσθῶμεν, Ἐγὼ δὲ, φησὶν, ἐὰν μὴ γνωσθῶμεν.* [*Ibid.*]

28. *Τὴν οἴησιν ἔλεγε προκοπῆς ἐγκοπήν.* [*Ibid.*]

29. *Πρὸς πλούσιον μικρολόγον, Οὐχ οὗτος, ἔφη, τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον.* [*Ib.*]

30. *Ἔλεγε, τοὺς μικρολόγους τῶν μὲν ὑπαρχόντων ὡς ἰδίων ἐπιμελεῖσθαι, ὡς δὲ ἐξ ἀλλοτρίων μηδὲν ὠφελεῖσθαι.* [*Ibid.*]

31. *Τῇ μὲν ἀνδρείᾳ νέους ὄντας ἔφη χρῆσθαι, τῇ δὲ φρονήσει γηράσκοντας ἀκμάζειν.*

32. *Τοσοῦτον (ἔλεγε) διαφέρειν φρόνησιν τῶν ἄλλων ἀρετῶν, ὅσον τὴν ὅρασιν τῶν ἄλλων αἰσθήσεων.* [§. 51.]

33. *Μὴ δεῖν ἔφασκεν ὀνειδίζειν τὸ γῆρας, εἰς ὃ, ἔφη, πάντες εὐχόμεθα ἐλθεῖν.* [*Ibid.*]

21. Reprehendebat eos, qui homines (vita functos) tanquam sensu carentes cremarent, juxta tamen cum eis, tanquam sensu gaudentibus, *alia* igni traderent.

22. Dicebat jugiter, optabilius esse suae aetatis florem alteri indulgere, quam alienum decerpere: id enim qui faciat, eum et corpus inquinare et animum.

23. Facilem esse dicebat ad inferos viam, clausis enim oculis illuc perveniri.

24. Cum Rhodi eloquentiam exercerent Athenienses, philosophiam doceret ipse, atque reprehensionem propterea incurrisset: *Frumentum*, respondit, *qui attulerim, hordeumne vendam?*

25. Dicebat, eos, qui apud inferos sint, majores cruciatus habituros, si integris, quam si perforatis vasis aquam ferant.

26. Rogante eum loquaculo quodam, ut opem sibi in certo negotio ferret, *Faciam*, respondit, *quod petis, si per internuntios meum agere, nunquam ipse venire volueris.*

27. Cum pessimis hominibus navigans in piratas incidit. Dicentibus illis, *Peribimus, si agnoscamur*, *At ego*, inquit, *nisi agnoscamur.*

28. Animi elationem profectus in virtute esse ajebat impedimentum.

29. De divite quodam sordido, non eum nummos habere, sed ab iis haberi, ajebat.

30. Sordidos et avaros opum quidem, quasi suae essent, anxie curam ajebat gerere, utilitatis vero perinde, ac si alienae essent, inde capere nihil.

31. *Fortitudine*, inquit, *cum sumus juvenes, utimur: at cum senescere incipimus, prudentia valemus.*

32. Tantum ajebat caeteras virtutes prudentia, quantum reliquos sensus visu superari.

33. Senectutem exprobrari vetabat, ad eam enim omnes ut perveniant expetere.

34. *Πρὸς τὸν βάσκανον ἐσκυθρωπακότα, Οὐκ οἶδα, ἔφη, πότερόν σοι κακὸν γέγονεν, ἢ ἄλλῳ ἀγαθόν.* [*Ibid.*]

35. *Τὴν δυσγένειαν πονηρὸν ἔλεγεν εἶναι σύνοικον τῇ παῤῥησίᾳ·*

Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύστομός τις ᾖ. [*Ibid.*]

36. *Τοὺς φίλους, ὁποῖοι ἂν ὦσι, συντηρεῖν* (*ἐνουθέτει*), *ἵνα μὴ δοκοίημεν πονηροῖς κεχρῆσθαι, ἢ χρηστοὺς παρῃτῆσθαι.* [*Ibid.*]

37. *Ἐρωτηθεὶς, εἰ θεοί εἰσιν, εἶπεν·*

Οὐκ ἀπ' ἐμοῦ σκεδάσεις ὄχλον, ταλαπείριε πρέσβυ; [*Laert. II.* §. 117.]

38. *Βίων τοὺς τὰ ὦτα τοῖς κολακεύουσι παραδιδόντας ἀπείκαζε τοῖς ἀμφορεῦσιν ὑπὸ τῶν ὤτων ῥᾳδίως μεταφερομένοις.* [*Plutarch. de vitioso pudore Opp. Tom. II. p.* 536.]

39. *Βίων τὸν θεὸν κολάζοντα τοὺς παῖδας τῶν πονηρῶν γελοιότερον εἶναί φησιν ἰατροῦ διὰ νόσον πάππου καὶ πατρὸς ἔκγονον ἢ παῖδα φαρμακεύοντος.* [*Idem de sera Num. vindicta pag.* 72. *ed. Wyttenb.*]

40. *Τῷ Βίωνι δοκεῖ μὴ δυνατὸν εἶναι τοῖς πολλοῖς ἀρέσκειν, εἰ μὴ πλακοῦντα γενόμενον ἢ Θάσιον.* [*Dio Chrysostom. Orat. LXVI. de gloria p.* 612.]

41. *Δοκεῖ μοι χαριέντως φάναι τὸν Βίωνα· Πῶς ἂν ἐνδίκως οἱ ἄνθρωποι παρὰ τοῦ Διὸς αἰτήσωνται τὴν εὐτεκνίαν, ἣν οὐδ' αὐτῷ παρασχεῖν ἴσχυσεν;* [*Clem. Alex. Admonit. ad Gent. p.* 37. *ed. Sylb.*]

42. *Τί δὲ καὶ θαυμαστὸν, εἰ ὁ μῦς, φησὶν ὁ Βίων, τὸν θύλακον διέτραγεν, οὐχ εὑρὼν ὅ, τι φάγῃ; τοῦτο γὰρ ἦν θαυμαστὸν, εἰ τὸν μῦν ὁ θύλακος κατέφαγεν.* [*Idem Strom. Lib. VII. p.* 712.]

42. a. *Εἰ λάβοι, φησὶν ὁ Βίων, φωνὴν τὰ πράγματα, ὃν τρόπον καὶ ἡμεῖς, καὶ δύναιτο δικαιολογεῖσθαι, οὐκ ἂν εἴποι ἡ πενία, Ἄνθρωπε, τί μοι μάχῃ;* [*Τέλης παρὰ Στοβ. λόγ. ε. περὶ σωφροσύνης.*]

34. Invido subtristi, *Nescio*, inquit, *utrum tibi malum, an alteri bonum contigerit.*

35. Generis ignobilitatem pessimum ajebat fiduciae socium. Nam

Humilem facit, lingua ferociat licet.

36. Amicos, qualescunque sint, ajebat oportere servari, ne videamur vel malis usi, vel divitasse bonos.

37. Interrogatus, an dii sint, dixit:

Tune, senex, turbam a nobis propellere curas?

38. Bion eos, qui adulatoribus aures facile praeberent, amphorarum ajebat esse similes, quae auribus apprehensae facile circumferuntur.

39. Bion deum, qui malorum liberis supplicia inferret, magis ajebat ridiculum esse medico, qui filio aut nepoti ob morbum patris vel avi medicinam adhiberet.

40. Bion putabat, non possibile esse placere vulgo, nisi quis placenta fieret, aut vinum Thasium.

41. Bion mihi videtur facete dixisse: *Quomodo homines prolem felicem jure petierint a Jove, quam ipse sibi praebere non potuit?*

42. *Quid mirum,* inquit Bion, *si mus calathum arroserit, cum non inveniret, quod comederet? At contra hoc fuisset mirum, si murem calathus comedisset.*

42. a. Bion ait: *Si rebus oratio daretur, velut nobis, possentque jure nobiscum contendere, nonne paupertas dictura esset, Quid mecum, homo, pugnas?* [*Teles apud Stob. Serm. V. de temperantia.*]

43. Hinc ille Agamemno Homericus et idem Attianus,

Scindens dolore identidem intonsam comam,

in quo facetum illud Bionis, *perinde stultissimum regem in luctu capillum sibi evellere, quasi calvitio moeror levaretur.* [*Cic. Tusc. III,* 26.]

44. Bion eleganter ait, non minus molestum esse calvis quam comatis pilos velli. [*Seneca de tranquill. anim. Cap. VIII.*]

45. Bion dixit, omnia hominum negotia similia initiis esse, nec vitam illorum magis sanctam et severam esse, quam conceptus inchoatis. [*Idem ibid. Cap. XV.*]

46. *Εὐφυὴς ἦν καὶ τὸ παρῳδῆσαι· οἷά ἐστιν αὐτοῦ καὶ ταῦτα·*

Ὦ πέπον Ἀρχύτα, ψαλληγενὲς, ὀλβιότυφε,
Τῆς ὑπάτης ἔριδος πάντων ἐμπειρόταί' ἀνδρῶν.

Erat autem et parodiis ingenium ejus praecipue accommodatum. Ejus sunt illa:

O tener Archyta, psalta, beatule fastu,
Litibus et cantu superas dicacibus omnes.

[*Diog. Laert. IV,* 52.]

SENTENTIAE, APOPHTHEGMATA

ET

EXEMPLA HISTORICA

EX

ARISTONYMI SCRIPTIS, ARISTOTELIS ET DIONIS CHRIIS, SERINI (SIVE SERENI) SCRIPTIS ET ALIIS EXCERPTA

A

IOANNE STOBAEO.

ΕΚ ΤΩΝ ΑΡΙΣΤΩΝΥΜΟΥ.

(Similitudines ex Aristonymi hujus Tomariis reliquisque scriptis a Stobaeo excerptas dedimus inter Similitudines Socratis et Socraticorum in horum Opusculorum Tomo I. pag. 14—24. Hic paucas quasdam sententias cum Apophthegmatibus sive exemplis historicis ex eodem Aristonymo per Stobaeum excerptis addere liceat.)

Ἐκ τῶν Τομαρίων.

1. Ἀριστοτέλης φησὶν, ὅτι ὀκτώ τινες κοινῇ λῃστεύοντες ἐστιάσασαν πρὸς ἀλλήλους περὶ τῶν σκύλων, καὶ τέσσαρες αὐτῶν κατελείφθησαν. Πάλιν οὗτοι πρὸς ἀλλήλους διηνέχθησαν, καὶ δύο κατελείφθησαν, εἶτα εἷς. Καὶ τί ὑπόλοιπον, εἰ στασιάσει τὰ δεξιὰ πρὸς τὰ εὐώνυμα; [Λόγ. ι. περὶ ἀδικίας.]

2. Τοῦ Πύῤῥου ὀνειροπολοῦντος αὐτῷ Σικελίαν καὶ μετὰ ταῦτα Καρχηδόνα καὶ πολλὴν γῆν, ὁ Γύγων αὐτῷ Καινέας ἔφη· Εἶτα μετὰ τοῦτο τί; τοῦ δὲ εἰπόντος, ὅτι ζησόμεθα λοιπὸν, ὁ δὲ ἔφη· Τί οὖν κωλύει ἀπὸ τοῦ νῦν ζῆν, πρὶν πολλὰς πόλεις ἀπολέσαι; [Ἐν τῷ αὐτῷ.]

3. Ἡράκλειτος νέος ὢν πάντων γέγονε σοφώτερος, ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδότα. [Λόγ. κά. περὶ τοῦ γνῶθι σαυτόν.]

4. Οὐχ ἡ λύπη μέγιστον κακὸν ἀκολουθεῖ τῷ φθόνῳ, ἀλλὰ πολὺ μεῖζον, τὸ καὶ πρὸς τοὺς γνωρίμους γίνεσθαι· τῷ γὰρ αἰσχρῷ καὶ φαύλῳ ὑπεροχὴν δοτέον, οὐ τῇ λύπῃ. [Λόγ. λή. περὶ φθόνου.]

Ἐκ τῶν ὁμοίων.

5. Φήσαντός τινος, Λίαν με ἐπισκώπτεις, ἔφη· Καὶ

EXCERPTA
EX ARISTONYMI SCRIPTIS.
Ex Tomariis.

1. Tradit Aristoteles, octo latrones socios de spoliis inter se ad necem certasse, et quatuor eorum superstites fuisse (reliquis interfectis). Deinde caeteri quatuor rursus inter se contenderunt, et reliqui facti sunt duo: tandem unus solum superstes mansit. Quodsi dextra quoque cum sinistris pugnabunt, quidnam residui futurum est? [*Serm. X. de injustitia.*]

2. Cum Pyrrhus sibi somniaret Siciliam, deinde Carthaginem et amplam terram (a se occupandam), Gygon Caeneas ad ipsum dixit: *Quid vero deinde fiet?* Respondit Pyrrhus: *Vivemus postea.* Tum Gygon, *Quid igitur nos prohibet,* inquit, *quin statim ab hoc tempore in praesentia vita fruamur, antequam multas urbes perdiderimus?* [*Ibid.*]

5. Heraclitus adhuc juvenis omnium erat sapientissimus, se ipsum enim nihil nosse cognoscebat. [*Serm. XXI. de cognitione sui ipsius.*]

4. Tristitia non maximum est malum, quod invidiam sequitur, sed aliud multo majus, nempe quod in familiares etiam extenditur affectus invidiae. Quod cum turpe sit ac improbum, merito majus habetur malum, quam tristitia. [*Serm. XXXVIII. de invidia.*]

Ex Similibus.

5. Dicente quodam, plus satis ab illo illudi sibi, *At*

γὰρ τοῖς σπληνικοῖς τὰ μὲν δριμέα καὶ πικρὰ ὠφέλιμα, τὰ δὲ γλυκέα βλαβερά. [Λόγ. ιδ. περὶ παῤῥησίας.]

ΕΚ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΧΡΕΙΩΝ.

1. Γέλων ὁ Σικελίας τύραννος σαπρόστομος ἦν· ὡς οὖν τῶν φίλων εἰπέν τις αὐτῷ, ὠργίζετο τῇ γυναικὶ, ὅτι οὐκ ἐμήνυσεν αὐτῷ. Ἡ δὲ ἔφη· Ὤιμην γὰρ καὶ τῶν λοιπῶν ὁμοίως ὄζειν τὸ στόμα. [Λόγ. ε. περὶ σωφροσύνης.]

2. Ἀνάξαρχος ὁ φυσικὸς, εἰπόντος αὐτῷ Ἀλεξάνδρου, ὅτι κρεμῶ σε, Ἀπείλει τούτοις (ἔφη) τοῖς πολλοῖς, ἐμοὶ δὲ οὐδὲν διαφέρει ὑπὲρ γῆς ἢ κατὰ γῆς σήπεσθαι.

3. Γοργόνη Λακεδαιμονία, Λεωνίδου γυνὴ, τοῦ υἱοῦ αὐτῆς ἐπὶ στρατείαν πορευομένου, τὴν ἀσπίδα ἐπιδιδοῦσα εἶπεν· Ἢ ταύταν, ἢ ἐπὶ ταύταν. [Λόγ. ζ. περὶ ἀνδρείας.]

4. Τάσσος Ἑρμιονεὺς ἐρωτηθεὶς, τί εἴη σοφώτατον, πεῖραν ἔφη.

5. Δημοσθένης ἐρωτηθεὶς, Πῶς τῆς ῥητορικῆς περιεγένου; Πλέον, ἔφη, ἔλαιον οἴνου δαπανήσας.

6. Δημάδης ἐρωτηθεὶς, τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, Τὸ τῶν Ἀθηναίων, ἔφη, βῆμα· ἐμφαίνων, ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν. [Λόγ. κθ. περὶ φιλοπονίας καὶ μελέτης.]

7. Ζήνων ὁ Στωϊκὸς φιλόσοφος, ὁρῶν τινα τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον, εἶπεν· Ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, οὗτός σε ἀπολέσει. [Λόγ. νε. περὶ γεωργίας εἰς τὸ ἐναντίον.]

8. Ἀνακρέων ὁ μελοποιὸς, λαβὼν τάλαντον χρυσίου παρὰ Πολυκράτους τοῦ τυράννου, ἀπέδωκεν, εἰπών· Μισῶ δωρεὰν, ἥτις ἂν ἀναγκάζῃ ἀγρυπνεῖν. [Λόγ. ἐννενηκοστὸς ά. ψόγος πλούτου.]

9. Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητὴς, ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑώρακε μόλις πορευόμενον καὶ ἠρώτα, Τί

etiam lienosis, inquit, *acria et amara salubria, dulcia vero noxia sunt.* [*Serm. XIII. de fiducia dicendi.*]

EX ARISTOTELIS CHRIIS.

1. Geloni Siciliae tyranno os foetidum erat. Quod cum ei amicorum quidam dixisset, irascebatur uxori, quod nunquam indicasset ei. Illa vero dixit: *Atqui virorum omnium os similiter olere putabam.* [*Serm. V. de temperantia.*]

2. Anaxarchus Physicus, dicente ei Alexandro, Suspendam te, *Minare his*, inquit, *e vulgo: mea autem nihil interest, supra terramne an infra terram computrescam.*

3. Gorgone Lacedaemonia, Leonidae uxor, filio in militiam proficiscenti scutum dans inquit: *Aut hoc aut super hoc* [2. *et* 3. *Serm. VII. de fortitudine.*]

4. Tassus Hermioneus interrogatus, quid esset omnium sapientissimum, *experientiam* dixit.

5. Demosthenes interrogatus, quo pacto sibi oratoriam facultatem comparasset, *Plus olei*, dixit, *quam vini consumendo.*

6. Demades rogatus, quo praeceptore fuisset usus, *Tribunali*, respondit, *Atheniensium*, insinuans, quod in ipsis negotiis experientia quavis institutione sophistarum melior sit. [4—6. *Serm. XXIX. de assiduitate et diligentia.*]

7. Zeno Stoicus philosophus, cum videret familiarium quendam curis et negotiis agri nimis intentum, dixit: *Nisi tu agrum perdideris, ipse te perdet.* [*Serm. LV. vituperium agriculturae.*]

8. Anacreon Lyricus, cum auri talentum a Polycrate tyranno accepisset, reddidit illi inquiens: *Odi munus, quodcunque vigilare cogit.* [*Serm. XCI. vituperium divitiarum.*]

9. Alexis poeta Comicus, cum quidam ipsum senem aegre incedentem intuitus, quid ageret, interrogasset,

ποιεῖς; ἔφη, Κατὰ σχολὴν ἀποθνήσκω. [Λόγ. ϱιέ. ψόγος γήϱως.]

ΕΚ ΤΩΝ ΔΙΩΝΟΣ ΧΡΕΙΩΝ.

1. Λάκαινα γυνὴ, τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλωθέντος, καὶ δυσφοροῦντος ἐπὶ τούτῳ, Μὴ λυποῦ, τέκνον, εἶπεν, καθ' ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ. [Λόγ. ζ. περὶ ἀνδρείας.]

2. Τῶν συνόντων τις μειρακίων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ, ἐσιώπα. Ὁ δὲ ἔφη· Οὐκ οἴῃ, τοῦ αὐτοῦ εἶναι εἰδέναι τε ἃ λεκτέον, καὶ πότε, καὶ τίνα σιωπητέον, καὶ πρὸς τίνας; [Λόγ. λδ'. περὶ τοῦ εὐκαίρως λέγειν.]

3. Κλεόστρατος πρὸς τὸν εἰπόντα, Οὐκ αἰσχύνῃ μεθύων; Σὺ δὲ οὐκ αἰσχύνῃ, ἔφη, μεθύοντα νουθετεῖν; [ἐν τῷ αὐτῷ.]

4. Ὁπόσους ᾖ τις κεκτημένος ἑταίρους, τοσούτοις μὲν ὀφθαλμοῖς ἃ βούλεται ὁρᾷ, τοσαύταις δὲ ἀκοαῖς ἃ δεῖ ἀκούει, τοσαύταις δὲ διανοίαις διανοεῖται περὶ τῶν συμφερόντων. Διαφέρει γὰρ οὐδὲν, ἢ εἴ τῳ θεὸς ἓν σῶμα ἔχοντι πολλὰς ψυχὰς ἔδωκεν, ἁπάσας ὑπὲρ ἐκείνου προνοουμένας. [Ἀντων. λόγ. σγ'. περὶ φίλων.]

ΕΚ ΤΩΝ ΣΕΡΙΝΟΥ.

(Ἐκ τῶν ἀπομνημονευμάτων.)

1. Θεόδωρος ὁ Κυρηναϊκὸς, Λυσιμάχου τοῦ βασιλέως ἀπειλήσαντος αὐτὸν ἀναιρήσειν, Ἐλελήθεις με, εἶπεν, οὐ βασιλέως ἀλλὰ κωνείου δύναμιν ἔχων. [Λόγ. ά. περὶ ἀρετῆς.]

2. Ἡ Φωκίωνος γυνὴ πρὸς τὴν ἐπιδεικνυμένην αὐτῇ τὸν κόσμον χρυσοῦν ὄντα καὶ διάλιθον, Ἐμοὶ δὲ, ἔφη, κόσμος ὑπέρλαμπρός ἐστι Φωκίων, πένης ὢν καὶ εἰκοστὸν ἤδη τοῦτο ἔτος Ἀθηναίων στρατηγῶν. [Λόγ. έ. περὶ σωφροσύνης.]

paulatim se per otium mori respondit. [*Serm. CXV. vituperium senectutis.*]

EX DIONIS CHRIIS.

1. Lacaena mulier, filio in acie claudo facto, et id moleste ferenti, *Non*, inquit, *o fili, doleas: in quovis enim gressu propriae virtutis recordaberis.* [*Serm. VII. de fortitudine.*]

2. Adolescens quidam ex illis, qui cum Diogene versabantur, interrogatus ab ipso tacebat. Tum Diogenes, *Non putas*, inquit, *ejusdem esse, quae dicenda sint, scire, et quando, et quae tacenda sint, et apud quem?* [*Serm. XXXIV. de tempestiva oratione.*]

3. Cleostratus ei, qui dixerat, *Non te pudet ebrietatis?* respondit: *Te vero non pudet ebrium admonere?* [*Ibid.*]

4. Quot amicos pararis, tot oculos habes, quibus quae velis videas, tot aures, quibus quae decet audias, tot consilia, quibus de iis, quae conducunt, consultare et prospicere possis. Non enim aliter se habet plurium amicitia, quam si cui deus unum corpus habenti multas daret animas, quae omnes illi providerent et consulerent. [*Anton. Serm. de amicis.*]

EX SERINI (VEL POTIUS SERENI) SCRIPTIS.

1. Theodorus ille Cyrenaicus, Lysimacho tyranno minitante ei necem, *Ignorabam*, inquit, *te non regis, sed cicutae vim habere.* [*Serm. I. de virtute.*]

2. Phocionis uxor mulieri aureum mundum suum et gemmis refertum ostentanti dixit: *At satis splendidum mihi Phocion meus, pauper quidem, sed vicesimo jam anno Atheniensium dux.* [*Serm. V. de temperantia.*]

3. Εὐριπίδης εὐδοκίμησεν ἐν θεάτρῳ εἰπών·

Τί δ' αἰσχρὸν, ἂν μὴ τοῖσι χρωμένοις δοκῇ;

καὶ Πλάτων ἐντυχὼν αὐτῷ, Ὦ Εὐριπίδη, ἔφη,

Αἰσχρὸν τό γ' αἰσχρὸν, κἂν δοκῇ, κἂν μὴ δοκῇ. [Ἐν τῷ αὐτῷ.]

4. Περὶ Εὐριπίδου τις ἔλεγεν, ὅτι μισογύνης εἴη· καὶ ὁ Σοφοκλῆς, Ἀλλ' οὐκ ἔν γε τῇ κλίνῃ, ἔφη. [Λόγ. ς. περὶ ἀκολασίας.]

5. Κλεάνθης ἔλεγεν, εἰ τέλος ἐστὶν ἡδονὴ, πρὸς κακοῦ τοῖς ἀνθρώποις τὴν φρόνησιν δίδοσθαι. [Ἐν τῷ αὐτῷ.]

6. Χαλεπὸν ἔλεγεν εἶναι ὁ Πλάτων εὑρεῖν, τοῖς μὲν ἀκολάστοις ἀγαθὴν ἡδονὴν, τοῖς δὲ νοσοῦσιν ὑγιεινήν. [Ἐν τῷ αὐτῷ.]

7. Ἀλέξανδρον τὸν Φεραίων τύραννον Θήβη ἀπέκτεινε γυνὴ, καὶ τοὺς Φεραίους ἠλευθέρωσεν. Συνέβη καὶ θεωροὺς ἥκοντας αὐτῶν παραγράμματα λέγειν αὐτοῖς, κελεύειν τὸν Ἄμμωνα Ἥβης ἱερὸν ἱδρύσασθαι· τῶν δὴ πρεσβυτέρων τὶς παρακοῦσαι ἔφη τοὺς θεωροὺς, τὸν γὰρ Ἄμμωνα Θήβης εἰπεῖν, τῆς αὐτοὺς ἐξελομένης τῆς δουλείας. [Λόγ. ζ. περὶ ἀνδρείας.]

8. Ἀντιπάτρῳ ἀγροῖκος ἄνθρωπος ἐπεδίδου βιβλίον ἐντυχίαν ἔχον. Ὁ δὲ, Οὐ σχολάζω, ἔφη· Καὶ μὴ βασίλευε (εἶπεν ἐκεῖνος), εἰ μὴ σχολὴν ἄγεις. [Λόγ. ιγ. περὶ παῤῥησίας.]

9. Πρεσβῦτις δικαζομένη ἐπὶ Φιλίππου, ὡς νυστάζοντα ἐπὶ τὰ μέλλοντα ἀποφαίνεσθαι, ἐδεῖτο συγχωρῆσαι αὐτῇ ἐφεῖναι. Ὁ δὲ, Ἐπὶ τίνα; εἶπεν. Ἐπὶ Φίλιππον, ἀπεκρίνατο, ἐγρηγορότα. [Ἐν τῷ αὐτῷ.]

10. Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον, Ἄθλιε, εἶπε, τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῇγες; [Ἐν τῷ αὐτῷ.]

11. Πλάτων μὲν ἥδιστον τῶν ἀκουσμάτων τὴν ἀλήθειαν ἔλεγε. Πολέμων δὲ, πολὺ ἥδιον εἶναι τοῦ ἀκούειν τὸ λέγειν τἀληθῆ. [Λόγ. ιά. περὶ ἀληθείας.]

3. Celebratus est Euripides, quod in theatro dixerit: *Quidnam est turpe, nisi quod utentibus ita videtur?* Plato autem occurrens ei, *O Euripides*, inquit, *est turpe semper turpe, sive videatur, sive non.* [*Ibid.*]

4. De Euripide quidam dicebat, quod osor mulierum esset. Et Sophocles infert: *At non in lecto.* [*Serm. VI. de intemperantia.*]

5. Cleanthes dicebat, si finis sit voluptas, in malum hominibus prudentiam conferri. [*Ibid.*]

6. Plato dicebat, difficile esse invenire intemperantibus quidem bonam voluptatem, aegrotantibus autem salubrem. [*Ibid.*]

7. Alexandrum Pheraeorum tyrannum Thebe mulier jugulavit, itaque Pheraeos asseruit in libertatem. Accidit autem, ut illi, qui oraculum consuluerant, reversi, voce perperam enuntiata, dicerent eis: Ammonem jubere, ut Hebes (non *Thebes*) fanum exstruant. Seniorum autem quispiam obaudisse inquit eos: Ammonem enim Thebes jussisse aedem exstrui, quae ipsos vendicaverit e servitute. [*Serm. VII. de fortitudine.*]

8. Antipater cuidam rustico libellum supplicem ipsi offerenti, non otium sibi esse, dixit. Cui ille: *Ne regnato quidem igitur, si non frueris otio.* [*Serm. XIII. de fiducia.*]

9. Cum anus quaedam, praesidente Philippo, causam diceret, eumque ad ea, quae proponenda erant, somniculosum videret, rogabat, ut sibi liceret provocare. Et cum ille interrogaret: *Ad quemnam? Ad Philippum*, respondit, *vigilantem.* [*Ibid.*]

10. Democrates cum furem ab undecimviris abduci videret: *Vah, miser*, dixit, *cur tantula furatus es, et non potius magna, ut tute etiam abduxisses alios?* [*Ibid.*]

11. Plato suavissimam auditionem veritatem esse dicebat: Polemon vero multo suavius esse vera dicere quam audire. [*Serm. XI. de veritate.*]

12. Ἡ *Λάκαινα πωλουμένη πρὸς τὸν ἐρόμενον, τί ἐπίσταται*, Ἐλευθέρα, ἔφη, εἶναι. [*Λόγ.* ιγ΄. περὶ παῤῥησίας.]

13. *Συβαρίτης ἐπιδημήσας Λακεδαίμονι, καὶ τὰ ἔθη ἰδὼν καὶ τὰς καρτερήσεις, οἷς ἐκ παίδων ἀνατρέφονται, οὐδὲν ἔφη θαυμαστὸν αὐτοὺς ποιεῖν ῥᾳδίως ἐν πολέμοις ἀποθνήσκοντας ὑπὲρ τοῦ μὴ οὕτω ζῆν.* [*Λόγ.* κθ΄. περὶ φιλοπονίας.]

14. *Οἱ Λάκωνες οἱ ἐπὶ τὸ ὑποσχεῖν δίκας ὑπὲρ τῶν κηρύκων ὡς τὸν Πέρσην ἐλθόντες ἀφείθησάν τε καὶ διὰ τὴν ἀρετὴν ἠξίου αὐτοὺς παρ' αὐτῷ μένειν.* Καὶ πῶς, ἔφασαν, ἂν δυναίμεθα ταύτην τὴν πατρίδα καταλιπεῖν, ὑπὲρ ἧς τοσαύτην ὁδὸν ἤλθομεν ἀποθανούμενοι; [*Λόγ.* λθ΄. περὶ πατρίδος.]

15. *Ἀριστείδης ἐρωτώμενος, τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει*, Τὸ τῆς πατρίδος ὄνειδος, ἔφη, κακῶς ἀκουούσης ἐπὶ τῇ αὐτοῦ φυγῇ. [Ἐν τῷ αὐτῷ.]

16. *Σερίφιος ὀνειδιζόμενος ὑπὸ Ἀθηναίου τῇ μικροπολιτείᾳ*, Ἐμοὶ μὲν, ἔφη, ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι. [Ἐν τῷ αὐτῷ.]

17. Ἡ *γυνὴ τῷ Ἀριστείδῃ περὶ τὰ πολιτικὰ διατρίβοντι*, Εἴθε, ἔφη, τὰ μὲν ἴδια κοινὰ ἐνόμισας, τὰ δὲ κοινὰ ἴδια. [Ἐν τῷ αὐτῷ.]

18. *Οἱ Περσῶν βασιλεῖς πρὸ μὲν τῶν θυσιῶν περὶ εὐσεβείας διαλέγονται, πρὸ δὲ τοῦ πίνειν περὶ σωφροσύνης, πολεμεῖν δὲ μέλλοντες περὶ ἀνδρείας.* [*Λόγ.* μβ΄. περὶ νόμων καὶ ἐθῶν.]

19. *Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέντε ἡμερῶν, ἵν' αἴσθοιντο, ὅσου ἄξιός ἐστιν βασιλεὺς καὶ ὁ νόμος.* [Ἐν τῷ αὐτῷ.]

20. *Ὅτε Κροῖσος ἦρχε Λυδῶν, τὸν ἀδελφὸν μεθ' αὐτοῦ κατέστησεν ἄρχοντα. Προσελθὼν δέ τις τῶν Λυδῶν*, Ὦ βασιλεῦ, εἶπε, πάντων ἐπὶ γῆς καλῶν ὁ ἥλιος τοῖς ἀνθρώποις αἴτιός ἐστι, καὶ οὐδὲν ἂν εἴη τῶν ἐπὶ γῆς, μὴ τοῦ ἡλίου ἐπιλάμποντος. ἀλλ' εἰ δέ-

12. Mulier quaedam Lacaena venalis ad interrogantem, quidnam calleret, *Libera esse*, respondit. [*Serm. XIII. de fiducia dicendi.*]

13. Sybarita quidam cum peregrinatus in Lacedaemonem venisset, moribus eorum perspectis et patientia, qua statim a pueris educantur, nihil ipsos mirum dixit praestare, quod facile mortem obeant in bello, ne ita vivere cogantur. [*Serm. XXIX. de assiduitate.*]

14. Lacones, qui ad regem Persarum venerant, ut poenas darent propter legatos, dimissi sunt, et insuper virtutis suae gratia a rege rogati, ut secum manerent. *At quomodo*, dixerunt, *hujusmodi patriam relinquere possemus, cujus gratia tantum itineris morituri confecimus?* [*Serm. XXXIX. de patria.*]

15. Aristides interrogatus, qua de re in exilio maxime tristatus fuisset, respondit: propter dedecus patriae male audientis sui causa exilii. [*Ibid.*]

16. Seriphius quidam, cum ei civitatis suae parvitas ab Atheniense quodam objiceretur, *Mihi quidem*, dixit, *patria dedecus est, tu vero patriae.* [*Ibid.*]

17. Aristidis uxor administranti rempublicam ei dixit: *Utinam privatas quidem res putares esse publicas, et contra publicas privatas.* [*Ibid.*]

18. Persarum reges ante sacrificia de pietate disserunt; antequam bibant, de temperantia; pugnaturi vero de fortitudine. [*Serm. XLII. de legibus et consuetudinibus.*]

19. Persis lex erat, ut a morte regis legum et juris intermissio per quinque dies fieret, nimirum ut intelligerent subditi, in quanto pretio regem ac legem haberi deceat. [*Ibid.*]

20. Cum Lydis Croesus imperaret, fratrem in consortium imperii assumpsit. Tum quidam ex Lydis accedens dixit: *Omnium in terra bonorum, o rex, auctor est sol, neque quidquam exstaret in terra, sole non illustrante. At si gemini soles forent, periculum im-*

λουσι δύο ἥλιοι γενέσθαι, κίνδυνος πάντα συμφλεχθέντα διαφθαρῆναι. οὕτως ἕνα μὲν βασιλεύοντα δέχονται Λυδοὶ καὶ σωτῆρα πιστεύουσιν εἶναι· δύο δὲ ἅμα οὐκ ἂν ἀνάσχοιντο. [Λόγ. μέ. ὅτι κάλλιστον ἡ μοναρχία.]

21. Γελλίας ὁ Ἀκραγαντῖνος ἐπιξενωθεὶς ἀνδρὶ σκληρῷ καὶ ἀπὸ παντὸς πορίζοντι, ὃς οὐδὲ καθεύδειν τοῖς οἰκέταις ἐπέτρεπεν, ἀλλ' ἄλλος ἄλλό τι τὴν νύκτα εἰργάζετο, ὑποδεξάμενος καὶ αὐτὸν τοῦτον εἰς Ἀκράγαντα ἀφικόμενον, μετὰ δεῖπνον συνεκάλει τὰ παιδία τῶν οἰκετῶν, τὰ δὲ ἦν πάμπολλα, καὶ τοῖς μὲν ἐδίδου κάρυα, τοῖς δὲ σῦκα ξηρά. Ἐρομένου δ' ἐκείνου, Πόθεν παιδία τοσαῦτα; Ταῦτα, ἔφη, οἵ ἐμοὶ οἰκέται ἐν νυξὶ ποιοῦσι. [Λόγ. ξ΄. περὶ δεσποτῶν καὶ δούλων.]

22. Ἡ Λάκαινα πρός τινα Ἰωνικὴν δεῖξασαν αὐτῇ τὸν κόσμον, ἀντεπέδειξε τὰ τέκνα, εἰποῦσα· Ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος. [Λόγ. ογ΄. ὅτι καλὸν τὸ ἔχειν παῖδας.]

23. Θαλῆν εἰς τὸν οὐρανὸν ὁρῶντα, καὶ ἐμπεσόντα εἰς τὸ βάραθρον, ἡ θεράπαινα Θρᾷττα οὖσα δίκαια παθεῖν ἔφη· ὃς τὰ παρὰ ποσὶν ἀγνοῶν τὰ ἐν οὐρανῷ ἐσκόπει. [Λόγ. οή. περὶ θεῶν καὶ τῆς περὶ τὸν οὐρανὸν καὶ κόσμον φυσιολογίας.]

24. Κλεάνθης ἐρωτώμενος, διὰ τί παρὰ τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων, ὅμως πλείους διέλαμψαν ἢ νῦν, Ὅτι, εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος. [Λόγ. π΄. εἰς τὸ ἐναντίον περὶ γραμμάτων.]

25. (Ἀρκεσίλαος ἔφη) Διαλεκτικὴν φεῦγε, συγκυκᾷ τἄνω κάτω. [Ἐν τῷ αὐτῷ.]

26. Καθάπερ τὸ τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ ὄψει, οὕτω καὶ ἔτι μᾶλλον τὴν ἀλήθειαν οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ διανοίᾳ. [Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ ἀληθείας καὶ ψεύδους.]

27. Αἴσωπος ἐρωτηθείς, τί ὄφελος τοῖς ψευδομένοις ἐκ τοῦ ψεύδους, ἔφη· Τὸ κἂν τἀληθῆ λέγουσι μὴ πιστεύεσθαι. [Ἐν τῷ αὐτῷ.]

mineret, ne omnia conflagrantia pessum irent. Ita et regem unum quidem accipiunt Lydi, et servatorem esse credunt, duos vero simul tolerare non possunt. [*Serm. XLV. quod optimum sit monarchia.*]

21. Gellias Agrigentinus hospitio exceptus apud hominem durum, et undique facientem quaestum, qui nec dormire quidem famulis permittebat, sed alius aliud operabatur noctu, eundem et ipse postea, cum Agrigentum venisset, suscepit, et convocatis famulorum pueris (qui permulti erant) nuces et caricas illis distribuit. Interrogante autem hospite, *Unde tot pueri? Haec famuli mei,* dixit, *noctu faciunt.* [*Serm. LX. de dominis et servis.*]

22. Lacaena quaedam mulieri Ionicae, quae ornatum ipsi ostentabat, liberos suos vicissim monstravit, inquiens: *At meum ornamentum hujusmodi est.* [*Serm. LXXIII. quod bonum sit habere liberos.*]

23. Thalem, dum coelum contemplatur, in fossam illapsum, ancilla ejus e Thracia oriunda jure id pati dixit, qui cum juxta pedes posita ignoraret, coelestia intueretur. [*Serm. LXXVIII. de diis et physiologia circa coelum et mundum.*]

24. Cleanthes interrogatus, cur inter veteres cum non multi philosophati essent, plures tamen quam nunc clari evasissent, *Quoniam*, respondit, *tunc quidem res ipsa exercebatur, nunc autem verba solum.* [*Serm. LXXX. adversus literas.*]

25. Arcesilaus dixit: Dialecticam fuge, susque deque confundit omnia. [*Ibid.*]

26. Quemadmodum debiles et impotentes oculi solis lucem intueri non possunt, sic, idque multo magis debilis et infirma mens verum cernere non potest. [*Anton. et Maxim. Serm. de veritate et mendacio pag.* 236.]

27. Aesopus rogatus, quid lucri accederet ex mendacio mentientibus, *Ut eis*, inquit, *etiam cum vera dicunt, fides non habeatur.* [*Ibid.*]

ΡΗΓΙΝΟΥ.

Ἐν τῷ περὶ φιλίας.

Πολλοὶ γοῦν ἤδη μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβόλων ἢ τῶν πολεμίων, καὶ πολλοὶ ἤδη μείζω ἠδίκηνται ὑπὸ τῆς τῶν ὤτων ἀσθενείας, ἢ ὑπὸ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς. [Λόγ. μ'. περὶ διαβολῆς.]

ΣΩΤΙΩΝΟΣ.

1. Φιλάδελφον καὶ πένητα λέγεσθαι κρεῖσσον, ἢ μισάδελφον καὶ πλούσιον. [Λόγ. πβ'. ὅτι κάλλιστον ἡ φιλαδελφία.]

2. Κύνα μὲν χαλεπὸν ὄντα ἐπιχειρεῖς πραΰνειν, ὅπως σοι πρᾶος ᾖ, τὸν ἀδελφὸν δὲ οὔ. [Ἐν τῷ αὐτῷ.]

Ἐν τῷ περὶ ὀργῆς.

3. Τοῖς σοφοῖς ἀντὶ ὀργῆς, Ἡρακλείτῳ μὲν δάκρυα, Δημοκρίτῳ δὲ γέλως ἐπῄει. [Λόγ. κ'. περὶ ὀργῆς.]

4. Ὥσπερ δὲ πλοῖα γενναῖα, οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ, ἀλλ' ὅσα πρὸς χειμῶνα ἀντέχει καὶ σώζεται, οὕτω καὶ ἄνθρωποι ὀργῇ καὶ κινήσει ἀντέχοντες μεγάλοι καὶ ἀνδρεῖοι. ὑποκριταῖς μὲν οὖν, καὶ μὴ ὀργιζομένοις, ὑποκριναμένοις ὀργὴν συνήνεγκεν· οἱ δὲ σπουδαῖοι ἄνδρες, οὐδ' ἐὰν ὡς ἀληθῶς ὀργίζωνται, οὕτω χρῶνται τῷ σχήματι. [Ἐν τῷ αὐτῷ.]

5. Μῦθός τις περιφέρεται γυναικὸς, ὅτι ἡ λύπη, παρ' οἷς ἂν τρέφεται καὶ αὔξεται, παρ' ἐκείνοις ἡδέως καὶ μένει. Ὁ δὲ Κλεάνθης ἔλεγε τὴν λύπην ψυχῆς παράλυσιν. Ὁ δὲ φρόνιμος ἐρεῖ·

Τολμήσεις μοι θυμὸς, ἐπεὶ μάλα πολλὰ πέπονθα
— — — — μετὰ καὶ τόδε τοῖσι γενέσθω.

[Λόγ. ρς'. ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα.]

6. Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον,

Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

RHEGINI.

Ex libro de amicitia.

Multi hactenus plus mali per calumniatores, quam per hostes acceperunt: et multis jam injuria major facta est propter aurium infirmitatem, quam inimicorum insidias. [*Serm. XL. de calumnia.*]

SOTIONIS.

1. Fratrum amantem et pauperem dici praestat, quam fratrum osorem ac divitem. [*Serm. LXXXII. Honestissimum esse fraternum amorem.*]

2. Canem tibi infensum mitigare conaris, ut fiat benignior, ergo fratrem vero idem non facis. [*Ibid.*]

3. Sapientibus irae loco, Heraclito quidem lachrymae, Democrito autem risus oboriebatur.

4. Quemadmodum navigia praeclara judicantur, non quae in tranquillitate navigant, sed quae tempestatibus obsistunt et salva evadunt: sic et homines, qui irae et perturbationibus resistere valent, magni fortesque habentur. Histriones quidem, licet solum simulent, hominis irati faciem repraesentant: viri autem virtutis studiosi, etsi revera irascantur, vultu tamen et gestibus irati abstinent. [*Ibid.*]

5. Mulieris cujusdam sententia celebratur, dolorem libenter apud illos manere, a quibus alitur et augetur. Porro Cleanthes dolorem animi resolutionem vocabat. Vir autem prudens ita dicet:

Est mihi confidens animus: cum plurima quondam
Sim perpessus, et hoc aliis accedat.

[*Serm. CVI. Quod eventus rerum fortiter ferendi sint hominibus.*]

6. Nam consolatio maximum est remedium tristitiae,

Luctum dispellens, iramque: oblivio cunctis
Nascitur inde malis.

Καλῶς δὲ καὶ ταῦτα εἴρηται·

Λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλου·
Ἄγαν δὲ μωραίνοντι νουθετήματα.

[*Λόγ. ριβ'. ὅτι οἱ ἀτυχοῦντες χρήζονται τῶν συμπασχόντων.*]

7. Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι, πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκείλουσιν· οὕτως οἱ κόλακες ἐν εὐδίᾳ παραμένουσι, καὶ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες μέχρι τῆς λείας συμπαρακολουθοῦσιν· ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν. [*Ἀντων. καὶ Μαξίμ. λόγ. περὶ κολακείας p.* 248.]

ΟΙΝΟΠΙΔΟΥ ΓΛΥΚΩΝΟΣ ΘΕΣΠΙΑΔΟΥ ΑΝΤΑΓΟΡΟΥ ΚΛΕΙΤΑΡΧΟΥ ΚΑΙ ΚΥΨΕΛΟΥ ΓΝΩΜΑΙ.

(*Ἐκ τῶν ἐκλογῶν Ἀντωνίου καὶ Μαξίμου.*)

ΟΙΝΟΠΙΔΟΥ.

1. Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, ἔφη· *Μὴ τῷ κιβωτῷ, ἀλλὰ τῷ στήθει.* [*Λόγ. περὶ παιδείας καὶ φιλοσοφίας p.* 705.]

2. Ὁ αὐτὸς ἔλεγε, τὰ βιβλία τῶν μὲν μεμαθηκότων ὑπομνήματα εἶναι, τῶν δὲ ἀμαθῶν μνήματα. [*Ἐν τῷ αὐτῷ.*]

3. Ὁ αὐτὸς εἶπε τὸν νοῦν παραίτιον δαίμονα τοῖς μὲν πεπαιδευμένοις ἀγαθὸν, τοῖς δὲ ἀπαιδεύτοις κακόν. [*Ἐν τῷ αὐτῷ.*]

4. Οἰνοπίδης, ὁποία ἡ φύσις τοῦ ἀνθρώπου ἐστὶν, τοιοῦτον ἔφασκεν εἶναι καὶ τὸν λόγον. [*Λόγ. περὶ διδαχῆς καὶ ὁμιλίας p.* 954.]

ΓΛΥΚΩΝΟΣ.

1. Γνῶσις θεοῦ διὰ μακροθυμίας καὶ πρᾳότητος εἰς ἄνδρα γνωρίζεται. [*Λόγ. περὶ ὑπομονῆς καὶ μακροθυμίας p.* 313.]

2. (Γλύκων) τοὺς ῥήτορας ἔφη ὁμοίους εἶναι τοῖς βατράχοις, τοὺς μὲν γὰρ ἐν ὕδατι κελαδεῖν, τοὺς δὲ πρὸς κλεψύδραν. [*Λόγ. περὶ γλωσσαλγίας p.* 396.]

3. Καθάπερ αἱ χελιδόνες τῷ συνεχεῖ τῆς λαλιᾶς τὴν ἡδο-

Sed hoc etiam scite dictum est:

Tristanti quidem gratus et jucundus amici sermo est,
At stulte nimis se gerenti reprehensio (adhibenda).

[*Serm. CXII. Infortunatos opus habere condolentibus.*]

7. Delphini, quousque unda subest, comitantur natantes, in littus vero nunquam egrediuntur. Sic adulatores in sereno rerum statu manent: sicut qui amicos ad peregrinationem euntes, dum via plana est, deducunt, cum asperior incipit, recedunt. [*Anton. et Maxim. Serm. de adulatione.*]

OENOPIDAE GLYCONIS THESPIADAE ANTAGORAE CLITARCHI ET CYPSELI SENTENTIAE.

(Ex Antonii et Maximi Eclogis.)

OENOPIDAE.

1. Oenopides, cum adolescentulum multos libros conquirere videret, *Non arcae*, inquit, *sed pectori.* [*Serm. de eruditione et philosophia.*]

2. Idem dicebat, doctorum libros esse commentaria, indoctorum vero monumenta. [*Ibid.*]

3. Idem dicebat, mentem esse genium eruditis bonum, ineruditis malum. [*Ibid.*]

4. Oenopides talem dicebat sermonem esse hominis, qualis ejus natura esset. [*Serm. de doctrina et conversatione.*]

GLYCONIS.

1. Cognitio dei per lenitatem et clementiam in hominibus declaratur. [*Serm. de patientia et lenitate.*]

2. (Glycon) oratores ranis similes esse dicebat: has enim in aqua clamare, illos autem ad clepsydram.

3. Quemadmodum hirundines perpetuo garritu vo-

νὴν τῆς ὁμιλίας ἀποβάλλουσιν· οὕτως οἱ ἀδολέσχαι ὀχλήσεις συνεχεῖς ποιούμενοι, ἀηδεῖς ἀποφαίνονται τοῖς ἀκροωμένοις. [Ἐν τῷ αὐτῷ.]

4. Γλύκων ὁ σοφὸς τὴν παιδείαν ἔλεγεν ἱερὸν ἄσυλον εἶναι. [Λόγ. περὶ παιδείας καὶ φιλοσοφίας p. 706.]

ΘΕΣΠΙΔΟΥ Η ΘΕΣΠΙΑΔΟΥ.

1. Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος· ἐν τῷ διδόναι γὰρ λαμβάνεται καὶ ἐν τῷ σκορπίζειν συνάγεται. [Λόγ. περὶ εὐεργεσίας καὶ χάριτος p. 278.]

2. Λαβών τι παρά τινος εὐθὺς ἀπόδος, ἵνα πάλιν λάβῃς. [Ἐν τῷ αὐτῷ.]

3. Ὕμνους τῷ θεῷ, ἐπαίνους δὲ τοῖς ἀνθρώποις παρέχειν δεῖ. [Ἐν τῷ αὐτῷ.]

4. Εὔνοια καὶ χάρις πειθόντων ἐστὶν, οὐ βιαζομένων. [Ἐν τῷ αὐτῷ.]

5. Ἐπὶ προγόνων εὐγενείᾳ μηδεὶς ἐγκαυχάσθω· πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα, καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ τρεφόμενοι, καὶ οἱ ἐν πενίας ἀβύσσῳ δαπανώμενοι. [Λόγ. περὶ εὐγενείας καὶ δυσγενείας p. 725.]

ΑΝΤΑΓΟΡΟΥ Η ΑΝΤΑΓΕΝΟΥΣ.

1. Ζῶν μὲν ἐπαινοῦ· ἀποθανὼν δὲ μακαρίζου. [Λόγ. περὶ ἐπαίνου p. 256.]

2. Ὁ αὐτὸς εἶπεν· Ὅταν ἐπαινῶσί με πολλοὶ, τότε νομίζω μηδενὸς ἄξιος εἶναι· ὅταν δὲ ὀλίγοι, σπουδαῖος ἄνθρωπος. [Ἐν τῷ αὐτῷ.]

3. Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, ψυχῇ δὲ (δικαιοσύνη). Τὰ δ' ἐναντία τούτων ἀκοσμία. Ἄνδρα δὲ καὶ γυναῖκα, καὶ λόγον καὶ ἔργον, καὶ πόλιν καὶ πρᾶγμα χρὴ τὸ μὲν ἄξιον ἐπαίνου ἐπαίνῳ τιμᾷν· τῷ δ' ἀναξίῳ μῶμον ἐπιθεῖναι· ἴση γὰρ ἁμαρτία καὶ ἀμαθία μέμφεσθαί τε τὰ ἐπαινετὰ καὶ ἐπαινεῖν τὰ μωμητά. [Ἐν τῷ αὐτῷ.]

4. Ἀνταγόρας, ἐπεὶ ἀνεγίνωσκε παρὰ Βοιωτοῖς τὸ τῆς Θηβαΐδος σύγγραμμα, καὶ οὐδεὶς ὑπεσημήνατο, κλείσας τὸ

luptatem conversationis perdunt, sic loquaces perpetuo obtundentes molesti sunt auditoribus. [*Ibid.*]

4. Glycon sapiens doctrinam sacrum asylum esse dicebat. [*Serm. de doctrina et philosophia.*]

THESPIDAE VEL THESPIADAE.

1. Opes non absumuntur beneficentia, dando enim accipitur et spargendo colligitur. [*Serm. de beneficentia et gratia.*]

2. Cum ab aliquo quid accepisti, mox redde, ut iterum accipias. [*Ibid.*]

3. Hymnos deo, hominibus laudes exhibere oportet. [*Ibid.*]

4. Benevolentia et gratia persuadentium est, non cogentium. [*Ibid.*]

5. Majorum nobilitate nemo gloriari debet, omnes enim habent generis originem lutum, tum ii qui in purpura et bysso nutriuntur, tum ii qui in paupertatis abysso opibus suis evoluti versantur. [*Serm. de nobilitate et ignobilitate.*]

ANTAGORAE
sive ANTAGENIS.

1. Operam da, ut vivus laudabilis, mortuus autem beatus judiceris. [*Serm. LXIX. de laude.*]

2. Idem dixit: Cum multi me laudant, tum nullius pretii me ipsum existimo; cum vero pauci, bonum et egregium hominem. [*Ibid.*]

3. Civitatis ornamentum est fortitudo virorum: corporis pulchritudo: animae (justitia). His contraria dedecori sunt. Oportet autem virum et mulierem, et sermonem et factum, et civitatem et rem quamlibet, si laude digna sit, laudando honorare, indignam vero vituperio afficere. Aeque enim vitiosum et stolidum est, vituperare laudanda, et laudare vituperanda. [*Ibid.*]

4. Antagoras cum Thebaidos librum apud Boeotos recitaret, nec quisquam recitanti applauderet, compli-

βιβλίον, Δικαίως, εἶπε, καλεῖσθε Βοιωτοί· βοῶν γὰρ ὦτα ἔχετε. [Λόγ. περὶ διδαχῆς καὶ λόγων καὶ ὁμιλίας p. 934.]

ΚΛΕΙΤΑΡΧΟΥ.

1. Μὴ τὸ ἔχειν ἀρετὴν καλὸν νόμιζε, ἀλλὰ τὸ ὡς δεῖ καὶ ὑπὲρ ὧν δεῖ. [Λόγ. περὶ ἀρετῆς καὶ κακίας pag. 35.]

2. Ἀρετὴν μὲν ἔχων πάντα ἕξεις· κακίαν δὲ, οὐδὲ σεαυτόν. [Ἐν τῷ αὐτῷ.]

3. Ἰσχὺς τοῦ σώματος μὴ γενέσθω τῆς ψυχῆς ἀσθένεια· ἰσχὺν δὲ ψυχῆς φρόνησιν νόμιζε. [Λόγ. περὶ φρονήσεως καὶ βουλῆς p. 93.]

4. Ὀφείλομεν ἑαυτοὺς ἐθίζειν ἀπὸ τῶν ὀλίγων ζῆν, ἵνα οὐδὲν αἰσχρὸν ἕνεκεν χρημάτων μάθωμεν. [Λόγ. περὶ αὐταρκείας p. 145.]

5. Ἀγωνιζόμενος ὑπὲρ ὧν ἀδίκως ἔπραξας, δὶς ἀδικήσεις. [Λόγ. περὶ δικαιοσύνης p. 213.]

6. Φιλῶν ἃ μὴ δεῖ, οὐ φιλήσεις ἃ δεῖ· ἀπλήρωτον γὰρ ἡ ἐπιθυμία, διὰ τοῦτο καὶ ἄπορον. [Λόγ. περὶ ἁγνείας καὶ σωφροσύνης p. 290.]

7. Γύμναζε τοῖς μὲν πόνοις τὸ σῶμα, τὴν δὲ ψυχὴν γενναίως ὑπομένειν τοὺς κινδύνους. [Λόγ. περὶ φιλέργων καὶ σπουδαίων p. 377.]

8. Ὃ μὴ θέλεις ἀκούειν, μηδὲ εἴπῃς· ὃ μὴ θέλεις λέγειν, μηδὲ ἄκουε· ὤτων καὶ γλώσσης μέγας ὁ κίνδυνος. [Λόγ. περὶ γλωσσαλγίας p. 396.]

9. *Vide Periandri Sentent. N. 9. Tom. I. p.* 188.

10. Ἄρχων μὲν ἐπιτήδευε πρᾶος εἶναι· ἀρχόμενος δὲ μεγαλόφρων. [Λόγ. περὶ βασιλέως χρηστοῦ καὶ δικαίου p. 517.]

11. Βασιλέα φρόνιμον τὸ διάδημα οὐ ποιεῖ· νοῦς γάρ ἐστιν ὁ ἄρχων. [Ἐν τῷ αὐτῷ.]

12. Ἄρχεσθαι μὴ μαθὼν ἄρχειν μὴ ἐπιχείρει. [Ἐν τῷ αὐτῷ.]

cato volumine, *Merito*, inquit, *vocamini Boeoti, quia boum habetis aures.* [*Serm. de doctrina, quae sermone et conversatione fit.*]

CLITARCHI.

1. Non simpliciter habere virtutem honestum est, sed quemadmodum decet, et pro quibus decet. [*Serm. de virtute et vitio.*]

2. Virtutem si habes, omnia habes: at si vitium, ne te ipsum quidem. [*Ibid.*]

3. Robur corporis animi ne sit imbecillitas, robur autem animi prudentiam putato. [*Serm. de prudentia et consilio.*]

4. Debemus nos assuefacere, ut paucis contenti vivamus, ut nihil turpe pecuniae causa discamus. [*Serm. de paucarum rerum indigentia.*]

5. Contendens ad defendendum id, quod injuste fecisti, bis delinques. [*Serm. de justitia.*]

6. Si quae non decet amas, quae decet non amabis, est enim inexplebilis cupiditas, ideoque egena vel indiga. [*Serm. de castitate et temperentia.*]

7. Corpus laboribus exerce, animum autem fortiter et generose pericula sustinendo. [*Serm. de iis qui opus libenter faciunt ac studiose.*]

8. Quae nolis audire, ea etiam ne dicito; quae nolis dicere, ea ne audito quidem: aurium (enim) et linguae magnum estpericulum. [*Serm. de loquacitate.*]

10. Si magistratum geris, mansuetus, si sub imperio alterius agis, magno animo praeditus esto. [*Serm. de rege bono et justo.*]

11. Regem prudentem diadema non efficit: mens enim est quae imperat. [*Ibid.*]

12. Si parere non didicisti, imperare ne aggreditor. [*Ibid.*]

13. *Κρεῖσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοις ἢ ἄρχειν.* [Λόγ. περὶ ἀρχῆς καὶ ἐξουσίας p. 542.]

14. *Κλείταρχος ὁ ἱστοριογράφος εἶπε· Πᾶσα τόλμη καὶ τὰ τῆς δυνάμεως ὑπερβαίνει μέτρα.* [Στοβ. λόγ. περὶ στρατείας καὶ ἰσχύος.]

15. *Γυνὴ τῷ προσώπῳ κοσμουμένη τὴν τῆς ψυχῆς ἀμορφίαν ἐμφαίνει.* ['Αντων. λόγ. περὶ γυναικῶν πονηρῶν p. 609.]

16. *Σεαυτοῦ τὰ ἀτυχήματα τῶν φίλων ἡγοῦ, τῶν δὲ ἰδίων εὐτυχημάτων κοινώνει.* [Λόγ. περὶ φίλων καὶ φιλίας p. 720.]

17. *Τελευτησάντων τῶν φίλων, θρηνεῖν μὲν οὐκ εὐγενὲς, προνοεῖν δὲ τῶν οἰκείων ἐπιμελές.* ['Εν τῷ αὐτῷ.]

18. *'Εγκράτεια κρηπὶς εὐσεβείας· ὄρεξις κτήσεως ἀρχὴ πλεονεξίας· ἐκ γὰρ φιλαργυρίας ἀδικία φύεται.* [Μαξίμ. λόγ. περὶ πλούτου καὶ πενίας καὶ φιλαργυρίας p. 759.]

19. *Προὶξ πολλὴ τέκνα βελτίονα οὐ ποιεῖ.* ['Αντων. λόγ. περὶ πλούτου καὶ πλουσίων p. 761.]

20. *Εἶναι ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα.* [Λόγ. περὶ βίου ἀνωμαλίας p. 807.]

21. *Τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ, τοῦ δὲ σώματος ὡς στρατιώτου προνόει.* [Λόγ. περὶ ψυχῆς p. 928.]

22. *'Εν συλλόγῳ πρῶτος λέγειν μὴ ἐπιτήδευε, μετὰ γὰρ πλείονας λέγων ὄψει μᾶλλον τὰ συμφέροντα.* [Λόγ. περὶ διδαχῆς καὶ λόγων etc. p. 955.]

ΚΥΨΕΛΟΥ ΤΟΥ ΚΟΡΙΝΘΙΟΥ.

1. *Φειδόμενον κρεῖττον ἀποθανεῖν, ἢ ζῶντα ἐνδεῖσθαι.* [Λόγ. περὶ ἀσωτίας p. 264.]

2. *Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι.* [Λόγ. περὶ φίλων καὶ φιλίας p. 722.]

3. *Εὐτυχῶν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος.* [Λόγ. περὶ εὐτυχίας καὶ δυστυχίας p. 821.]

4. *Οἱ πεπαιδευμένοι, καθάπερ οἱ ἐκ παλαίστρας, κἂν*

13. Insipientibus satius est parere quam imperare. [*Serm. de magistratu et potestate.*]

14. Clitarchus historiographus dixit: *Omnis audacia virium mensuram excedit.* [*Stob. Serm. de militia et viribus corporis.*]

15. Mulier faciem exornans (fuco) animum deformem indicat. [*Anton. Serm. de mulieribus improbis.*]

16. Amicorum calamitates tuas existimato, tuas autem prosperitates amicis communicato. [*Serm. de amicis et amicitia.*]

17. Mortuos amicos lugere haud est generosum, providere autem domesticis diligentiae est. [*Ibid.*]

18. Continentia pietatis est fundamentum, cupiditas habendi avaritiae initium, ex avaritia autem et studio pecuniae nascitur injustitia. [*Maxim. Serm. de divitiis, paupertate et avaritia.*]

19. Magna dos non facit meliores liberos. [*Anton. Serm. de divitiis et divitibus.*]

20. Aestimare debes, te quoque esse unum ex multis. [*Serm. de vitae inaequalitate.*]

21. Animi tanquam ducis, corporis vero tanquam militis curam habe. [*Serm. de anima.*]

22. In conventu ne studeas primus dicere sententiam. Nam si post plures dixeris, magis videbis quae utilia sunt. [*Serm. de doctrina etc.*]

CYPSELI CORINTHII.

1. Parcum praestat mori, quam ut egens vivas. [*Serm. de prodigalitate.*]

2. Amicis felicibus et infelicibus idem esto. [*Serm. de amicis et amicitia.*]

3. In laeta fortuna moderatus, in tristi prudens esto. [*Serm. de bona fortuna et mala.*]

4. Docti homines, quemadmodum in palaestra ex-

πέσωσι, ταχέως καὶ ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίστανται. [Ἐν τῷ αὐτῷ.]

Ἀδέσποτον.

Ἐοίκασιν οἱ κόλακες κηφῆσι, καὶ γὰρ ἀργοὶ καὶ ἄκεντροι καὶ τοὺς ἀλλοτρίους ἀναλίσκοντες καμάτους. [*E Sententiarum Cod. MS. Leid. excerpt. a Ruhnkenio ad Timaeum pag.* 157. *ed.* 2.]

ercitati, etsi ceciderint, statim et cum dexteritate quadam ab infortunio resurgunt. [*Ibid.*]

Incerti.

Similes sunt adulatores fucis. Nam et inertes sunt et absque aculeo et aliorum laboribus parta consumunt.

ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ
ΔΙΑΛΕΞΕΙΣ.
ΔΩΡΙΚΗι ΔΙΑΛΕΚΤΩι.

INCERTI CUIUSDAM
DISSERTATIONES MORALES
DORICO SERMONE CONSCRIPTAE.
LATINE REDDITAE A JO. NORTH.

ΔΙΑΛΕΞΙΣ Α.

Περὶ ἀγαθῶ καὶ κακῶ.

Δισσοὶ λόγοι λέγονται ἐν τῇ Ἑλλάδι ὑπὸ τῶν φιλοσοφούντων περὶ τῶ ἀγαθῶ καὶ τῶ κακῶ. Τοὶ μὲν γὰρ λέγοντι, ὡς ἄλλο μέν ἐστι τὸ ἀγαθὸν, ἄλλο δὲ τὸ κακόν· τοὶ δὲ, ὡς τὸ αὐτό ἐστι, καὶ τοῖς μὲν ἀγαθὸν εἴη, τοῖς δὲ κακὸν, καὶ τῷ αὐτῷ ἀνθρώπῳ τότε μὲν ἀγαθὸν, τότε δὲ κακόν. Ἐγὼ δὲ καὶ αὐτὸς τοῖςδε ποτιτίθεμαι· σκέψομαι δὲ ἐκ τῶ ἀνθρωπίνω βίω, ὧν ἐπιμελὴς, βρώσιός τε καὶ πόσιος καὶ ἀφροδισίων. Ταῦτα γὰρ ἀθενοῦντι μὲν κακά ἐστιν, ὑγιαίνοντι δὲ καὶ δεομένῳ ἀγαθά. Καὶ ἀκρασία τοίνυν τούτων τοῖς μὲν ἀκρατέσι κακὸν, τοῖς δὲ ἰατροῖς ἀγαθόν. Ὁ τοίνυν θάνατος τοῖς μὲν ἀποθανοῦσι κακὸν, τοῖς δ' ἐνταφιοπώλαις καὶ τυμβοποιοῖς ἀγαθόν. γεωργία τε καλῶς ἐξενείκασα τὼς καρπὼς τοῖς μὲν γεωργοῖς ἀγαθὸν, τοῖς δὲ ἐμπόροις κακόν. τὰς τοίνυν ὁλκάδας συντρίβεσθαι καὶ παραθραύεσθαι τῷ μὲν ναυκλήρῳ κακὸν, τοῖς δὲ ναυπηγοῖς ἀγαθόν. ἔτι τὸν σίδηρον κατέσθεσθαι καὶ ἀμβλύνεσθαι καὶ συντρίβεσθαι τοῖς μὲν ἄλλοις κακὸν, τῷ δὲ χαλκῆϊ ἀγαθόν. καὶ μὰν τὸν κέραμον παραθραύεσθαι, τοῖς μὲν ἄλλοις κακὸν, τοῖς δὲ κεραμεῦσιν ἀγαθόν. τὰ δὲ ὑποδήματα κατατρίβεσθαι καὶ διαῤῥήγνυσθαι τοῖς μὲν ἄλλοις κακὸν; τῷ δὲ σκυτῆϊ ἀγαθόν. Ἐν τοίνυν τοῖς ἀγῶσι τοῖς γυμναστικοῖς καὶ τοῖς μωσικοῖς καὶ τοῖς πολεμικοῖς, αὐτίκα ἐν τῷ γυμνικῷ τῷ σταδιοδρόμῳ ἁ νίκα τῷ μὲν νικῶντι ἀγαθὸν, τοῖς δὲ ἡσσαμένοις κακόν. Καὶ τοῦτο δὲ καὶ τοὶ παλαισταὶ καὶ πύκται καὶ τοὶ ἄλλοι πάντες μωσικοί. αὐτίκα ἁ κιθαρῳδία τῷ μὲν νικῶντι ἀγαθὸν, τοῖς δὲ ἡσσαμένοις κακόν. ἔν τε τῷ πολέμῳ καὶ (τὰ νεώτατα πρῶτον ἐρῶ) ἁ τῶν Λακεδαιμονίων νίκα, ἐν ᾇ ἐνίκων τὼς Ἀθηναίως καὶ τὼς συμμάχως, Λακεδαιμονίοις μὲν ἀγαθὸν, Ἀθηναίοις δὲ καὶ τοῖς συμμάχοις κακόν· ἅ τε νίκα, ᾇ τοὶ Ἕλλανες τὸν Πέρ-

DISSERTATIO I.

De bono et malo.

Duplex fertur in Graecia philosophorum sententia de bono et malo. Etenim quidam asserunt aliud plane bonum, aliud malum: quidam vero idem utrumque, sed his bonum, illis malum, eidemque homini quandoque bonum, quandoque malum. Ego certe hisce assentior, res illas perpendens, quarum studiosa est hominum vita, scilicet cibum, potum et venerem. Haec enim aegrotanti mala, sano autem et indigo bona; et horum usus nimius ipsis incontinentibus malum, sed medicis bonum. Imo mors obeuntibus quidem malum, sed libitinariis et tumulos struentibus bonum: et quod ex cultura terra feliciter emittat fructus, agricolis bonum, mercatoribus vero malum: ut conterantur navigia et diffringantur, naviculario malum, naupegis tamen bonum. Porro ut ensis rubigine corrodatur, obtusus fiat et comminuatur, aliis quidem malum, fabro aerario bonum: et ut fictilia frangantur, caeteris quidem malum, figulis vero bonum. Ut atterantur calcei et disrumpantur, aliis certe malum, at sutori bonum. In certamine porro sive gymnastico sive musico, seu militari, exempli causa in stadio cursorio gymnico victoria vincenti bonum, devictis vero malum. Eademque obtinet ratio inter pugiles et luctatores, nec non musicos omnes; nam ad citharam modulatio vincenti bonum, superatis autem malum. Sic etiam in bello (ut recentissima primum commemorem) Lacedaemoniorum victoria, quam de Atheniensibus et foederatis reportarunt, ipsis quidem bonum, Atheniensibus et sociis malum. Et victoria, qua Graeci Persas fuderunt, ipsis bonum, at

σαν ἐνίκασαν, τοῖς μὲν Ἕλλασιν ἀγαθὸν, τοῖς δὲ βαρβάροις κακόν. Ἁ τοίνυν τοῦ Ἰλίου αἵρεσις τοῖς μὲν Ἀχαιοῖς ἀγαθὸν, τοῖς δὲ Τρωσὶ κακόν. καδδὲ ταυτὸ καὶ τὰ τῶν Θηβαίων καὶ τὰ τῶν Ἀργείων πάθη, καὶ ἁ τῶν Κενταύρων καὶ Λαπιθῶν μάχα τοῖς μὲν Λαπίθαις ἀγαθὸν, τοῖς δὲ Κενταύροις κακόν. καὶ μὰν καὶ ἁ τῶν θεῶν καὶ Γιγάντων λεγομένα μάχα καὶ νίκα τοῖς μὲν θεοῖς ἀγαθὸν, τοῖς δὲ Γίγασι κακόν.

Ἄλλος δὲ λόγος λέγεται, ὡς ἄλλο μὲν τἀγαθὸν εἴη, ἄλλο δὲ κακὸν, διαφέρον, ὥςπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα. Ἐγὼ δὲ καὶ αὐτὸ τοῦτον διαιρεῦμαι τὸν τρόπον· δοκῶ γὰρ οι διάδαλον ἦμεν, ποῖον ἀγαθὸν καὶ ποῖον κακὸν, αἰ τὸ αὐτὸ καὶ μὴ ἄλλο ἑκάτερον εἴη· καὶ γὰρ θαυμαστόν κ' εἴη. Οἶμαι δὲ οὐδέν κ' αὐτὸν ἔχεν ἀποκρίνασθαι, αἴ τις αὐτὸν ἔροιτο τὸν ταῦτα λέγοντα· Εἰπὸν δή μοι, ἤδη τὶ τὼς γονέας ἀγαθὸν ἐποίησας; φαίηκα, Καὶ πολλὰ καὶ μεγάλα. Τὺ ἄρα κακὰ καὶ μεγάλα καὶ πολλὰ τούτοις ὀφείλεις, αἴπερ τωὔτόν ἐστι τὸ ἀγαθὸν τῷ κακῷ. Τί δὲ, τὼς συγγενέας ἤδη τὶ ἀγαθὸν ἐποίησας; τὼς ἄρα συγγενέας κακὸν ἐποίεις. Τί δὲ, τὼς ἐχθρὼς ἤδη κακῶς ἐποίησας; καὶ πολλὰ καὶ μεγάλα. ἄρα ἀγαθὰ ἐποίησας. Ἄγε καὶ δή μοι καὶ τόδε ἀπόκριναι ἄλλο τι· ἢ τὼς πτωχὼς οἰκτείρεις, ὅτι πολλὰ καὶ μεγάλα ἔχοντι· πάλιν εὐδαιμονίζεις, ὅτι πολλὰ καὶ ἀγαθὰ πράσσοντι, αἴπερ τωὔτὸν καὶ κακὸν καὶ ἀγαθόν; Τὸν δὲ βασιλέα τὸν μέγαν οὐδὲν κωλύει ὁμοίως διακεῖσθαι τοῖς πτωχοῖς. Τὰ γὰρ πολλὰ καὶ μεγάλα ἀγαθὰ αὐτῷ πολλὰ κακὰ καὶ μεγάλα ἐστὶν, αἴκα τωὔτόν ἐστι τἀγαθὸν καὶ κακόν. Καὶ τάδε μὲν περὶ τῶ παντὸς εἰρήσθω. Εἶμι δὲ καὶ καθ' ἕκαστον, ἀρξάμενος ἀπὸ τῶ ἐσθίεν καὶ πίνεν καὶ ἀφροδισιάζεν. τοῦτο γὰρ τοῖς ἀσθενέουσι ταῦτα ποιὲν ἀγαθόν ἐστιν αὐτοῖς, αἴπερ τωὔτόν ἐστιν ἀγαθὸν καὶ κακόν· καὶ τοῖς νοσέουσι κακόν ἐστι τὸ νοσὲν καὶ ἀγαθὸν, αἴπερ τωὔτόν ἐστι τὸ ἀγαθὸν τῷ κακῷ. καδδὲ τόδε καὶ ἄλλα πάντα τὰ ἐν τῷ

barbaris malum. Sic Ilii expugnatio Achaeis bonum, Troibus malum. Eadem dicenda de miseriis, quae Thebanis et Argivis contigerunt. Insuper, quod inter Lapithas et Centauros gerebatur bellum, Lapithis quidem bonum, Centauris vero malum. Pugna etiam, quam deos cum Gigantibus habuisse ferunt, et secuta victoria diis sane bonum, sed Gigantibus malum.

Altera sententia diversum quid bonum, diversum malum affirmat, non nomine magis, quam re ipsa distinguendum. Ego vero illud hoc modo dijudico. Credo equidem, nobis non posse constare, quae res bona, quaeve mala, si idem esset utrumque, non diversum quid, et illud merito miretur quispiam. Nec puto habiturum quod respondeat, si quis haec dicentem ita interrogaret. *Dicas obsecro mihi, an quid boni parentibus praestitisti?* Reponet forsan: *Imo multa et praeclara. Tu igitur illis poenas multorum ac gravium malorum debes, si idem bonum malumque censendum est. Quid autem? propinquos bono quopiam affecisti? Eosdem igitur et malo. Quid dein? an hostibus quid mali intuleris? Etiam et illos multis et praeclaris bonis cumulasti. Age vero et illud responde: quare vel pauperes misereris, eo quod multis et ingentibus malis opprimuntur, vel rursus divites beas, quod bene et prospere agant, si idem bonum et malum?* Profecto nihil obstat, quin rex magnus Persarum eadem versetur conditione cum egenis; nam multa et magna bona, quibus abundat, in ejusdem gravitatis mala transibunt, si idem bonum malumque. Haec ad rem generaliter sumptam dicta sufficiant. Sed et singula illa percurro, a cibo, potu et venere incoeptans. Infirmis bonum est haec omnia pro libitu usurpare, si idem bonum et malum: parique ratione aegrotantibus morbus simul est bonum et malum. Hoc autem ad cetera omnia applicandum, quae in isto priori sermone conduntur. Interim tamen,

ἔμπροσθεν λόγῳ εἴρηται. Καὶ οὐ λέγω, τί ἐστι τὸ ἀγαθὸν, ἀλλὰ τοῦτο πειρῶμαι διδάσκειν, ὡς οὐ τωὐτὸν εἴη κακὸν καὶ ἀγαθὸν, ἀλλ' ἑκάτερον.

ΔΙΑΛΕΞΙΣ Β.

Περὶ καλῶ καὶ αἰσχρῶ.

Λέγονται δὲ καὶ περὶ τῶ καλῶ καὶ αἰσχρῶ δισσοὶ λόγοι. Τοὶ μὲν γὰρ φαντὶ, ἄλλο μὲν ἦμεν τὸ καλὸν, ἄλλο δὲ τὸ αἰσχρὸν, διαφέρον, ὥσπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα· τοὶ δὲ τωὐτὸ καλὸν καὶ αἰσχρόν. Κἀγὼ πειρασοῦμαι τόνδε τὸν τρόπον ἐξαγεύμενος. Αὐτίκα γὰρ παιδίῳ ὡραίῳ ἐραστᾷ μὲν χρηστῷ χαρίζεσθαι καλὸν, μὴ ἐραστᾷ δὲ καλῷ αἰσχρόν. καὶ τὰς γυναῖκας λοῦσθαι ἔνδον καλὸν; ἐν παλαίστρᾳ δὲ αἰσχρόν· ἀλλὰ τοῖς ἀνδράσιν ἐν παλαίστρᾳ καὶ ἐν γυμνασίῳ καλόν. καὶ συνίμεν τῷ ἀνδρὶ, ἐν ἀσυχίᾳ μὲν καλὸν, ὅπου τοίχοις κρυφθήσεται· ἔξω δὲ αἰσχρὸν, ὅπου τις ὄψεται. καὶ τὸ μὲν αὐτᾶς συνίμεν ἀνδρὶ καλόν· ἀλλοτρίῳ δὲ αἴσχιστον. καὶ τῷ γε ἀνδρὶ, τᾷ μὲν ἑαυτῶ γυναικὶ συνίμεν καλόν· ἀλλοτρίᾳ δὲ αἰσχρόν. καὶ κοσμεῖσθαι καὶ ψιμμυθίῳ χρίεσθαι, καὶ χρυσία περιάπτεσθαι, τῷ μὲν ἀνδρὶ αἰσχρὸν, τᾷ δὲ γυναικὶ καλόν. καὶ τὼς μὲν φίλως εὖ ποιὲν καλόν· τὼς δὲ ἐχθρὼς αἰσχρόν. καὶ τὼς μὲν πολεμίως φεύγεν αἰσχρόν· τὼς δὲ ἐν σταδίῳ ἀνταγωνιστὰς καλόν. καὶ τὼς μὲν φίλως καὶ τὼς πολίτας φονεύεν αἰσχρόν· τὼς δὲ πολεμίως καλόν. Καὶ τάδε μὲν περὶ πάντων.

Εἶμι δ' ἐφ' ἃ ταὶ πόλιές τε αἰσχρὰ ἄγηνται καὶ τὰ ἔθνεα. Αὐτίκα Λακεδαιμονίοις τὰς κόρας γυμνάζεσθαι ἀχειριδώτως, καὶ ἀχίτωνας παρέρπεν, καλόν· Ἴωσι δὲ αἰσχρόν. καὶ τὼς παῖδας μὴ μανθάνειν μωσικὰ καὶ γράμματα καλόν· Ἴωσι δ' αἰσχρὸν μὴ ἐπίστασθαι ταῦτα πάντα. Θεσσαλοῖσι δὲ καλὸν τὼς ἵππως ἐκ τᾶς ἀγέλας λαβόντι, αὐτὼς δαμάσαι καὶ τὼς ὀρέας· βῶς τε λαβόντι, αὐτὼς σφάξαι καὶ ἐκδεῖραι καὶ κατακόψαι· ἐν Σικελίᾳ δὲ αἰσχρὸν, καὶ δώλων ἔργα. Μακεδόσι καλὸν δοκεῖ ἦμεν τὰς κόρας, πρὶν ἀνδρὶ γάμασθαι, ἐρᾶσθαι,

quid bonum sit et malum, non determino, illud solum probare annixus, ad idem utrumque non posse referri, sed alterutrum tantum.

DISSERTATIO II.

De honesto et turpi.

Duo etiam feruntur sermones de honesto et turpi. Nam quidam aliud esse honestum asserunt, aliud turpe, tam re quam nomine distinguendum: quidam vero idem utrumque, cujus sententiae modum explicare conabor. Ut igitur formosus puer amatori probo gratificetur, honestum, non probo autem, turpe: ut foeminae domi laventur, honestum, in palaestra, turpe; sed ut viri id in palaestra faciant et gymnasio, honestum. Ut foeminae cum viris congrediantur privatim, ubi parietes abscondunt, honestum, extra vero in conspectu cujusquam, turpe: et ut a maritis suis comprimantur, honestum, sed ab alieno turpissimum: ut etiam vir propria fruatur uxore, honestum, aliena autem, turpe. Viro turpe est, molliter ornatum incedere cerussave oblitum, vel aurum appensum gerere, sed mulieri honestum. Sic amicis benefacere honestum, inimicis turpe. Hostes fugere turpe, certantes autem in stadio honestum: cives et amicos necare turpe, sed hostes honestum. Et haec de omnibus dici supponantur.

Transeo autem ad ea, quae gentes et civitates turpia ducunt. Ut igitur puellae discinctis brachiis se exerceant et veste deposita prodeant, Lacedaemonibus honestum, Ionibus turpe videtur, et ut pueri musices et literarum ignari sint, inter illos honestum, at hujusmodi inscitia inter Iones turpis. Thessali honestum putant equos et mulos ex armento ablatos domare, bovesque raptos jugulare, et pelle detracta discindere: haec autem Siculi turpia et servorum opera censent. Puellas nondum collocatas amari et a viris comprimi, inter Macedones honestum, post nuptias vero turpe. Utrum-

καὶ ἀνδρὶ συγγίνεσθαι· ἐκεὶ δὲ καὶ γαμεῖται, αἰσχρόν· Ἕλλασι δ' ἄμφω αἰσχρόν. τοῖς δὲ Θρᾳξὶ κόσμος τὰς κόρας στίζεσθαι. τοὶ δὲ Σκύθαι καλὸν νομίζοντι, ὃς ἄνδρα κανὼν, ἐκδείρας τὰν κεφαλὰν, τὸ μὲν κόμιον πρὸ τοῦ ἵππου φορεῖ, τὸ δ' ὀστέον χρυσώσας καὶ ἀργυρώσας πίνει ἐξ αὐτοῦ, καὶ σπένδει τοῖς θεοῖς· ἐν δὲ τοῖς Ἕλλασιν οὐδέ κ' ἐς τὰν αὐτὰν οἰκίαν συνεισελθεῖν βούλοιτ' ἄν τις τοιαῦτα ποιήσαντι. Μασσαγέται δὲ τὼς γονέας κατακόψαντες κατεσθίοντι, καὶ τάφος κάλλιστος δοκεῖ ἦμεν, ἐν τοῖς τέκνοις τεθάφθαι· ἐν δὲ τᾷ Ἑλλάδι ἄν τις ταῦτα ποιήσῃ, ἐξελαθεὶς ἐκ τῆς Ἑλλάδος κακὰ ἀποθάνῃ ὡς αἰσχρὰ καὶ δεινὰ ποιέων. τοὶ δὲ Πέρσαι κοσμεῖσθαί τε, ὥσπερ τὰς γυναῖκας, καὶ τὼς ἄνδρας καλὸν νομίζοντι, καὶ τᾷ θυγατρὶ, καὶ τᾷ ματρὶ, καὶ τᾷ ἀδελφᾷ συνίμεν· τοὶ δὲ Ἕλλανες καὶ αἰσχρὰ καὶ παράνομα. Λυδοῖς τοίνυν τὰς κόρας πορνευθείσας καὶ ἀργύριον ἐνεργήσασθαι, καὶ οὕτω γάμασθαι καλὸν δοκεῖ ἦμεν· ἐν δὲ τοῖς Ἕλλασιν οὐδεὶς κα θέλει γαμεῖν. Αἰγύπτιοί τε οὐ ταυτὰ νομίζοντι καλὰ τοῖς ἄλλοις. τῇδε μὲν γὰρ γυναῖκας ὑφαίνεν καὶ ἔρια ἐργάζεσθαι, ἀλλὰ τηνεὶ τὼς ἄνδρας, τὰς δὲ γυναῖκας πράσσειν, ἅπερ τῇδε τοὶ ἄνδρες. τὸν παλὸν δεύειν ταῖς χερσὶ, τὸν σῖτον τοῖς ποσὶ, τήνοις καλόν· ἀλλ' ἀμῖν τὸ ἐναντίον. Οἶμαι δ', ἄν τις τὰ καλὰ εἰς ἓν κελεύῃ συνενεῖκαι πάντας ἀνθρώπως, ἃ ἕκαστοι νομίζοντι, καὶ πάλιν ἐξ ἀθρόων τοι τὰ αἰσχρὰ λαβὲν, ἃ ἕκαστοι ἄγηνται, οὐδὲν καλλειφθῆμεν, ἀλλὰ πάντας πάντα διαλαβέν. Οὐ γὰρ πάντες ταυτὰ νομίζοντι. Παρεξοῦμαι δὲ καὶ ποίημά τι·

Καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσιν νομὸν
Ὄψει διαθρῶν, οὐδὲν ἂν πάντῃ καλὸν,
Οὐδ' αἰσχρόν· ἀλλὰ ταῦτ' ἐποίησεν λαβὼν
Ὁ καιρὸς αἰσχρὰ, καὶ διαλλάξας καλά.

Ὡς δὲ τὸ σύνολον εἰπὲν, πάντα καιρῷ μὲν καλά ἐντὶ, ἐν ἀκαιρίᾳ δ' αἰσχρά. Τί δ' ὧν διεπραξάμην; ἔφαν ἀποδεῖξεν ταυτὰ αἰσχρὰ καὶ καλὰ ὄντα· καὶ ἀπέδειξα ἐν τούτοις πᾶσι.

que inter Graecos turpe. Puellarum frontes notis quibusdam interpungi, Thracibus ornamentum videtur. Scythis quidem honestum, ut, cum quis hominem occiderit, capitis, cute divulsa, partem crinitam ante equum gestet, osseam vero auro vel argento obducens, ex illa bibat, diisque ipsis libamina fundat: Graecorum autem nullus easdem aedes ingredi vellet una cum viro, qui tale quid fecerit. Massagetae parentes suos obtruncantes comedunt, et optima videtur sepultura ita in sobolis ventre condi: sed in Graecia si quis tale quippiam committeret, ejectus statim misere periret, ut qui rem turpem ac horrendam patrasset. Persae viros delicatule ornari instar foeminarum honestum putant, ut et cum filia, matre ac sorore congredi: at Graeci turpia haec et iniqua. Lydis puellas, cum prostituto corpore pecunias corraserint, ita tandem nubere honestum videtur: inter Graecos autem nemo harum ullam in uxorem duceret. Aegyptii non eadem statuunt honesta, quae caeterae gentes. Alibi certe foeminas texere et lanificio operam dare honestum, hic autem viros. Mulieres officiis funguntur, quibus alibi viri solent: caementum manibus subigere, panem vero pedibus, inter illos honestum, sed apud nos obtinet contrarium. Sane si quis juberet omnes homines in unum locum deferre, quae turpia putant, et dein e simul congestis excerpere, quae singulis honesta videntur, nihil superfuturum credo, sed omnes omnia desumpturos: non eadem enim omnes colunt. Apponam in hanc rem poetae verba:

Spectabis alias hoc loco datas viris
Leges, hinc discens nihil honestum, nihil
Ubique turpe, sed reddit occasio
Idem nunc turpe, dein mutata, bonum.

Ut totam rem verbo comprehendam, omnia opportuna (*temporibus accommoda*) quidem honesta, intempestiva vero turpia. Quid ergo probavi hactenus? Dixi, me velle eadem honesta ac turpia demonstrare, quod his omnibus absolvi.

Λέγεται δὲ καὶ περὶ τῶ αἰσχρῶ καὶ καλῶ, ὡς ἄλλο ἑκάτερον εἴη. ἐπεὶ αἴ τις ἐρωτάσῃ τὼς λέγοντας, ὡς τὸ αὐτὸ πρᾶγμα αἰσχρὸν καὶ καλόν ἐστιν, αἴ ποκά τι αὐτοῖς καλὸν εἴργασται, αἰσχρὸν ὁμολογησοῦντι, αἴπερ τωὔτὸν καὶ τὸ αἰσχρὸν καὶ τὸ καλόν. Καὶ αἴ τινα καλὸν οἶδαντι ἄνδρα, τοῦτον καὶ αἰσχρὸν τὸν αὐτόν· καὶ αἴ τινα λευκὸν, καὶ μέλανα τοῦτον τὸν αὐτόν. καὶ καλόν γ᾽ ἐστὶ τὼς θεὼς σέβεσθαι, καὶ αἰσχρὸν ἄρα τὼς θεὼς σέβεσθαι, αἴπερ τωὔτὸν αἰσχρὸν καὶ καλόν ἐστι. Καὶ τάδε μὲν περὶ ἁπάντων εἰρήσθω μοι· τρέψομαι δὲ ἐπὶ τὸν λόγον αὐτῶν, ὃν λέγοντι. Αἰ γὰρ τὰν γυναῖκα καλόν ἐστι κοσμεῖσθαι, τὰν γυναῖκα αἰσχρὸν κοσμεῖσθαι, αἴπερ τωὔτὸν αἰσχρὸν καὶ καλόν· καὶ τἆλλα κατὰ τωὔτόν. Ἐν Λακεδαίμονι ἐστὶ καλὸν τὰς παῖδας γυμνάζεσθαι, ἐν Λακεδαίμονι ἐστὶ αἰσχρὸν τὰς παῖδας γυμνάζεσθαι· καὶ τἆλλα οὕτως. Λέγοντι δὲ, ὡς αἴ τινες τὰ αἰσχρὰ ἐκ τῶν ἐθνέων πάντοθεν συνενείκαιεν, ἔπειτα συγκαλέοντας κελεύοιεν, ἅ τις καλὰ νομίζει, λαμβάνεν, πάντα καὶ ἐν καλῷ ἀπενειχθῆμεν· ἐγὼ θαυμάζω, αἰ τὰ αἰσχρὰ συνενεχθέντα καλὰ ἐσεῖται, καὶ οὐχ οἷάπερ ἦνθεν. Αἰ γοῦν ἵππως, ἢ βῶς, ἢ ὄϊς, ἢ ἀνθρώπως ἄγαγον, οὐκ ἄλλο τί κα ἀπάγαγον· ἐπεὶ οὐδὲ αἰ χρυσὸν ἤνεικαν, χαλκὸν ἀπήνεικαν, οὐδὲ αἰ ἀργύριον ἤνεικαν, μόλιβδόν κα ἀπέφερον. Ἀντὶ δ᾽ ἄρα τῶν αἰσχρῶν καλὰ ἀπαγαγόντι. Φέρε δὴ, αἰ ἄρα τὶς αἰσχρὸν ἀπάγαγε, τοῦτον ἂν καλὸν ἀπάγαγε; Ποιητὰς δὲ μάρτυρας ἐπάγονται, οἳ ποτὶ ἁδονὰν, οὐ ποτ᾽ ἀλάθειαν ποιοῦντι.

ΔΙΑΛΕΞΙΣ Γ.

Περὶ δικαίω καὶ ἀδίκω.

Δισσοὶ δὲ λόγοι λέγονται καὶ περὶ τῶ δικαίω καὶ περὶ τῶ ἀδίκω. Καὶ τοὶ μὲν ἄλλο ἦμεν τὸ δίκαιον, ἄλλο δὲ τὸ ἄδικον· τοὶ δὲ τωὔτὸ δίκαιον καὶ ἄδικον· καὶ ἐγὼ τούτῳ πειράσομαι τιμωρεῖν. Καὶ πρῶτον μὲν τὸ ψεύδεσθαι

Caeterum alius fertur sermo de honesto et turpi, nempe qui utrumque diversum quid affirmat. Quandoquidem, si quis prioris sententiae patronos rogaret, an quid honestum unquam peregerint, etiam et istud turpe agnoscant necesse est, si idem honestum ac turpe. Et si virum quempiam honestum cognoverint, eundem etiam et turpem; si album quempiam, etiam et illum ipsum nigrum. Deosne venerari honestum? Venerari ergo quoque turpe. Et haec de omnibus dici supponantur. Sed memet converto ad rationes, quas illi afferunt. Si mulierem belle ornari honestum, et eandem ita ornari turpe, si pro eodem honestum ac turpe reputandum: parique ratione cetera. In Sparta puellas se exercitare honestum, in Sparta quoque puellas se exercitare turpe est: aliaque consimili modo. Dicunt autem, si quis turpia ex omni undequaque gente in medium adduceret, deindeque mandaret singulis ea, quae honesta putant, capere, omnes omnia sumpturos et pro honestis reportaturos. Mirum quid, si turpia in unum locum delata honesta fierent nec eadem manerent, qualia adducebantur. Si equos, boves, oves homines attulerint, non aliud certe asportarent: nec aurum ferentes aes domum reduxerint, aut plumbum referrent, quod argentum intulerint. Pro bonis ergo mala retulerunt. Age vero, si quis turpe quid adduceret, illud quoque bonum asportaret? Poetas autem testes inducunt, qui non pro rerum veritate, sed hominum delectatione carmina sua componunt.

DISSERTATIO III.

De justo et injusto.

Duo itidem feruntur sermones de justo et injusto. Etenim quidam aliud esse justum, aliud injustum putant, quidam vero idem utrumque, quam sententiam defendere conabor. Et primo ostendam, fallere et men-

ὡς δίκαιόν ἐστι λεξῶ, καὶ τὸ ἐξαπατᾷν. Τὼς μὲν πολεμίως ταῦτα ποιὲν, αἰσχρὸν καὶ πονηρὸν ἂν ἐξείποιεν· τὼς δὲ φιλτάτως, οὔ. αὐτίκα τὼς γονέας· αἰ γὰρ δέοι τὸν πατέρα ἢ τὰν ματέρα φάρμακόν τι ἐγκαταφαγὲν, καὶ μὴ θέλοι, οὐ δίκαιόν ἐστι καὶ ἐν τῷ ῥοφήματι καὶ ἐν τῷ ποτῷ δόμεν, καὶ μὴ φᾶμεν ἐνῆμεν; Οὔκων ἤδη ψεύδεσθαι καὶ ἐξαπατᾷν τὼς γονέας, καὶ κλέπτεν μὰν τὰ τῶν φίλων, καὶ βιῆσθαι τὼς φιλτάτως δίκαιον. Αὐτίκα αἴ τις λυπηθείς τι τῶν οἰκηΐων καὶ ἀχθεσθεὶς μέλλοι αὐτὸν διαφθείρεν ἢ ξίφει, ἢ σχοινίῳ, ἢ ἄλλῳ τινὶ, δίκαιόν ἐστι ταῦτα κλέψαι, αἰ δύναιτο, αἰ δὲ ὑστερίξαι καὶ ἔχοντα καταλάβοι, ἀφελέσθαι βίᾳ; Ἀνδραποδίξασθαι δὲ πῶς οὐ δίκαιον τὼς πολεμίως, αἴ τις δύναιτο ἑλὼν πόλιν ὅλαν ἀποδόσθαι; Τοιχωρυχὲν δὲ τὰ τῶν πολιτῶν κοινὰ οἰκήματα δίκαιον φαίνεται. αἰ γὰρ ὁ πατὴρ ἐπὶ θανάτῳ, κατεστασιασμένος ὑπὸ τῶν ἐχθρῶν, δεδεμένος εἴη, ἆρα οὐ δίκαιον διορύξαντα κλέψαι καὶ σῶσαι τὸν πατέρα; Ἐπιορκὲν δὲ αἴ τις ὑπὸ τῶν πολεμίων λαφθεὶς ὑποδέξαιτο, ὀμνύων, ἦ μὰν ἀφεθεὶς τὰν πόλιν προδώσεν, ἆρα οὗτος δίκαια ποιήσαι εὐορκήσας; Ἐγὼ μὲν γὰρ οὐ δοκῶ· ἀλλὰ μᾶλλον τὰν πόλιν, καὶ τὼς φίλως, καὶ τὰ ἱερὰ σῶσαι πατρώϊα, ἐπιορκήσας. Ἤδη ἄρα δίκαιον καὶ τὸ ἐπιορκεῖν, καὶ τὸ ἱεροσυλεῖν. Τὰ μὲν ἴδια τῶν πόλεων ἐῶ· τὰ δὲ κοινὰ τᾶς Ἑλλάδος, τὰ ἐκ Δελφῶν καὶ τὰ ἐξ Ὀλυμπίας, μέλλοντός τῶ βαρβάρω τὰν Ἑλλάδα λαβὲν, καὶ τᾶς σωτηρίας ἐν χρήμασιν ἐούσας, οὐ δίκαιον λαβὲν, καὶ χρῆσθαι ἐς τὸν πόλεμον; Φονεύεν δὲ τὼς φιλτάτως δίκαιον· ἐπεὶ καὶ Ὀρέστας καὶ Ἀλκμαίων, καὶ ὁ θεὸς ἔχρησε δίκαια αὐτὼς ποιῆσαι. Ἐπὶ δὲ τὰς τέχνας τρέψομαι, καὶ ταῦτα ποιητῶν. Ἐν γὰρ τραγῳδοποιΐᾳ καὶ ζωγραφίᾳ ὅστις πλεῖστα ἐξαπατῇ ὅμοια τοῖς ἀληθινοῖς ποιέων, οὗτος ἄριστος. Θέλω δὲ καὶ ποιήματα τῶν παλαιοτέρων μαρτύριον ἐπαγαγέσθαι. Κλεοβουλίνης·

tiri justum esse. Dicat igitur quispiam ita tractare inimicos turpe et improbum: amicissimos vero nequaquam, exempli causa parentes. Si enim oportet patrem et matrem medicamentum deglutire, nec volet, annon justum est sorbili quodam aut potu diffusum porrigere et inesse dissimulare? Justum igitur parentes mendacio fallere, ut et subripere bona amicorum, et carissimis vim inferre. Nam si quis ob res quasdam familiares graviter tristitia adfectus sibi letum consciscere cogitaret vel ensi vel resti vel alio telo, annon justum est hoc clanculum subripere, si quis possit, aut si tardior adveniens jam in manibus habentem deprehenderit, per vim auferre? Quis unquam dubitavit, annon justum esset, inimicos in servitutem rapere, si modo quis posset captam civitatem reddere libertati? Sed et aedes civium nostrorum publicas perrumpere justum videtur: nam si pater inimicorum factione oppressus in vinculis ad mortem servaretur, annon justum est effringendo carcerem abripere patrem et liberare? Nec non pejerare. Si quis enim ab hostibus captus juramento dato spondeat, se dimissum urbem suam proditurum, an ille sancte observans justa peraget? Ego certe non ita sentio: sed potius, si civitatem suam et amicos et templa patria perjurus conservet. Pejerare igitur *(nonnunquam)* justum est, ut et sacra spoliare. Quae privatim ad quamlibet civitatem spectant, praetermitto; sed totius Graeciae sacra publica e Delphis et Olympia, cum periculum sit, ne barbari Graeciam subjugarent, et spes salutis in sola pecunia ponatur, annon justum est desumere et in belli usus allocare? Justum etiam carissimos necare, cum id fecerint Orestes et Alcmaeon, et juste fecisse in oraculo pronunciavit deus. Ad artes me converto et poetarum inprimis. Etenim in conficiendis tragoediis et pingendi disciplina qui plurimum fallit, veris maxime similia confingens, is optimus. Veterum autem poemata in testimonium afferam. Cleobulines:

Ἄνδρ' εἶδον κλέπτοντα καὶ ἐξαπατῶντα βιαίως.

Καὶ τὸ βίᾳ ῥέξαι τοῦτο δικαιότατον.

Ἦν πάλαι ταῦτα. Αἰσχύλου δὲ ταῦτα·

Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

Ψευδῶν δὲ καιρὸν ἔσθ' ὅποι τιμᾷ θεός.

Λέγεται δὲ καὶ τῷδε ἀντίος λόγος· ὡς ἄλλο τὸ δίκαιον καὶ τὸ ἄδικόν ἐστι, διαφέρον, ὥσπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα· ἐπεὶ αἴ τις ἐρωτάσαι τὼς λέγοντας, ὡς τὸ αὐτό ἐστιν ἄδικον καὶ δίκαιον, αἴκα δή τι δίκαιον περὶ τὼς γονέας ἔπραξαν, ὁμολογοῦντι καὶ ἄδικον ἄρα. τὸ γὰρ αὐτὸ ἄδικον καὶ δίκαιον ὁμολογέοντι ἦμεν. Φέρε ἄλλον δὲ, ἄν τινα γινώσκῃ δίκαιον ἄνδρα, καὶ ἄδικον ἄρα τὸν αὐτὸν, καὶ μέγαν τοίνυν καὶ μικρὸν κατὰ ταυτόν. Καί τοι πολλὰ ἀδικήσας ἀποθανέτω πραξάμενος. Καὶ περὶ μὲν τούτων ἅλις. Εἶμι δὲ ἐφ' ἃ λέγοντες ἀξιόωντι τὸ αὐτὸ καὶ δίκαιον καὶ ἄδικον ἀποδεικνύεν. Τὸ γὰρ κλέπτεν τὰ τῶν πολεμίων δίκαιον καὶ ἄδικον ἀποδεικνύεν τοῦτ' αὐτὸ, αἴκ' ἀληθὴς ὁ τήνων λόγος, καὶ τἆλλα καττωὐτό. Τέχνας δὲ ἐπάγονται, ἐν αἷς οὐκ ἔστι τὸ δίκαιον καὶ τὸ ἄδικον. Καὶ τοὶ ποιηταὶ οὔτε ποτ' ἀλάθειαν, ἀλλὰ ποτὶ τὰς ἁδονὰς τῶν ἀνθρώπων τὰ ποιήματα ποιέοιντο.

ΔΙΑΛΕΞΙΣ Δ.

Περὶ ἀλαθείας καὶ ψεύδεος.

Λέγονται δὲ καὶ περὶ τῶ ψεύδεος καὶ τᾶς ἀλαθείας δισσοὶ λόγοι· ὧν ὁ μὲν φατὶ, ἄλλον μὲν τὸν ψεύσταν ἦμεν λόγον, ἄλλον δὲ τὸν ἀλαθῆ· τοὶ δὲ τὸν αὐτόν. αὖ κἠγώ. τῶδε λόγω. πρῶτον μὲν, ὅτι τοῖς αὐτοῖς ὀνόμασι λέγονται· ἔπειτα δὲ, ὅταν λόγος ῥηθῇ, ἂν μὲν, ὡς λέγηται ὁ λόγος, οὕτω γένηται, ἀλαθὴς ὁ λόγος, ἂν δὲ μὴ γένηται, ψευδὴς ὁ αὐτὸς λόγος. Αὐτίκα κατηγορεῖς ἱεροσυλίαν τῶ, αἴκ' ἐγένετο τὤργον, ἀλαθὴς ὁ λόγος· αἰ δὲ μὴ ἐγένετο, ψεύστας. καὶ τῶ ἀπολογουμένω ὥς γε ὁ λόγος. καὶ τά γε δικαστήρια τὸν αὐτὸν λόγον καὶ ψεύσταν καὶ ἀλαθῆ κρίνοντι. Ἐπεί τοι καὶ ἑξῆς

Cognovi quendam fallentem et vi spoliantem.
Vi facere hoc certe res magis aequa fuit.

Haec olim erant. Aeschyli vero ista:

Bonos nec ipse Jupiter spernit dolos.
Est tempus, quando mendacem laudat deus.

Dicitur autem alius sermo huic contrarius, aliud esse justum, aliud injustum, tam re quam nomine distinguendum: cum, si quis interroget idem utrumque asserentes, an justum quid parentibus praestiterint, injustos se quoque confitentur. Nam idem justum et injustum agnoscunt. Age vero, si quem alium justum cognoverint, etiam et illum injustum: si magis vel minus justum, eodem modo: et sane multa injusta perpetrans ob ista moriatur. Et de his quidem satis. Transeo autem ad ea, ex quibus illi idem justum et injustum flagitant. Hoc ipsa bona inimicorum subripere et justum et injustum ostendere licet, si vera sit illorum sententia, caeteraque pari ratione. Artes vero inducunt, in quibus justum et injustum non conspicitur. Et poetae non pro rerum veritate, sed hominum delectatione carmina componunt.

DISSERTATIO IV.

De veritate et falsitate.

Sed et de veritate et falsitate duplex fertur sententia; una quidem, alium esse sermonem verum, alium falsum, asserit, altera vero eundem utrumque. Igitur ipse illud primum ajo, quod iisdem verbis ambo dicuntur, dein postquam ex ore profertur sermo, si ita, ut dicitur, res ipsa facta fuerit, verus est sermo, si non facta, falsus ille ipse. Verbi causa, si sacrilegii quempiam insimules, si tale quid commissum, verus est sermo, si non commissum, falsus. Sic etiam se purgantis oratio talis est. Et judices in consessu eundem sermonem verum et falsum pro libitu decernunt. Imo

καθήμενοι ἂν λέγοιμεν· μύστας εἰμὶ, τὸ αὐτὸ μὲν πάντες ἐροῦμεν, ἀλαθὲς δὲ μόνος ἐγὼ, ἐπεὶ καὶ εἰμί. Δᾶλον ὦν, ὅτι ὁ αὐτὸς λόγος, ὅταν μὲν αὐτῷ παρῇ τὸ ψεῦδος, ψεύστας ἐστὶν, ὅταν δὲ τὸ ἀλαθὲς, ἀλαθὴς, ὥσπερ καὶ ἄνθρωπος τὸ αὐτὸ, καὶ παῖς, καὶ νεανίσκος, καὶ ἀνὴρ, καὶ γέρων ἐστίν.

Λέγεται δὲ καὶ ὡς ἄλλος εἴη ὁ ψεύστας λόγος, ἄλλος δὲ ὁ ἀλαθὴς, διαφέρων τὤνυμα· αἱ γάρ τις ἐρωτάσαι τὼς λέγοντας, ὡς ὁ αὐτὸς λόγος εἴη ψεύστας καὶ ἀλαθὴς, ὃν αὐτοὶ λέγοντι, πότερός ἐστιν· αἱ μὲν ψεύστας, δᾶλον ὅτι δύο εἴη· αἱ δ' ἀλαθὴς, ἀποκρίναιτο καὶ ψεύστας ὁ αὐτὸς οὗτος, καὶ ἀλαθές τι πόκα εἶπεν, ἢ ἐξεμαρτύρησε· καὶ ψευδῆ ἄρα τὰ αὐτὰ ταῦτα. Καὶ αἴ τινα ἄνδρα ἀλαθῆ οἶδε, καὶ ψεύσταν τὸν αὐτόν. Ἐκ δὲ τῶ λόγω λέγοντι ταῦτα, ὅτι γενομένω μὲν τῶ πράγματος, ἀλαθῆ τὸν λόγον, ἀγενήτω δὲ, ψεύσταν. Οὐκῶν διαφέρει αὖθις τὼς δικαστὰς, ὅτι κρίνοιντο οὐ γὰρ πάρεντι τοῖς πράγμασιν. Ὁμολογέοντι δὲ καὶ αὐτοὶ, ᾧ μὲν τὸ ψεῦδος ἀναμέμικται, ψεύσταν ἦμεν, ᾧ δὲ τὸ ἀλαθὲς, ἀλαθῆ. Τοῦτο δὲ ὅλον διαφέρει.

Ταυτὰ τοὶ μαινόμενοι καὶ τοὶ σωφρονοῦντες, καὶ τοὶ σοφοὶ καὶ τοὶ ἀμαθεῖς καὶ λέγοντι καὶ πράσσοντι. Καὶ πρῶτον μὲν ὀνομάζοντι ταυτὰ γᾶν, καὶ ἄνθρωπον, καὶ ἵππον, καὶ πῦρ, καὶ τἆλλα πάντα. Καὶ ποιέοντι ταὐτὰ, κάθηνται, καὶ ἔσθοντι, καὶ πίνοντι, καὶ κατάκεινται, καὶ τἆλλα καττωὔτό. Καὶ μὰν καὶ τωὔτὸ πρᾶγμα καὶ μέζον καὶ μῆόν ἐστι, καὶ πλέον καὶ ἔλασσον, καὶ βαρύτερον καὶ κουφότερον. οὕτω γὰρ εἴη ταὐτὰ πάντα. Τὸ τάλαντον ἐστὶ βαρύτερον τῆς μνᾶς, καὶ κουφότερον τῶν δύο ταλάντων· τωὔτὸν ἄρα καὶ κουφότερον καὶ βαρύτερον. καὶ ζώει ὁ αὐτὸς ἄνθρωπος καὶ οὐ ζώει, καὶ αὐτὰ ἐντὶ καὶ οὐκ ἐντί· τὰ γὰρ τῇδε ὄντα ἐν τῇ Λιβύᾳ οὐκ ἔστιν, οὐδέ γε τὰ ἐν Λιβύᾳ ἐν Κύπρῳ. καὶ τἆλλα κατὰ τὸν αὐτὸν λόγον. Οὐκῶν καὶ ἐντὶ τὰ πράγματα καὶ οὐκ ἐντί.

Τοί τινες λέγοντες, τὼς μαινομένως καὶ τὼς σοφὼς καὶ τὼς ἀμαθεῖς ταὐτὰ διαπράσσεσθαι καὶ λέγεν, καὶ τἆλλα ἑπόμενα τῷ λόγῳ, οὐκ ὀρθῶς λέγοντι. Αἱ γάρ τις αὐτὼς ἐρωτάσαι, αἱ διαφέρῃ μανία σωφροσύνης, καὶ σοφία ἀμαθίας,

et nos hic juxta sedentes si dicamus singuli: *Ego sum initiatus*, idem certe dicimus omnes, sed verum ego solus, cum et talis ipse sim. Clarum igitur, eundem sermonem, si illi falsitas adjungatur, falsum esse, sin veritas, verum. Sicut etiam hoc ipsum *homo* puerum, juvenem, virum, senem denotat.

Dicitur vicissim, alium esse sermonem verum, alium falsum et re ipsa et nomine differentem. Si quis enim eundem esse utrumque dicentes interrogaret, qualis sit sermo, quem ipsi asserunt: si falsum esse respondeant, constat, res diversus esse; sin verum, et falsus quoque ille ipse arguitur: et an quis vera quandoque dixerit aut antestatus sit? etiam et illa ipsa falsa: et si quis veracem virum cognoverit, et illum quoque mendacem. Absque ratione vero affirmant, re peracta, verum esse sermonem, non peracta, falsum. Nam tum maxime refert, quid decernant judices: rebus enim, dum transiguntur, non intersunt. Ipsi confitenter, cui immiscetur falsitas, falsum, cui veritas, verum. Hoc autem toto coelo differt.

Similiter autem insani et sobrii, docti et indocti et vocant res et agunt: primo ita vocant ista, terram, hominem, equum, ignem, ceteraque omnia: deinde eadem agunt: sedent, edunt, bibunt et decumbunt, similique modo cetera. Sed et eadem res et major et minor est, numerosior pauciorque, gravior et levior. Sic enim sint sane haec omnia: talentum mina ponderosius, duobus talentis levius; idem ergo gravius et levius. Ita etiam idem homo vivit et non vivit: eadem res est et non est: quae enim hoc loco sunt, in Africa non sunt; quaeque in Africa, non in Cypro, ceteraque pari ratione. Res igitur sunt et non sunt.

Qui vero asserunt, insanos et sapientes et indoctos similiter agere et appellare, ceteraque in isto sermone condita, non recte dicunt. Si enim quis ipsos interrogaret, an a sobrietate distinguatur insania, ab inscitia

φαντί· Ναί. Εὖ γὰρ καὶ ἐξ ὧν πράσσοντι ἑκάτεροι, δᾶλοι ἐντὶ, ὡς ὁμολογησοῦντι. Οὐκῶν καὶ ταὐτὰ πράσσοντι, καὶ τοὶ σοφοὶ μαίνονται, καὶ μαινόμενοι σοφοὶ, καὶ πάντα συνταράσσονται. Καὶ ἔτι ἅτερος λόγος, πότερον ἐν δέοντι τοὶ σωφρονοῦντες λέγοντι; ἢ τοὶ μαινόμενοι. Ἀλλὰ φαντὶ, ὡς ταὐτὰ μὲν λέγοντι, ὅταν τὶς αὐτὼς ἐρωτῇ· ἀλλὰ τοὶ μὲν σοφοὶ ἐν τῷ δέοντι, τοὶ δὲ μαινόμενοι, αἱ οὐ δεῖ· καὶ τοῦτο λέγοντες δοκοῦντι μικρὸν ποτιθῆναι· αἱ δεῖ καὶ αἱ μὴ δεῖ· ὥστε οὐ μηκέτι τωὐτὸ ἦμεν. Ἐγὼ δὲ οὐ πράγματος τοσούτω προστεθέντος ἀλλοιοῦσθαι δοκῶ τὰ πράγματα, ἀλλ' ἁρμονίας διαλλαγείσης· ὥσπερ Γλαῦκος καὶ γλαυκὸς, Ξάνθος καὶ ξανθὸς, Ξοῦθος καὶ ξουθός. ταῦτα μὲν ἁρμονίαν ἀλλάξαντα διήνεγκαν, τὰ δὲ μακρῶς καὶ βραχυτέρως ῥηθέντα, Τύρος καὶ τυρὸς, σᾶκος καὶ σάκος, ἅτερα δὲ γράμματα διαλλάξαντα, κάρτος καὶ κράτος, ὄνος καὶ νόος. Ἐπεὶ ὧν οὐκ ἀφαιρεθέντος οὐδενὸς τοσοῦτον διαφέρει, τί δὴ, αἴ τις ἢ ποτιτιθεῖ τι, ἢ ἀφαιρεῖ, καὶ τοῦτο δείξω οἷόν ἐντι. Αἴ τις ἀπὸ τῶν δέκα ἓν ἀφέλοι, οὐκ ἔτι δέκα οὐδὲ ἓν εἴη, καὶ τἆλλα καττωὐτό. Τὸ δὲ τὸν αὐτὸν ἄνθρωπον καὶ ἦμεν καὶ μὴ ἦμεν, ἐρωτῶ, τί ἢ τὰ πάντα ἐστί. Οὐκῶν αἴ τις μὴ φαίη ἦμεν, ψεύδεται, τὰ πάντα εἰπόντες, ταῦτα πάντα ὤν πῇ ἐντι.

ΔΙΑΛΕΞΙΣ Ε.

Περὶ τᾶς σοφίας καὶ τᾶς ἀρετᾶς, αἱ διδακτόν.

Λέγεται δέ τις λόγος οὔτ' ἀλαθὴς, οὔτε κενός· ὅτι ἄρα σοφία καὶ ἀρετὰ οὔτε διδακτὸν εἴη οὔτε μαθατόν. Τοὶ δὲ ταῦτα λέγοντες ταῖσδε ἀποδείξεσι χρῶνται, ὡς οὐχ οἷόν τε εἴη, ἂν ἄλλῳ παραδοίης, τοῦτο αὐτὸ ἔτι ἔχεν. μία μὲν δὴ αὕτα. ἄλλα δὲ, ὡς, αἱ διδακτὸν ἦν, διδάσκαλοί κα ἀποδεδεγμένοι εἶεν, ὡς τᾶς μωσικᾶς. τρίτα δὲ, ὡς τοὶ ἐν τᾷ Ἑλλάδι γενόμενοι σοφοὶ ἄνδρες τὰ αὐτῶν τέκνα ἂν ἐδίδαξαν καὶ τὼς φίλως. τετάρτα δὲ, ὅτι ἤδη τινὲς παρὰ σοφιστὰς

sapientia, confitentur statim. Constat enim ex his, quod faciunt alterutri, quod id agnoscant. Si enim eadem agant, sequitur, sapientes insanire, insanos sapere, et omnia sic perturbantur. Dein alia oritur quaestio, an quid opportune loquuntur sapientes aut insipientes? Ajunt vero, eadem utrosque dicere rogatos, sed sapientes opportune, insipientes autem, cum non decet. Hoc igitur asserentes parvum quiddam adjiciunt, videlicet *si decet*, vel *non decet*, unde sequitur, non idem esse. Ceterum ego tali quopiam adjecto res ipsas variari non arbitror, sed concentum immutatum, exempli gratia Γλαῦκος et γλαυκὸς, Ξάνθος et ξανθὸς, Ξοῦθος et ξουθὸς, haec enim variante concentu differunt: quaedam tardius vel celerius prolata, Τύρος et τυρὸς, σάκος et σακὸς. Alia literas transponunt, ut κάρτος, κράτος, ὄνος, νόος. Si itaque nihil dempto tanta est differentia, quid si quis aliquid adjiciat vel subtrahat? et hoc quale sit, ostendam. Si quis a numero denario unum auferat, nec unum est nec decem. Quantum autem ad illud, eundem hominem esse et non esse, rogo, an unum aliquod est vel omnia? Qui ergo dicit, non esse, mentitur, quia omnia cum dicunt, utique illa usquam esse oportet.

DISSERTATIO V.

An virtus et sapientia doceri possint.

Dicitur etiam sermo nec verus, nec tamen inanis, sapientiam et virtutem nec disci, neo doceri posse. Qui autem ita asserunt, his rationibus demonstrant, quia fieri non potest, ut, quod alii tradas, illud etiamnum ipse habeas: haec una ratio. Alia vero: si doctrina comparari posset, hujusce praeceptores exstarent, aeque ac musices. Tertia: tum etiam viri sapientes, quos tulerat Graecia, filios suos et amicos instituissent. Quarta: quosdam, qui sophistas frequentarunt, nihil percepisse

ἐλθόντες, οὐδὲν ὠφέληθεν. πέμπτα δὲ, ὅτι πολλοὶ οὐ συγγενόμενοι σοφισταῖς ἄξιοι λόγω γεγένηνται.

Ἐγὼ δὲ κάρτα εὐήθη νομίζω τόνδε τὸν λόγον. γινώσκω γὰρ τὼς διδασκάλως γράμματα διδάσκοντας, ἃ καὶ αὐτὸς ἐπιστάμενος τυγχάνει, καὶ κιθαριστὰς κιθαρίζεν. Πρὸς δὲ τὰν δευτέραν ἀπόδειξιν, ὡς ἄρα οὐκ ἐντὶ διδάσκαλοι ἀποδεδεγμένοι, τί μὰν τοὶ σοφισταὶ. διδάσκοντι, ἀλλ᾿ ἢ σοφίαν καὶ ἀρετάν; ἢ τί δὲ Ἀναξαγόρειοι καὶ Πυθαγόρειοι ἦεν; τὸ δὲ τρίτον, ἐδίδαξε Πολύκλειτος τὸν υἱὸν ἀνδριάντας ποιέν. Καὶ αἰ μέν τις μὴ διδάξῃ, οὐ σαμῆον· αἰ δ᾿ ἐντὶν διδάξαι, τεκμάριον ὅτι δυνατόν ἐντι διδάξαι. τέταρτον δὲ, αἰ μή τοι παρὰ σοφῶν σοφιστῶν σοφοὶ γίνονται. καὶ γὰρ γράμματα πολλοὶ οὐκ ἔμαθον μαθόντες. Ἔστι δέ τις καὶ φύσις. αἰ δέ τις μὴ μαθὼν παρὰ σοφιστῶν ἱκανὸς ἐγένετο εὐφυὴς, καὶ γενόμενος ῥαδίως συναρπάξαι τὰ πολλὰ ὀλίγα μαθὼν, παρ᾿ ὧνπερ καὶ τὰ ὀνύματα μανθάνομεν, καὶ τούτων τι ἤτοι πλέον, ἤτοι ἔλασσον· ὁ μὲν παρὰ πατρὸς, ὁ δὲ παρὰ ματρός. Αἰ δέ τῳ μὴ πιστόν ἐντι τὰ ὀνύματα μανθάνειν ἅμα, ἀλλ᾿ ἐπισταμένως ἅμα γίνεσθαι, γνώτω ἐκ τῶνδε· αἴ τις εὐθὺς γινόμενον παιδίον ἐς Πέρσας ἀποπέμψαι, καὶ τηνεὶ τράφοι, κωφὸν Ἑλλάδος φωνᾶς, περσίζοι κα· καὶ αἴ τις τηνόθεν τῇδε κομίζοι, ἑλλανίζοι κα. οὕτω μανθάνομες τὰ ὀνύματα, καὶ τὼς διδασκάλως οὐκὶ ἀκούομες. Ἤλεγκταί μοι ὁ λόγος, καὶ ἔχεις ἀρχὴν καὶ τέλος καὶ μέσην· καὶ οὐ λέγω, ὡς διδακτός ἐστιν, ἀλλ᾿ ὅτι οὐκ ἀποχρῶντι μοι τῆναι αἱ ἀποδείξεις.

Λέγοντι δέ τινες τῶν δημαγορούντων, ὡς χρὴ τὰς ἀρχὰς ἀπὸ κλάρω γίνεσθαι, οὐ βέλτιστα ταῦτα νομίζοντες. Εἰ γάρ τις αὐτὸν ἐρωτῴη τὸν ταῦτα λέγοντα, τί δὴ σὺ τοῖς οἰκέταις οὐκ ἀπὸ κλάρω τὰ ἔργα προστάσσῃς, ὅπως ὁ μὲν ζευγηλάτας, αἴκ᾿ ὀψοποιὸς λάχῃ, ὀψοποιῇ, ὁ δὲ ὀψοποιὸς ζευγηλατῇ, καὶ τἄλλα καττωὐτό; καὶ πῶς οὐ καὶ τὼς

commodi. Quinta: plures cum sophistis nunquam versatos celebres tamen evasisse.

Caeterum ego hunc sermonem valde fatuum arbitror. Etenim probe novi, praeceptores literas, et citharistas artem citharam pulsandi docere, quorum tamen ipsi periti manent. Ad secundam rationem: multos haberi magistros: quid aliud docent sophistae, quam virtutem et sapientiam? aut quare appellantur quidam Anaxagorei aut Pythagorei? d tertiam: Polycletus filium suum simulacra fingere docuit. Et si quis docere non volet, illud nequaquam arguit. Sed si licet, constat, quod doceri potest. Ad quartam respondeo: Quid si quidam sophistas doctos adeuntes, ipsi sapientes non evaserint? Nam et literas discentes plures non tamen attingunt; etenim multum valet indoles. Si quis autem sophistarum consortio non utens, idoneus evaserit, nempe is felici ingenio aptus natus fuit pauca discendo multam doctrinam arripere: ut a quibus rerum nomina discimus: et haec certe aliquando magis, aliquando minus: partim a patre, partim vero a matre. Sed si quis non credat, nomina addisci, sed cum scientia quadam simul exoriri, inde cognoscat. Si quis infantem statim, postquam natus est, in Persiam mittat, ibique educet Graecae linguae ignarum, Persice loquetur: si quempiam ibi natum huc transportaret, Graece sciet. Ita verba addiscimus, praeceptores non auscultantes. Si sermonem, quem primum dixi, redargui, principium, medium ac finem habes. Nec affirmo, virtutem doceri posse. Sed non mihi satisfaciunt ista argumenta.

At quidam populares concionatores afferunt, quod oportet magistratus sorte conferri, non recte quidem sentientes. Etenim interrogare licet talia dicentem, cur non et tu servis opera sorte distribuis, ita ut jugarius coqui officium sortitus opsonia paret, ut coquus plaustrum agat? caeteraque hujusmodi. Et quare non fa-

χαλκέας, καὶ τὼς σκυτέας συναγαγόντες καὶ τέκτονας καὶ χρυσοχόους διεκλαρώσαμεν καὶ ἠναγκάσαμεν, ἃν ἄν χ' ἕκαστος λάχῃ, τέχναν ἐργάζεσθαι, ἀλλὰ μὴ ἃν ἐπίσταται; Τωὐτὸν δὲ καὶ ἐν ἀγῶσι τᾶς μωσικᾶς διακλαρῶσαι τὼς ἀγωνιστὰς, καὶ ὅ, τι χ' ἕκαστος καὶ λάχῃ, ἀγωνίζεσθαι· αὐλητὰς κιθαριζέτω τυχὼν, καὶ κιθαρῳδὸς αὐλήσει· καὶ ἐν τῷ πολέμῳ τὼς τοξότας καὶ τὼς ὁπλίτας ἱππασεῖται, ὁ δὲ ἱππεὺς τοξεύσει, ὥστε πάντες ἃ οὐκ ἐπίστανται οὐδὲ δύνανται, οὐδὲ πραξοῦντι. Λέγοντι δὲ ἀγαθὸν ἦμεν καὶ δαμοτικὸν κάρτα· ἐγὼ ἥκιστα νομίζω δαμοτικόν. ἔντι γὰρ ἐν ταῖς πόλεσι μισόδαμοι ἄνθρωποι, ὧν αἴκα τύχῃ ὁ κύαμος, ἀπολοῦντι τὸν δᾶμον. ἀλλὰ χρὴ τὸν δᾶμον αὐτὸν ὁρῶντα αἱρεῖσθαι πάντας τὼς εὔνως αὐτῷ καὶ τὼς ἐπιτηδείως στραταγὲν, ἀτέρως δὲ νομοφυλακὲν, καὶ τἄλλα.

Ἀνδρὸς κατὰ τὰς αὐτὰς τέχνας νομίζω κατὰ βραχύ τε δύνασθαι καὶ ἀλέγεσθαι, καὶ ἀλάθειαν τῶν πραγμάτων ἐπίστασθαι, καὶ δικάσασθαι ὀρθῶς, καὶ δαμαγορὲν οἷόν τ' ἦμεν, καὶ λόγων τέχνας ἐπίστασθαι, καὶ περὶ φύσιος τῶν ἁπάντων, ὥς τε ἔχει καὶ ὡς ἐγίνετο, διδάσκεν. Καὶ πρῶτον μὲν ὁ περὶ φύσιος τῶν ἁπάντων εἰδὼς, πῶς οὐ δυνασεῖται περὶ πάντων ὀρθῶς καὶ πράσσεν; ἔτι δὴ ὁ τὰς τέχνας τῶν λόγων εἰδὼς ἐπιστασεῖται καὶ περὶ πάντων ὀρθῶς λέγεν, περὶ ὧν ἐπίσταται, περὶ τούτων λέγεν. δεῖ γὰρ τὸν μέλλοντα ὀρθῶς λέγεν, περὶ ὧν ἐπίσταται, περὶ τούτων λέγεν. πάντων γὰρ ἐπιστασεῖται. πάντων μὲν γὰρ τῶν λόγων τὰς τέχνας ἐπίσταται, τοὶ δὲ λόγοι πάντες περὶ πάντων των ε.... ** δεῖ δὲ ἐπίστασθαι τὸν μέλλοντα ὀρθῶς λέγεν περὶ ὅτων καὶ λέγοι, ** καὶ τὰ μὲν ἀγαθὰ ὀρθῶς διδάσκεν τὰν πόλιν πράσσεν, τὰ δὲ κακὰ τὼς κωλύειν. Εἰδὼς δέ γε αὐτὰ εἰδήσει καὶ τὰ ἄτερα τούτων· πάντα γὰρ ἐπιστασεῖται· ἔστι γὰρ ταῦτα τῶν πάντων, κεῖνα δὲ ποτὶ ταὐτὸν τὰ δέοντα πρασσεῖται. χρὴ κἂν μὴ ἐπίσταται αὐλὲν, αἴκα δέῃ τοῦτο

bros, sutores, structores, aurarios convocantes, sorte opera partiamur et cogamus quemlibet artem, quam sortitus est, exercere, non illam, qua instructus est? Eodemque recidit, si in musico certamine sorte designentur agonistae, et in eo, quod sortitus est, contendat quisque; ita fortasse tibicen citharam pulsabit, citharista tibia canet: et in bello continget sagittarios et graviter armatos equitare, equitem vero jaculari. Et sic omnes ea, quae nequaquam callent aut intelligunt, nunquam praestare possunt. At rem bonam et popularem esse clamitant. Sed ipse minime popularem credo: nam sunt quidam in civitatibus status illius hostes, in quos si faba inciderit, plebem destruent. Enimvero oportet, ut plebs ipsa prospiciens sibi benevolos eligat omnes, quosdam militum praefecturam gerere magis idoneos, quosdam legibus praesidere, et sic in caeteris.

Ego arbitror, virum posse tam continua oratione secundum artem, quam brevibus responsis disserere et rerum veritatem scire, et rite jus dicere: posse item concionem et artem oratoriam callere, et alios in rerum omnium natura instruere, ut se habent et generantur. Et primo, qui omnium naturam cognovit, quomodo omnia recte non peraget? dein qui rhetoricam artem callet, etiam de omnibus rebus optime perorabit. Etenim probe dicturum oportet de iis rebus concionari, quas novit: nam omnium peritum suppono. Omnium sermonum artem tenet, sermones autem omnes circa omnia cognoscibilia versantur: et certe qui rite concionari volet, eas res scire oportet, de quibus dicturus est. Sed et civitatem, ut quod bonum est agat, docere debet, et impedire, ne quid malum. Haec autem sciens alia ab his diversa cognoscet. Etenim omnium peritum suppono: nam etiam *ista* in eo verbo (*omnia*) continentur. Atque eadem quonam tempore decenter et opportune peragantur, cognoscet: ideoque, etsi tibia canere non potest, si tamen posset, quando oportune faciendum est,

πράσσεν. Τὸν δὲ δικάζεσθαι ἐπιστάμενον δεῖ τὸ δίκαιον ἐπίστασθαι ὀρθῶς, περὶ γὰρ τούτων τὸ δικάζεσθαι. εἰδὼς δὲ τοῦτο, εἰδήσει καὶ τὸ ὑπεναντίον αὐτῷ καὶ τὰ ** τέρεια. δεῖ δὲ αὐτὸν καὶ τὼς νόμως ἐπίστασθαι πάντας· αἰ τοίνυν τὰ πράγματα μὴ ἐπιστασεῖται, οὐδὲ τὼς νόμως· τὸν γὰρ ἐν μωσικᾷ νόμον τις ἐπίσταται, ὅσπερ καὶ μωσικὰν, ὃς δὲ μὴ μωσικὰν, οὐδὲ τὸν νόμον. ὃς γὰρ τὰν ἀλάθειαν τῶν πραγμάτων ἐπίσταται, εὐπετὴς ὁ λόγος, ὅτι πάντα ἐπίσταται· ὃς δὲ βραχὺ, δεῖ νιν ἐρωτώμενον ἀποκρίνεσθαι περὶ πάντων. οὐκῶν δεῖ νιν πάντ' ἐπίστασθαι.

Μέγιστον δὲ καὶ κάλλιστον ἐξεύρημα εὕρηται ἐς τὸν βίον, μνάμα, καὶ ἐς πάντα χρήσιμον, ἐς φιλοσοφίαν τε καὶ ἐς σοφίαν. ἔστι δὲ τοῦτο, ἐὰν προσέχῃς τὸν νοῦν, διὰ τούτων παρελθοῦσα γνώμα μᾶλλον αἰσθησεῖται σύνολον ὃ ἔμαθες, δευτέραν δὲ μελέταν, αἴ κα ἀκούσῃς. τὸ γὰρ πολλάκις ταὐτὰ ἀκοῦσαι καὶ εἶπαι ἐς μνάμαν παρεγένετο. τρίτον, αἴ κα ἀκούσῃς, ἔπειτα οἶδας καταθέσθαι, οἷον τόδε· δεῖ μεμνᾶσθαι Χρύσιππον, κατθέμεν ἐπὶ τὸν χρυσὸν καὶ τὸν ἵππον· ἄλλο, πυριλάμπη, κατθέμεν ἐπὶ πῦρ καὶ τὸ λάμπεν. Τάδε μὲν περὶ τῶν ὀνομάτων. Τὰ δὲ πράγματα οὕτως· περὶ ἀνδρείας ἐπὶ τὸν Ἄρη καὶ τὸν Ἀχιλλῆα· περὶ χαλκείας δὲ, ἐπὶ τὸν Ἥφαιστον· περὶ δειλίας, ἐπὶ τὸν Ἐπειόν.

intelligere debet. Porro qui judicis officium obire novit, oportet, ut, quod justum est, probe intelligat: in hoc enim versatur judicandi munus; hoc autem instructus contrarium etiam cognoscet. Sed et leges omnes tenere debet. Si vero res non cognoscat, nec etiam leges: etenim ille leges sive regulas musicae callet, qui musicam quoque ipsam; qui vero non musicam, nec ipsas regulas. Et qui rerum veritatem noscit, facile illi negotium est ad scientiam omnem pervenire. Quid multa? oportet illum interrogatum de omnibus respondere posse. Ergo necesse est, ut omnia intelligat.

Sed optimum fuit et in vitae commoda pulcherrimum inventum, memoriae artificium ad omnia utile, tam philosophiam quam sapientiam. Hoc enim in eo consistit, primo si animum admodum advertas. Nam tum mens una pertransiens, magis totum apprehendet, quod didiceris: secundo, si mediteris assidue audiendo: eadem enim saepius audire et repetere ad memoriam multum juvat: tertio, si rerum, quas audis, imagines reponere noveris, v. c. si *Chrysippum* meminisse voles, in *auri* et *equi* imagine conserves: si vermiculum *pyrilampen* appellatum, imagineris *ignem* et *splendere*. Haec quidem de verbis. De rebus autem hoc modo: quae ad fortitudinem spectant, in *Marte* et *Achille* reponenda: quae ad artem fabrilem, in *Vulcano*: quae ad timiditatem, in *Epeo*.

ΑΡΧΥΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ
ΤΑ ΛΕΙΨΑΝΑ.
Α. ΤΑ ΗΘΙΚΑ.

α. Ἐκ τῶν Ἀρχύτου ἐν τῷ περὶ τῶ ἀγαθῶ ἀνδρὸς καὶ εὐδαίμονος.

I. Πρᾶτον μὲν ὦν χρὴ τοῦτο γινώσκειν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ οὐκ εὐθέως εὐδαίμων ἐξ ἀνάγκας ἐντί, ὁ δὲ εὐδαίμων καὶ ἀγαθὸς ἀνήρ ἐντιν· ὁ μὲν γὰρ εὐδαίμων ἐξ ἐπαινετῶ καὶ μακαριστῶ γίνεται, ὁ δ' ἀγαθὸς ἀνὴρ ἐξ ἐπαινετῶ μόνον. Γίνεται δὲ ὁ μὲν ἔπαινος ἐπ' ἀρετᾷ, ὁ δὲ μακαρισμὸς ἐπ' εὐτυχίᾳ. καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἐπὶ τοῖς παρ' αὐτὸν ἀγαθοῖς γίνεται τοιοῦτος, ὁ δὲ εὐδαίμων ἐντὶ οὐκ ἀφαιρέεται τὰν εὐδαιμοσύναν· τᾶς μὲν γὰρ ἀρετᾶς ἀνυπεύθυνος ἁ δύναμις, τᾶς δ' εὐδαιμοσύνας εὐθυνομένα, νόσοι τε γὰρ μακραὶ σώματος καὶ παρώσιες αἰσθαταρίων ἀπομαραίνοντι τὰν εὐθάλειαν τᾶς εὐδαιμοσύνας.

II. Διαφέρει δὲ θεὸς ἀνθρώπω ἀγαθῶ, ὅτι θεὸς μὲν οὐ μόνον εἰλικρινῆ καὶ διυλισμέναν ἔχει τὰν ἀρετὰν ἀπὸ παντὸς τῶ θνατῶ πάθεος, ἀλλὰ καὶ τὰν δύναμιν αὐτᾶς ἄτρυτον πέπαται καὶ ἀνυπεύθυνον, ὡς πρὸς αἰωνίων ἔργων σεμνότατά τε καὶ μεγαλοπρέπειαν· ἄνθρωπος δ' οὐ μόνον τῷ θνατῷ τᾶς φύσιος καταστάματι μήονα ταύταν πέπαται, ἔντι δ' ὄκκα καὶ δι' ἀγαθῶν ἀμετρίαν, καὶ διὰ φύσιν μοχθαρὰν καὶ δι' ἄλλας αἰτίας πολλὰς ἀδυνατέει κατ' ἄκραν γενηθῆμεν παναλαθέως ἀγαθῶ.

ARCHYTAE TARENTINI PYTHAGOREI.

FRAGMENTA QUAE SUPERSUNT.

A. MORALIA.

a. *Ex libro de viro bono et beato.*

I. Primo itaque illud tenendum est, virum quidem bonum non statim esse necessario beatum, verum beatum etiam bonum esse. Ut enim beatus laudationem et felicitatis praedicationem, ita bonus laudationem duntaxat meretur: et laudatio quidem virtuti, altera (beatificatio *Conr. Gesn.*) felicitati contingit. Ac bonus quidem vir bonis, quae in ipso sunt, talis redditur, beatus vero interdum beatitate privatur. Virtutis enim facultas est libera, beatitatis non item. Nam et diuturni corporis morbi et orbationes sensoriorum efficiunt, ut vigor beatitatis marcescat.

II. Eo autem differt a viro bono Deus, quod Deus quidem non solum habet sinceram et defaecatam ab omni mortali affectu virtutem, verum etiam ejus facultatem tranquillam et liberam pro aeternorum factorum majestate ac magnificentia possidet: homo vero non tantum per humanam naturam eo minore fruitur, verum saepe, sive per bonorum (externorum) abundantiam, vel per potentem consuetudinem, vel per pravam naturam, vel aliis multis de causis non potest ad culmen veri boni attingere.

III. Φαμὶ δὴ τὸν ἀγαθὸν ἄνδρα τοῦτον ἦμεν, τὸν πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. οὗτος δέ κε εἴη ὁ εὐτυχίαν τε δυνάμενος καλῶς φέρεν καὶ πάλιν ἀτυχίαν, καὶ ὁ ἔν τέ τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γενόμενος τῶν ὑποκειμένων, καὶ, μεταβαλοίσας τᾶς τύχας, εὖ τὸ παρὸν ἐκδεχόμενος· αἱ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δέει φράσαι, ὁ ἐν πάντεσσι τοῖς καιροῖς καλῶς ἀγωνιζόμενος ἐκ τῶν ἐκδεχομένων, καὶ μὴ μόνον αὑ ἑωϋτὸν οὕτως διαθεὶς, ἀλλὰ καὶ τοὺς ἐμπιστεύσαντας αὐτῷ καὶ συναγωνισαμένους.

IV. Ἐπεὶ ὦν τῶν ἀγαθῶν ἃ μὲν αὐτά ἐντι διὰ ταυτὰ αἱρετὰ, οὐ μὰν δι' ἅτερον, ἃ δὲ δι' ἅτερον, οὐ μὰν διὰ ταυτὰ, ἦν ὦν καὶ τρίτον τι εἶδος ἅτερον ἀγαθῶν, ὧν καὶ διὰ ταυτὸν αἱρετόν ἐντι καὶ δι' ἅτερον. Τίν' ὦν ἐντὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν, ἅπερ αὐτὰ διὰ ταυτὰ αἱρετὰ πέφυκεν ἦμεν, οὐ μὰν δι' ἅτερον; φανερὸν ὅτι ἁ εὐδαιμοσύνα, ταύτας γὰρ ἕνεκα τὰ ἄλλα αἱρεόμεθα, αὐτὰν δὲ ταύταν οὐδενὸς ἁτέρω. Τίνα δὲ πάλιν ἐντὶ, ἃ δι' ἅτερον μὲν αἱρεόμεθα, (αὐτὰ δὲ ταυτὰ αἱρεόμεθα,) οὐ μὰν διὰ ταυτά γε; δᾶλον ὅτι τὰ ὠφέλιμα καὶ τὰ προαιρετικὰ τῶν ἀγαθῶν, ἅπερ αἴτια γίνεται τῶν αἱρετῶν, οἷον πόνοι μὲν σώματος, καὶ γυμνάσια, καὶ τρίψιες εὐεκτίας, ἀναγνώσιες δὲ καὶ μελέται καὶ ἐπιταδεύσιες καλῶν καὶ ἀρετᾶς. Τίνα δὲ καὶ διὰ ταυτὰ αἱρετὰ καὶ τὰ δι' ἅτερον; οἷον αἵ τε ἀρεταὶ καὶ αἱ ἕξιες αὐτᾶν, καὶ αἱ προαιρέσιες, καὶ αἱ πράξιες, καὶ πᾶν τὸ ἐχόμενον τᾶς τῶ καλῶ οὐσίας. Τὸ μὲν ὦν διὰ ταυτὸ αἱρετὸν, οὐ μὰν δι' ἅτερον, μονῆρες ἀγαθόν ἐντι καὶ ἕν· τὸ δὲ καὶ δι' αὐτὸ καὶ δι' ἅτερον τριχὰ δέδασται, τὸ μὲν γάρ τι αὐτῶ περὶ ψυχάν ἐντι, τὸ δὲ περὶ σῶμα, τὸ δέ τι ἐκτός· περὶ ψυχὰν μὲν αἱ τᾶς ψυχᾶς ἀρεταὶ, περὶ σῶμα δὲ αἱ τῶ σώματος, ἐκτὸς δὲ φίλοι, δόξα, τιμὰ, πλοῦτος. παραπλασίως δὲ καὶ τὸ δι' ἅτερον αἱρετὸν, τὸ μὲν γάρ τι αὐτῶ τὰ ποιατικὰ τῶν τᾶς ψυχᾶς ἀγαθῶν, περὶ σῶμα δὲ τὰ τῶ σώματος, ἐκτὸς δὲ τὰ αἴτια πλούτω καὶ δόξας καὶ τιμᾶς καὶ φιλίας. Ὅτι δὲ

III. Virum sane bonum eum esse dico, qui rebus magnis et temporibus recte utatur. Talis autem erit, qui prosperam fortunam novit recte ferre et adversam, quique rebus pulchris et praeclaris obeundis non sit impar: quique fortuna mutata praesentem statum boni consulat. Quod si compendio summatimque res est complectenda, is bonus dicendus, qui pro conditione temporum recte pro re nata se gerat, denique qui non seipsum modo sic composuerit, sed et alios ipsi fidentes ac rerum socios.

IV. Cum igitur ex bonis alia quidem propter se ipsa sint expetenda, nec ob aliud; alia vero propter aliud, nec propter se ipsa: reperire est et tertiam quandam speciem bonorum, quae et propter se sit expetenda et propter aliud. Quae igitur hujus generis erunt bona? In bonis, quae propter se nec propter aliud solent expeti, recensetur plane beatitudo: illius enim gratia reliqua expetimus, eam vero ipsam nullius alterius gratia. Quae vero sunt, quae propter alia, nec propter se ipsa appetimus? Nimirum eà sunt utilia et ea, quae bona promovent conciliantque, causaque sunt optabilium, ut labores quidem et exercitia gymnastica et frictiones bonae valetudinis, lectiones autem, meditationes et studia honestatis atque virtutis. Quae vero et propter se et propter aliud expetenda? nempe virtutes et habitus earum et electiones et actiones et quidquid cohaeret cum honesti ratione. Bonum igitur, quod propter se nec propter alterum eligendum sit, solum et unicum est. Quod vero et propter se et propter aliud, trifariam divisum est, partim enim in anima est, partim in corpore, partim extrinsecus: in anima quidem virtutes animae, in corpore vero corporis virtutes, extra hominem amici, gloria, honor, divitiae. Simili ratione et quod propter aliud expetitur. Est enim partim id omne, quod animi bona efficit, partim quod corporis quodque externorum praebet causam, scilicet divitiarum, gloriae,

τὰν ἀρετὰν ἦμεν συμβέβακεν αὐτὰν διὰ ταυτὰν αἱρετὰν, δᾶλον καὶ ἐκ τῶνδε· αἱ γὰρ τὰ καταδεέστερα τᾷ φύσει (λέγω δὴ τὰ σώματος ἀγαθὰ) αὐτὰ διὰ ταυτὰ αἱρεόμεθα, κρέσσον δὲ ψυχὰ σώματος, φανερὸν ὅτι καὶ τὰ τᾶς ψυχᾶς ἀγαθὰ αὐτὰ διὰ ταυτᾶ ἀγαπέομες, ἀλλ' οὐ διὰ τὰ ἀποβαίνοντα ἀπ' αὐτῶν.

V. Τῶ δ' ἀνθρωπίνω βίω καιροὶ τρεῖς, ὁ μὲν ἐν εὐτυχίᾳ, ὁ δὲ ἐν ἀτυχίᾳ, ὁ δὲ μεταξὺ τούτων. Ἐπεὶ ὦν ἀγαθὸς ἀνὴρ ὁ ἔχων ἀρετὰν καὶ ὁ χρεόμενος ἀρετᾷ, χρέεται δὲ αὐτᾷ κατὰ τὼς τρεῖς καιρὼς, ἢ γὰρ ἐν ἀτυχίᾳ, ἢ ἐν εὐτυχίᾳ, ἢ ἐν τοῖς μεταξὺ τούτων, καὶ ἐν ἀτυχίᾳ μέν ἐντι κακοδαίμων, ἐν εὐτυχίᾳ εὐδαίμων, ἐν δὲ τᾷ μέσᾳ καταστάσει οὐκ εὐδαίμων· φανερὸν ὦν ὅτι οὐδὲν ἅτερόν ἐντι εὐδαιμοσύνα, ἀλλὰ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ. Λέγομες δὲ νῦν εὐδαιμοσύναν τὰν τῶ ἀνθρώπω, ὁ δ' ἄνθρωπος οὐχ ἁ ψυχὰ μόνον, ἀλλὰ καὶ τὸ σῶμα, τὸ γὰρ ἐξ ἀμφοτέρων ζῶον, καὶ τὸ ἐκ τοιούτων ἄνθρωπος· καὶ γὰρ αἱ τᾶς ψυχᾶς ὄργανον τὸ σῶμα πέφυκεν, ἀλλὰ καὶ τῶ ἀνθρώπω μέρος, καὶ τοῦτο καὶ ἁ ψυχά. διὸ καὶ τῶν ἀγαθῶν ἃ μέν ἐντι ἀνθρώπω, ἃ δὲ τῶν μερέων· καὶ ἀνθρώπω μὲν ἀγαθὸν εὐδαιμοσύνα, τῶν δὲ μερέων τῶ ἀνθρώπω, ψυχᾶς μὲν, φρόνασις, ἀνδρεία, δικαιοσύνα, σωφροσύνα, σώματος δὲ, κάλλος, ὑγίεια, εὐεκτία, εὐαισθασία, τὰ δὲ ἐκτὸς (πλοῦτος καὶ δόξα καὶ τιμὰ καὶ εὐγένεια) πέφυκεν ἐπιγένναμα ἦμεν τῶ ἀνθρώπω, καὶ ἀκόλουθα φύσει προϋφεστακόσιν ἀγαθοῖς. Δορυφορεῖται τὰ μήονα τῶν ἀγαθῶν τὰ μέζονα, φιλία μὲν καὶ δόξα καὶ πλοῦτος σῶμα καὶ ψυχὰν, ὑγίεια δὲ καὶ ἰσχὺς καὶ εὐαισθασία ψυχὰν, φρόνασις δὲ καὶ ἀνδρία καὶ σωφροσύνα καὶ ἁ δικαιοσύνα τὸν νόον τᾶς ψυχᾶς, ὁ δὲ νόος τὸν θεόν. οὗτος γὰρ ὁ κράτιστός ἐντι καὶ ὁ ἁγεμονεύων· καὶ τούτων ἕνεκα καὶ τὰ ἄλλα τῶν ἀγαθῶν δεῖ παρῆμεν. Στρατεύματος μὲν γὰρ ἁγεῖται στραταγὸς, πλωτάρων δὲ ὁ κυβερνάτας, τῶ δὲ κόσμω θεὸς, τᾶς ψυχᾶς δὲ νόος, τᾶς δὲ περὶ τὸν βίον εὐδαιμοσύνας φρόνασις. οὐθὲν γὰρ ἅτερόν ἐντι φρόνασις, αἱ

honoris et amicitiae. Quod autem virtus colenda et propter se ipsam expetenda sit, hinc etiam colligitur. Si enim illa, quae inferiora sua natura sunt, puta corporis bona, propter se ipsa expetimus, anima autem praestantior corpore, nimirum animae quoque bona propter ipsa, non propter eorum effectus, expetemus.

V. Hominis vita tribus temporibus subjacet: aut enim felicitate fruitur, aut infortunio premitur, aut in medio utriusque fortunae degit. Cum igitur bonum censeamus virtute praeditum, et qui virtute utitur, utitur ille ea tribus temporibus, aut in infelicitate videlicet, aut in felicitate, aut rerum in statu mediocri. Atqui in adversa quidem fortuna est miser, in prosperitate felix, in statu vero medio non beatus. Liquet igitur, felicitatem esse nihil aliud quam usum virtutis in prospero rerum successu. Loquimur autem hoc loco de beatitate hominis. Homo autem non constat tantum anima, sed corpore quoque, nam ex utroque animal et hinc homo componitur. Quamvis enim corpus animae sit organum, tamen et hominis pars est; itidem et anima: ideoque et bona alia quidem sunt hominis, alia vero partium. Ac hominis quidem bonum felicitas, partium autem, animae quidem prudentia, fortitudo, justitia, temperantia: corporis vero forma, sanitas, bona habitudo, integritas sensuum: externa vero, opes, gloria, honor, nobilitas, solent accessoria esse hominis, et comitantia ea bona, quae natura potiora prioraque sunt: minora e bonis iis, quae majora sunt, quasi satellites, adstant, amicitia quidem et gloria et divitiae corpori atque animae, sanitas vero et robur et sensuum integritas animae: prudentia autem et fortitudo et temperantia et justitia intellectui animae: intellectus autem Deo ipsi: ille enim est supremus et gubernator, hujusque causa reliqua praesto sunt. Exercitui enim praeest imperator, nautis gubernator, mundo autem Deus, animae vero mens ipsa: felicitatem autem praesentis vitae temperat regitque prudentia: nihil enim aliud prudentia est, quam scien-

μὴ ἐπιστάμα τᾶς περὶ τὸν βίον εὐδαιμοσύνας ἢ ἐπιστάμα τῶν κατὰ φύσιν ἀνθρώπω ἀγαθῶν.

VI. Καὶ θεῶ μὲν εὐδαιμοσύνα καὶ βίος ἄριστος· τῶ δ' ἀνθρώπω ἐξ ἐπιστάμας καὶ ἀρετᾶς καὶ τρίτω εὐτυχίας σωματούμενα παραγίνεται. Λέγω δὲ σοφίαν μὲν ἐπιστάμαν τῶν θήων καὶ δαιμονίων, φρόνασιν δὲ τῶν ἀνθρωπίνων καὶ τῶν περὶ τὸν βίον. τὰς γὰρ λόγοις καὶ ἀποδείξεσιν ποτιχρωμένας ἀρετὰς δέον ἐπιστάμας ποταγορεύεν, ἀρετὰν δὲ τὰν ἠθικὰν καὶ βελτίσταν ἕξιν τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, καθ' ἂν καὶ ποιοί τινες ἦμεν λεγόμεθα κατὰ τὸ ἦθος, οἷον ἐλευθέριοι, δίκαιοι καὶ σώφρονες· εὐτυχίαν δὲ τὰν παρὰ τὸν λόγον τῶν ἀγαθῶν παρουσίαν, καὶ μὴ δι' αὐτὸν γινομέναν. Ἐπεὶ ὦν ἃ μὲν ἀρετὰ καὶ ἐπιστάμα ἐφ' ἁμῖν, ἃ δ' εὐτυχία οὐκ ἐφ' ἁμῖν· ἐν δὲ θεωρίαις καὶ πράξεσι τῶν καλῶν τὸ εὐδαιμονὲν, αἱ δὲ θεωρίαι καὶ αἱ πράξιες ποτάντεις μὲν οὖσαι λειτουργίαν καὶ ἀνάγκαν ἐπιφέροντι, εὐοδοῦσαι δὲ διαγωγὰν καὶ εὐδαιμοσύναν· γίνεται δὲ ταῦτα ἐν εὐτυχίᾳ· φανερὸν, ὅτι οὐδὲν ἅτερόν ἐντι εὐδαιμοσύνα, εἰ μὴ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ.

VII. Ὅτι ὁ ἀγαθὸς ἀνὴρ οὕτω διάκειται ποτ' εὐτυχίαν, ὥσπερ καὶ ὁ τῷ σώματι καλῶς ἔχων καὶ ῥωμαλέως, καὶ γὰρ ἐκεῖνος οἷός τε καὶ θάλπος καὶ ψύχος ὑπομένεν, καὶ βάρος ἆραι μέγα, καὶ πολλὰς ἀτέρας εὐχερῶς ὑπομένεν κακοπαθείας.

VIII. Ἐπεὶ ὦν εὐδαιμοσύνα χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ, περὶ ἀρετᾶς καὶ εὐτυχίας λέγωμες, καὶ πρᾶτον περὶ εὐτυχίας. τῶν γὰρ ἀγαθῶν ἃ μὲν οὐκ ἐπιδέχεται ὑπερβολὰν, οἷον ἀρετὰ, οὐ γάρ ἐντι ὑπερβάλλοισά τις ἀρετὰ, καὶ ὑπερβαλλόντως τὶς ἀγαθὸς, ἁ γὰρ ἀρετὰ στάθμαν ἔχει τὸ δέον, καὶ ἔντι τῶ δέοντος ἕξις ἐν τοῖς πρακτοῖς· ἁ δ' εὐτυχία καὶ τὰν ὑπερβολὰν ἐπιδέχεται καὶ τὰν μήωσιν, ὑπερβάλλοισα δὲ γεννᾷ τινας κακίας, καὶ ἐξίστησι τὸν ἄνθρωπον ἐκ τᾶς

tia quaedam ejus, quae in vita hac versatur, felicitatis, aut scientia bonorum, quae natura homini insunt.

VI. Ac Dei quidem beatitas atque vita optima propria est: hominis autem felicitas e scientia, virtute ac tertia fortuna prospera componitur. Appello autem sapientiam quidem cognitionem numinis rerumque divinarum, prudentiam vero humanarum rerum et earum, quae ad vitam spectant. Eas enim quae ratione et demonstratione utuntur virtutes fas est scientias appellare. Virtutem vero moralem et optimum animi partis ratione carentis habitum, secundum quem qualitatem aliquam moralem habere dicimur vocamurque v. c. liberales, justi et temperantes. Fortunam bonam vero bonorum, quae praeter rationem eaque non adhibita contingunt, affluentiam. Quoniam ergo virtus quidem et scientia nostri juris sunt, bona autem fortuna non item, in meditationibus autem et actionibus rerum honestarum situm sit, ut felicitate fruamur, contemplationes porro et actiones, cum non recte succedunt, ministerium et necessitatem, cum recte, delectationem et felicitatem adferant, eaque in prospera fortuna fiant, patet, nihil aliud esse felicitatem, quam usum virtutis in rebus secundis.

VII. Bonus vir sic affectus est erga fortunam secundam perinde ac is, qui integro est corpore et viribus pollet: talis enim et aestum et frigus potis est tolerare et pondus gestare ingens, multasque alias facile perferre aerumnas.

VIII. Cum igitur beatitas usus sit virtutis in fortuna bona, de virtute et bona fortuna dicendum erit, ac primo quidem de prosperitate. Bonorum siquidem quaedam non recipiunt excessum, ut virtus. Non enim est ulla virtus, quae excedat et exsuperet, aut ullus nimis, quam par sit, bonus. Nam virtus normam habet ipsum conveniens, estque convenientis decorique in rebus agendis habitus: prospera autem fortuna et excessum

κατὰ φύσιν ἕξιος, ὥστε πολλάκις ἀντιβαίνειν καὶ τᾷ συστάσει τᾶς ἀρετᾶς. καὶ οὐ μόνον ἁ εὐτυχία, ἀλλὰ καὶ ἅτεραι αἰτίαι πλέονες. οὐδέποκα γὰρ δέει θαυμαίνεν, περὶ μὲν αὐλατικὰν ἦμεν τινας ἀλαζόνας, οἳ τὰ ποτ᾽ ἀλάθειαν ἐάσαντες φαντασίᾳ τινὶ ψευδεῖ τᾶς ἀμούσως αἱρέοντι, περὶ δὲ τὰν ἀρετὰν μὴ ἦμεν τὸ τοιοῦτο γένος, ἀλλ᾽ ὅσσωπερ σεμνότερόν ἐντι, τοσούτῳ καὶ τὸ ποτιποιούμενον περὶ αὐτὰν πλέον ἦμεν γένος· πολλὰ γάρ ἐντι τὰ διαστρέφοντα τὰς περὶ τὰν ἀρετὰν ἐπιφανείας, ὧν ἓν μέν ἐντι τὸ τῶν ἐπιβουλευόντων καὶ ποτιποιουμένων γένος, ἅτερα δὲ φυσικὰ πάθεα παρακολουθέοντα ἐνίοκα ποιέοντι ἐναντίαν ἐπιπρέπειαν τᾶς ἀλαθινᾶς διαθέσιος, τινὰ δὲ καὶ δι᾽ ἔθος συντεθραμμένα ἐκ παλαιῶν χρόνων, οὐκ ὀλίγα δὲ καὶ δι᾽ ἁλικίας ἀβατικᾶς τε καὶ γεροντικᾶς, καὶ δι᾽ εὐτυχίας ἢ καὶ ἀτυχίας, καὶ δι᾽ ἀτέρως παμπλαθέας τρόπως, ὥστε οὐδέποκα δέει θαυμαίνεν, αἰ πάντ᾽ ἀντεστραμμένως ἐνίοκα κρίνεται, τᾶς ἀλαθινᾶς διαθέσιος μεταπιπτοίσας· ὥσπερ καὶ τέκτονα (τὸν ἄριστον ἦμεν δοκέοντα) πολλὰ ἐν τοῖς ὑποκειμένοις ἔργοις ὁρέομες ἁμαρτάνοντα, καὶ στραταγὸν, καὶ κυβερνάταν, καὶ γραφέα, καὶ πάντας ἁπλῶς, καὶ ὅμως οὐκ ἀποστερέομες τᾶς ὑπαρχοίσας ἕξιος, οὕτως οὐδὲ τὸν ἀκολασταίνοντα ἔν τισι καιροῖς, οὐδὲ τὸν ἀδικήσαντα, οὐδὲ τὸν ἀποδειλιάσαντα ἐς τὼς κακὼς τακτέον ἄνδρας, οὐδὲ μὰν τὼς τούτων τι κατορθώσαντας ἐς τὼς ἀγαθὼς, ἀλλὰ τοῖς τε φαύλοις τὸ τυχὸν ποτιδοκέεν, τοῖς τε ἀγαθοῖς τὸ διαμαρτάνεν, τὰν δὲ ἀλαθινὰν κρίσιν οὐ ποθ᾽ ἕνα καιρὸν ἀποβλέποντας, οὐδ᾽ ἐπὶ χρόνω τι πλᾶθος, ἀλλ᾽ ἐπὶ πάντα τὸν βίον. Ὥσπερ δὲ τὸ σῶμα βλάπτει μὲν καὶ τὸ τᾶς ἐνδείας καὶ τὸ τᾶς ὑπερβολᾶς εἶδος, οὐ μὰν ἀλλὰ νόσως τε μέζονας ἐμποιὲν πέφυκεν ἁ ὑπερβολὰ καὶ τὰ καλεόμενα περισσώματα, οὕτω καὶ ψυχὰν βλάπτει μὲν καὶ τὸ τᾶς εὐτυχίας ἢ ἀτυχίας εἶδος ἀκαίρως παραγενόμενον,

recipit et defectum: dumque excedit, gignit quaedam vitia ac hominem ab eo qui naturae respondet habitu transversum rapit, sic ut virtutis quoque constitutioni saepe reluctetur. Nec solum laetior fortuna, verum et aliae causae complures id faciunt. Neque enim mirandum est, cum inter tibicines quidam reperiantur, qui vera arte neglecta imagine quadam et specie falsa captant imperitos, idem et in virtute cerni. Imo quanto res est major et dignior virtus, tanto plura, quae sibi vindicent eam, sunt genera. Multa sunt enim, quae virtutis splendorem et faciem pervertunt ac mentiuntur: inter quae unum est insidiantium et simulantium genus: tum naturales motus et passiones virtutis comites interdum vertunt in contrarium decorem genuinae affectionis, quaedam vero etiam per consuetudinem connutrita jam inde a priscis temporibus, non pauca vero etiam per aetatem juvenilem et senilem, ad haec per fortunam bonam malamve, aliasque rationes complures. Quocirca mirandum non est, si omnia quandoque perverso judicio aestimantur, vero sinceroque animi habitu detorto immutatoque. Quemadmodum et fabrum, licet optimus habeatur, aliquoties inter operandum videmus peccare, similiter et imperatorem et gubernatorem et pictorem: tamen non negamus, quin artis habitum sibi acquisiverint: ita nec luxuriae vacantem temporibus quibusdam, aut injuste agentem, aut prae metu cunctantem, in numero improborum habebimus; nec contra, si quid aliqui horum recte egerint, in bonis viris numerabuntur, sed cum malis fortuitus casus attribuendus, tum bonis lapsus et error. Verum autem judicium non ad unum tempus aut longius temporis spatium, sed ad totius vitae cursum referemus. Porro ut corpus quidem laedit tam defectus, quam excessus species, graviores tamen morbos afferre solet excessus et superfluitates quae vocantur: sic et animam laedit tam prosperitatis quam calamitatis species, si intempestive

οὐ μὰν ἀλλὰ νόσως τε καὶ μέζονας ποιὲν πέφυκεν· ἁ λεγομένα παρὰ πάντεσσιν εὐτυχία, ὥσπερ οἶνος, καταμεθύσκοισα τοῖς ἀγαθοῖς τὰν διάνοιαν.

IX. Ὅθεν οὐκ ἀτυχίαν ἐνεγκὲν ἐμμελῶς χαλεπώτερόν ἐντι, ἀλλ' εὐτυχίαν, πάντες μὲν γάρ, ἐν ἀτυχίᾳ μὲν ὄντες, ὡς ἐπὶ πολὺ μέτριοι καὶ κόσμιοι τὸ ἦθος ἦμεν φαίνονται, ἐν δ' εὐπραγίαις ἀνδρῆοι, μεγαλόφρονες, μεγαλόψυχοι· δεινὰ γὰρ ἀτυχία συναγαγὲν καὶ καταρτίσαι τὰν ψυχάν, ἁ δ' εὐπραγία τοὔναντίον ἐπᾶραι καὶ κενῶσαι, διὸ ποθεκτικοὶ μὲν ἅπαντες καὶ συνετοὶ τὸν τρόπον ἀτυχέοντες, ἐπιθετικοὶ δὲ καὶ θαρσαλέοι τὸν τρόπον εὐτυχέοντες.

X. Ὅρος δὲ ἐντι εὐτυχίας, ἂν προέλοιτο ὁ ἀγαθὸς ἀνὴρ συνεργὸν αὐτῷ γενομέναν ποττὰς ἰδίας πράξιας, ὥσπερ καὶ μέγεθος ναός, καὶ μέγεθος πηδαλίω, ᾧ καθικνεῖσθαι δύναται ὁ ἀγαθὸς κυβερνάτας μεγάλα πελάγεα διαπεραιούμενος, καὶ μεγάλαν ναυκλαρίαν στελλόμενος· ἁ δὲ ὑπερβολὰ τᾶς εὐτυχίας τοῖς ἀγαθοῖς οὐ κρατεῖσθαι πέφυκεν ὑπὸ τᾶς ψυχᾶς, ἀλλὰ κρατὲν αὐτᾶς· ὥσπερ γὰρ τὸ λαμπρὸν φάος μαραυγίαν περιτίθησι τοῖς ὀφθαλμοῖς, οὕτῳ καὶ ἁ ὑπερβάλλοισα εὐτυχία τῷ νόῳ τᾶς ψυχᾶς. Καὶ περὶ μὲν ὧν εὐτυχίας ἅλις εἰρήσθω. [Στοβαῖος λόγ. ά. περὶ ἀρετῆς.]

XI. Φρόνιμος ἀνὴρ οὕτως ἂν μάλιστα γένοιτο· φύσιος πρᾶτον εὐστόχω τε καὶ μναμονικᾶς καὶ φιλοπόνω τυχών, ἐν λογισμοῖς τε καὶ μαθημάτεσι καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσαιτο τὴν διάνοιαν, φιλοσοφίας ἁπτόμενος ὀρθᾶς· μετὰ δὲ ταύτας θεῶν τε καὶ νόμων καὶ βίων ἀνθρωπίνων ἐμπειρίαν λάβοι· δύο γάρ ἐντι, ἐξ ὧν τῶ φρονίμω διάθεσις παραγίνεται, ὧν τὸ μὲν ἐντι ἕξιν μαθηματικάν τε καὶ γνωστικὰν λαβὲν, τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθόντα μὲν καὶ αὐτὸν ἰδόντα, τὰ δὲ καὶ δι' ἑτέρω τινὸς τρόπω κατανοήσαντα. Οὔτε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθημάτεσι καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσας τὰν διάνοιαν ἱκανός ἐντι ποτὶ φρόνασιν, οὔθ' ὁ τούτων μὲν ἀπολειφθεὶς, ἐν ἀκροαμάτεσι

ingruat: atqui languores graviores efficere solet, quae dicitur apud omnes bona fortuna, quae vini ad instar bonis viris mentem inebriat.

IX. Quamobrem non adversam fortunam commode ferre ardua res est, sed prosperam. Omnes etenim, quamdiu in miseria sunt, ut plurimum temperati modestique moribus esse videntur, in prospero autem rerum successu animosi, vehementes et superbi. Potens enim est calamitas ad contrahendum et componendum animum, successus rerum contra ad inflandum et inanem reddendum. Quo fit, ut cauti plerumque sint et prudentes infortuniis pressi, importuni vero molestique et ferociores, quibus res sunt secundae.

X. Finis autem quidam est prosperae fortunae, quam vir bonus in rebus agendis sociam exoptet, sicut mensura navis et clavi, quem prehendere et regere potest bonus gubernator, dum vasta maria transmittit ac longinquam navis gubernationem ingreditur. At si nimia obtingat prosperitas, animo non tam parere solet quam imperare. Ut enim lux nimia oculos, ita nimia prosperitas animi mentem (aciem) offendit. Ac de felicitate quidem hactenus. [*Stobaeus Serm. I. de virtute.*]

XI. Vir prudens ita fit maxime. Primum nactus sit oportet ingenium solers, memor ac labore valens: deinde statim a puero animum exerceat, ratiocinetur, circa mathemata et accuratas contemplationes et rectam philosophiam versetur; postea de diis et legibus et vitis hominum experientiam indipiscatur. Duo enim sunt, quae prudentis habitum gignunt, quorum primum est, ut mens disciplinis et cognitione sit munita, alterum, ut multas res partim ipse tractarit ac viderit, partim alio quovis modo perspectas habeat. Etenim neque is, qui mox ab incunabulis rationibus, disciplinis et exquisitis cogitationibus animum exercitavit, ad prudentiam aptus est, neque ille, qui his destitutus in multis aliis auditionibus et rebus experiundo versatus sit. Prior

δὲ πολλοῖς καὶ πραγμάτεσιν ἀναστραφθεὶς· ἀλλ' ὁ μὲν ἐν τῷ καθέκαστα κρινὲν τυφλὸς ἐγένετο τὰν διάνοιαν, ὁ δὲ ἐν τῷ καθόλω θεωρὲν ἀεί. Καθάπερ γὰρ ἐπὶ τῶν λογισμῶν δύναται ὁ λόγος τὰ μέρεα συντιθεὶς τὸ ὅλον ἐξ αὐτῶν λογίζεσθαι, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων δύναται ὁ μὲν λόγος τὴν καθόλω θεωρίαν ὑπογράφεν, ἁ δ' ἐμπειρία καθ' ἕκαστα κρίνεν. [Στοβ. λόγ. γ'. περὶ φρονήσεως.]

XI. α. Παραπλησίως δὲ καὶ γῆρας ἔχει ποτὶ νεότατα, καὶ ποιεῖ ἁ μὲν νεότας ἐγχειρητικῶς, τὸ δὲ γῆρας προνοατικῶς· καὶ μηδέποκα ἀφύλακτον αὐτὸ ἀφίεμεν διανοίας, ἀλλὰ καὶ τί πράσσει, καὶ τί πέπραχεν ἐπισκοπεῖ, ἵνα τὰ μὲν μέλλοντα τοῖς παρεόντεσσι σταθμευόμενος, τὰ δ' ἐνεστακότα τοῖς παρῳχημένοις, αὐτὸς αὑτε αὑτὸν διορθοῦν δύνηται, ποτὶ μὲν τὸν παροιχόμενον τὰν μνάμαν ἐφαρμόζων, ποτὶ δὲ τὸν παρεόντα τὰν αἴσθασιν, ποτὶ δὲ τὸν μέλλοντα τὰν πρόνοιαν. Ἔστι γὰρ ἀεὶ μνάμα μὲν ἁμῖν τῶ παρεληλυθότος χρόνω· πρόνοια δὲ τῶ μέλλοντος· αἴσθασις δὲ τῶ παρεόντος· διὸ δὴ δεῖ τὸν ὀρθῶς καὶ καλῶς βιοτεύειν μέλλοντα μὴ μόνον αἰσθατικὸν καὶ μναμονικὸν, ἀλλὰ καὶ προνοατικὸν ἦμεν. [Στοβ. λόγ. ριδ'. ἔπαινος γήρως.]

β. Ἐν τῷ περὶ τᾶς ἠθικᾶς παιδείας.

XII. Φαμὶ τὰν ἀρετὰν ἦμεν ποττὸ μὴ κακοδαιμονὲν ἱκανὰν, τὰν δὲ κακίαν ποττὸ μὴ εὐδαιμονὲν, αἴκα τὰς ἕξιας αὐτὰς κρίνωμες. Ἀεὶ μὲν γὰρ κακοδαιμονὲν ἀνάγκα τὸν κακὸν, αἴτε ἔχοι ὕλαν (κακῶς τε γὰρ αὐτᾷ χρῆται), αἴτε σπανίζοι· ὡς καὶ τὸν τυφλὸν, αἴτε φῶς ἔχει καὶ λαμπρότατα ὁρατὰν, αἴτε ἐν σκότει διατελεῖ· οὐκ ἀεὶ δὲ εὐδαιμονὲν τὸν ἀγαθὸν, οὐ γὰρ ἁ κτᾶσις τᾶς ἀρετᾶς εὐδαιμονία ἐντι, ἀλλὰ χρᾶσις, καὶ γὰρ ὁ ἔχων τὰν ὄψιν οὐχ ὁρῇ αἰεὶ, αἰ γὰρ μὴ ἔχοι φῶς, οὐκ ὄψεται. Δύο δὲ ὁδοὶ τέμνονται ἐν βίῳ, ἁ μὲν σκυθρωποτέρα, τὰν ὁ τλάμων ἐβάδιζεν Ὀδυσσεὺς, ἁ δ' εὐδιεινοτέρα, τὰν ἐπορεύετο Νέστωρ· τὰν ὦν ἀρετὰν φαμι δήλεσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. Ἀλλὰ τὰν

enim ad singularia perpendenda caecum habet animum, alter in universalium contemplatione nihil videt. Quemadmodum enim in computo ratio, quae partes conjungens totum ex ipsis resultans colligere potest: ita in rebus quoque ratio quidem speculationem universalem delineat, experientia vero singula judicat. [*Stob. Serm. III. de prudentia.*]

XI. a. Similiter senectus ad juventutem se habet. Haec aggrediendo quippiam praevalet: illa providendo: nunquam se ipsam sine mentis custodia relinquit, sed, quid agat et quid egerit, considerat: ut futura praesentium, praesentia autem praeteritorum collatione trutinant, ipsa sese dirigere possit: ad praeteritum tempus memoriam accommodans, ad praesens sensum, ad futurum vero providentiam. Semper enim memoria nobis adest praeteriti temporis, providentia futuri, praesentis autem sensus. Propterea hominem bene beateque victurum non sensu solum et memoria, sed etiam providentia valere oportet. [*Stob. Serm. CXIV. laus senectutis.*]

b. Ex libro de doctrina morali.

XII. Aio, virtutem ad miseriam, vitium vero ad beatitudinem fugiendam, si habitus ipsos inspiciamus, sufficere. Semper enim virum malum esse miserrimum necesse est, sive adsit materia, male enim ea utitur, sive ea careat, quemadmodum et caecus, sive lumen habeat splendoremque visibilem, sive in tenebris degat, caecus manebit. At bonum non semper beatum esse necessarium est, quandoquidem non in possessione virtutis, verum in usu beatitudo cernitur. Nam neque qui visu praeditus est, videt semper, si enim luce careat, nihil videbit. Duae autem viae in vita secantur, altera quidem horridior ac difficilior, qua patiens incessit Vlysses, altera vero planior laetiorque, quam Nestor tenuit. Virtutem igitur aio hanc quidem expetere, verum et illam ingredi posse. Sed beatitudinem natura

εὐδαιμονίαν καρύσσει ἁ φύσις βίον εὐκταῖον καὶ εὐστάθεα.... διὰ τὸ γνώμα τελεσθῆναι, ὥστε ἃ μὴ δήλητκί τις παριόντας, οὐκ εὐδαιμὼν μὲν, οὐ μὰν πάντως κακοδαίμων. Μὴ ὦν ἄνοσον καὶ ἀνάλγατον τολμώντων τὸν ἀγαθὸν εἰπὲν, μὴ ἄλυπον θρασυνέσθωσαν λέγεν, ὡς γὰρ σώματι ἀλγεινά τινα ἀπολείπομες, οὕτω καὶ ψυχαῖς ἐπώδυνα· ἀλλ' αἱ μὲν ἀφρόνων λῦπαι ἀλόγιστοι πέλονται, αἱ δὲ φρονίμων ἐς ὅσον ὁ λόγος ἐπιτρέπει ὁρίδδων τὰ πράγματα. ἀλλὰ μὰν καὶ τὸ καύχαμα αὐτῶν τᾶς ἀπαθείας ἐκλύει τᾶς ἀρετᾶς τὸ γενναῖον, αἴκα ἐν διαφόροις καὶ μεγάλοις κακοῖς θανάτῳ τε καὶ ἀλγαδόνι καὶ πενίᾳ ἀντιβέβάκῃ, εὐκαταγώνιστα γὰρ τὰ μικρὰ κακά. Ἀσκατέον ὦν πὸττὰν μετριοπαθίαν ἵεμεν, ὡς τό τε ἀνάλγατον ἐς ἴσον τῷ ἐκπαθεῖ φεύγομες, μηδὲ μεῖζον φύσιος τᾶς ἁμετέρας φθεγγόμεθα. [Στοβ. λόγ. ά. περὶ ἀρετῆς.]

γ. Ἐκ τοῦ περὶ σοφίας.

(*Ex Jamblichi Adhortat. ad Philosoph. Cap. IV. pag. 39 seqq. ed. Kiessling.*)

XIII. *) Ἀρχύτας τοίνυν ἐν τῷ περὶ σοφίας εὐθὺς ἀρχόμενος προτρέπει οὕτω·

§. 1. Τοσοῦτον διαφέρει σοφία ἐν πᾶσι τοῖς ἀνθρωπίνοις πράγμασιν, ὅσον ὄψις μὲν αἰσθασίων σώματος, νόος δὲ ψυχᾶς, ἅλιος δὲ ἄστρων. ὄψις τε γὰρ ἑκαβολεστάτα καὶ πολυειδεστάτα τᾶν ἀλλᾶν αἰσθασίων ἐντί, καὶ νόος ὕπατος λόγῳ καὶ διανοίᾳ τὸ δέον ἐπικραίνων, καὶ ὄψις καὶ δύναμις τῶν τιμιωτάτων ὑπάρχων. Ἅλιος γε μὰν ὀφθαλμός ἐντι καὶ ψυχὰ τῶν φύσιν ἐχόντων· ὁρῆται τε γὰρ δι' αὐτῶ πάντα καὶ γεννῆται καὶ νοῆται, ῥιζωθέντα καὶ γεννωθέντα δὲ τράφεται καὶ αὔξεται καὶ ζωπυρῆται μετ' αἰσθάσιος.

§. 2. Ἡ δὲ ἀπὸ τοῦ ὄντως ἀνθρώπου ὑπομιμνήσκουσα τῆς ἐπὶ τὰ αὐτὰ προτροπῆς διὰ τῶν ἑξῆς ἐπιδείκνυται τῶν οὕτω λεγομένων·

Ἄνθρωπος πάντων ζώων ἐπὶ πολλὸν γέγονε σοφώτα-

*) *Diductis exarata literis verba sunt Jamblichi, non Archytae.* [O.]

vitam optabilem atque firmam, quoniam perficiuntur animi consilia, praedicat. Quapropter qui, quae non desiderat, omittit, ut beatus non est, ita nec plane est miser. Nec igitur morbi et doloris expertem audeant bonum pronuntiare, nec vacuum omni moerore temere et confidenter dicant: sicut enim corpori dolorem ferentia quaedam relinquimus, sic et animis, quae dolorem pariant. Veruntamen stultorum dolores ratione carent, sapientum vero non ulterius, quam ratio rebus modum ac terminum figens permittit, progrediuntur. Sed et ipsorum de indolentia jactatio virtutis generositatem tollit, si arduis et non parvis malis, morti nempe, dolori et paupertati, contra eat. Facile enim superantur, quae mala parva sunt. Exercendi igitur sumus, ut mediocritatem affectuum attingamus, quo et doloris immunitatem aeque ac excessum vitemus, nec majora jactemus, quam natura nostra patitur.

c. *Ex Libro de Sapientia.*

XIII. *Archytas igitur in libro de sapientia initio statim hunc in modum cohortatur:*

§. 1. Tantum praestat sapientia omnibus in rebus humanis, quantum visus in sensibus corporis, mens in animo, sol in astris. Visus enim reliquorum sensuum longissime projicitur, maximaque varietate valet, mens summum locum tenet, ratione et cogitatione id quod oportet perficiens, atque visus et facultas praestantissimarum imaginum recipiendarum. Praeterea sol est oculus et anima eorum, quae rerum natura continentur. Eo enim cernuntur omnia et gignuntur atque intelliguntur, radicibus firmata et genita nutriuntur, erescunt et sensus vi excitantur.

§. 2. *Ea autem cohortatio, quae ab hominis natura exorsa idem commonefacit, verbis, quae deinceps leguntur, ita exprimitur:*

Homo omnium animantium longe est sapientissi-

τος· Θεωρῆσαί τε γὰρ δυνατός ἐντι τὰ ἐόντα καὶ ἐπιστάμαν καὶ φρόνασιν λαβὲν ἐκ τῶν ἁπάντων. Παρὸ καὶ ἐνεχάραξε καὶ ἐπεσημήνατο τὸ θεῖον αὐτῷ τὸ τῶ παντὸς λόγω σύσταμα, ἐν ᾧ τά τε εἴδεα πάντα τῶ ἐόντος ἐνδέδασται καὶ ταὶ σημασίαι τῶν ὀνυμάτων. Τοῖς μὲν γὰρ φθόγγοις τᾶς φωνᾶς τόπος ἀφώρισται φάρυγξ καὶ στόμα καὶ ῥῖνες. Ὥσπερ δὲ τῶν φθόγγων, δι' ὧν τὰ ὀνύματά τε καὶ ῥήματα τυπούμενα σημαίνεται, γέγονεν ἄνθρωπος ὄργανον· οὕτω καὶ τῶν νοαμάτων ἐν τοῖς ἐόντεσσι ἀπτιζομένοις θεαρός. Καὶ τοῦτο δοκεῖ μοι ἦμεν, ποθ' ὅπερ καὶ γέγονε καὶ συνέστα ὁ ἄνθρωπος, καὶ ὄργανά τε καὶ δυνάμεις εἴλαφε παρὰ τῶ θεῶ.

§ 5. Γέγονε καὶ συνέστα ὁ ἄνθρωπος ποτὸ θεωρῆσαι τὸν λόγον πᾶς τῶ ὅλω φύσιος, καὶ τᾶς σοφίας ὦν ἔργον κτᾶσθαι καὶ θεωρὲν τὰν τῶν ἐόντων φρόνασιν.

§. 4. Ἀ σοφία οὐ περί τι ἀφωρισμένον ἐντὶ τῶν ἐόντων, ἀλλ' ἁπλῶς περὶ πάντα τὰ ἐόντα, καὶ δεῖ μὴ πρώταν αὐτὰν τὰς ἀρχὰς αὐτᾶς ἀνευρέσθαι, ἀλλὰ τὰς κοινὰς τῶν ἐόντων ἁπάντων ἀρχάς. οὕτω γὰρ ἔχει σοφία περὶ πάντα τὰ ἐόντα, ὡς ὄψις περὶ πάντα τὰ ὁρατά. τὰ ὦν καθόλω πᾶσι συμβεβακότα συνιδὲν καὶ θεωρὲν τᾶς σοφίας οἰκῆον, καὶ διὰ τοῦτο σοφία τὰς τῶν ἐόντων ἁπάντων ἀρχὰς ἀνευρίσκει.

§. 5. Ἐν δὲ τῷ τέλει τοίνυν πρὸς αὐτὸ τὸ ἀκρότατον ἄνεισιν ἡ παράκλησις ὧδέ πως·

Ὅστις ὦν ἀναλῦσαι οἷός τ' ἐστὶ πάντα τὰ γένεα ὑπὸ μίαν τε καὶ τὰν αὐτὰν ἀρχὰν, καὶ πάλιν συνθεῖναί τε καὶ συναριθμήσασθαι, οὗτος δοκεῖ μοι καὶ σοφώτατος ἦμεν καὶ παναλαθέστατος, ἔτι δὲ καλὰν σκοπιὰν εὑρηκέναι, ἀφ' ἇς δυνατὸς ἐσσεῖται τὸν θεὸν κατοψεῖσθαι καὶ πάντα τὰ [ἐν] τᾷ συστοιχείᾳ καὶ τάξει τὰ ἐκείνω κατακεχωρισμένα, καὶ ταύταν τὰν ἁρματήλατον ὁδὸν ἐκπορισάμενος τῷ νόῳ κατ' εὐθεῖαν ὁρμαθῆμεν καὶ τελεοδρομῆσαι τὰς ἀρχὰς τοῖς πέ-

mus. Contemplari enim potest ea, quae sunt, et ı
tiam prudentiamque ex omnibus colligere. Qu
pter etiam numen in eo expressit et designavit omni
monis systema, in quo et omnes ejus, quod est, fı
et significationes nominum verborumque dispe
sunt. Soni enim vocis locum sejunctum habet g
os et nares. Quemadmodum autem sonorum, q
nomina et verba efficta significantur, instrume
homo est: ita etiam cogitationum in rebus consid
dis. Munus sapientiae hoc mihi videtur esse, ad
factus constitutusque homo est, atque instrume
facultates a deo accepit.

§. 3. Factus et constitutus est homo ad co
plandam rationem naturae universi: itaque ad sa
tiam comparandam et intelligentiam, quae in rebu
nitur, considerandam.

§. 4. Sapientia non versatur circa eorum, qua
unum quoddam separatum, sed circa omnia on
quae sunt, neque ab ea primum oportet investigari
cipia ipsa, sed communia omnium, quae sunt,]
pia. Eadem enim sapientiae est ad omnes res c
ratio, quae visus ad omnia, quae sub oculorum
ctum veniunt. Ergo quae universe omnibus sunt
buta, haec intelligere et considerare sapientiae e
nus, et hacpropter sapientia omnium rerum pr
investigat.

§. 5. *Postremo ad illud ipsum, quod summu
cohortatio ita adscendit:*

Quicunque dissolvere potest omnia genera sub
idemque principium, iterumque componere et
merorum rationem construere, hic mihi videtur
pientiam et veritatem proxime accessisse; pr
etiam commodam speculam nactus esse, unde possi
intueri et omnia, quae in rerum consertione et
ab eo facto suis locis sunt posita et collocata, et]
regia potitus mente recta progredi cursumque pe

ρασι συνάψαντα καὶ ἐπιγνόντα, ὅτι ὁ θεὸς ἀρχά τε καὶ τέλος καὶ μέσον ἐντὶ πάντων τῶν κατὰ δίκαν τε καὶ τὸν ὀρθὸν λόγον περαινομένων.

*) δ'. Ἐκ τοῦ περὶ νόμου καὶ δικαιοσύνης.

XIV. Πονηρῶν ἀθέων νόμοι θεῶν ἄγραφοι ἀντινομιζόμενοι πονηρὰν μοῖραν καὶ ζημίαν τῷ μὴ πειθομένῳ διδόντες, πατέρες καὶ ἡγεμόνες τῶν γεγραμμένων νόμων καὶ δογμάτων ἀνθρώποις τεθέντων. Ἔπειτα γὰρ τέττορες αἰτίαι τὰ σύμπαντα περαίνοντι, καὶ ἐπὶ τέλος ἐπιτιθέντι, φύσις καὶ νόμος, καὶ τέχνα καὶ τύχα. Καὶ τῶν μὲν ἐξ ἄθεος ποτὶ συμφωνίαν πολιτικῶν φερόντων, νόμος καὶ ἐπιστάτης καὶ δημιουργός· τῶν δὲ διὰ φρονήσιος ἀνθρωπίνας τελεσθέντων, τέχνα λέγοιτο δικαίως μάτηρ τε καὶ ἡγεμὼν ἦμεν· τῶν δὲ εἰκᾷ τε καὶ ὡς ἔτυχεν ἀπὸ τῶ αὐτομάτω ὁμοίως μεταπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς, τύχαν τῶν τοιούτων αἰτίαν φάσκομεν· ταύταν δ' οὔτ' ἐν μέτρῳ, οὔτ' ἐν ὅρῳ τεταγμέναν, καὶ πεφρονηκυῖαν ἕκαστα ποιεῦν· γενναθεῖσα δὲ ἃ ἐξ αὐτῶν τῶ γένεος ἄμφω κινέεται.

XV. Φαμὶ δὴ ἐγὼ πᾶσαν κοινωνίαν ἐξ ἄρχοντος καὶ ἀρχομένω συνεστάμεν, καὶ τρίτον νόμων. Νόμων δὲ ὁ μὲν ἔμψυχος, βασιλεύς· ὁ δὲ ἄψυχος, γράμμα. Πρῶτος ὦν ὁ νόμος. Τούτῳ γὰρ ὁ βασιλεύς, νόμιμος, ὁ δ' ἄρχων, ἀκόλουθος, ὁ δ' ἀρχόμενος, ἐλεύθερος, ἁ δ' ὅλα κοινωνία εὐδαίμων· καὶ τούτων παραβάσει μὲν βασιλεὺς τύραννος, ὁ δὲ ἄρχων ἀνακόλουθος, ὁ δ' ἀρχόμενος δοῦλος, ἁ δ' ὅλα κοινωνία κακοδαίμων. Συνείρονται γὰρ ταὶ πράξεις ἐκ τῶ ἄρχεν καὶ τῶ ἄρχεσθαι, καὶ τρίτον ἐκ τῶ κρατέν. Τὸ μὲν ὦν ἄρχεν τῶ κρείσσονος οἰκῆον, τὸ δ' ἄρχεσθαι τῶ χερήονος, τὸ δὲ κρατὲν ἀμφοτέρων. Ἄρχει μὲν γὰρ τὸ λόγον

*) *Placuit omnia quotquot aetatem tulerunt Fragmenta Archytae cum genuina tum supposititia hoc volumine conjungere: quamobrem etiam pauca illine Fragmenta Politica, ad Tomum hujus col-*

(poterit) initia finibus connectens et intelligens, Deum esse initium, finem et medium omnium, quae recta et ad justam rationem perficiuntur.

d. Ex Libro de Lege et Justitia.

XIV. Adversus improbos mores ac consuetudines existunt Deorum non scriptae leges malam sortem poenamque non obedienti inferentes, parentes ac principes scriptarum legum et constitutionum inter homines. — Quatuor porro causae sunt, quae omnia perficiunt et ad finem perducunt, natura, lex, ars et fortuna. Et eorum quidem, quae ex moribus fluentia ad concordiam in civitate servandam conducunt, magister neque ac opifex lex est; eorum vero, quae prudentia hominum perficiuntur, artem et matrem et ducem recte quis dixerit; eorum tandem, quae casu et temere ac fortuito similiter accidunt et bonis et malis, causam fortunam dicimus: hanc autem nec mensura quadam et ordine progredientem, nec terminis circumscriptam, curantemque omnia facere — — — — — — — — — — —

XV. Universa hominum communio, ut mihi quidem videtur, constat ex eo qui imperat et iis qui sunt imperio subjecti; cui tertium accedit, scilicet leges. Legum autem alia est animata, nempe lex; alia inanimata, scriptum. Prima igitur lex. Quae si observetur, rex erit legitimus, magistratus vero (legi) consentaneus, subditus autem liber, porro tota communio felix. Sin vero violetur a rege, tyrannus fiet, magistratus officio suo deerit, subditus vero servus fiet, tota denique communio infelix futura est. Quippe omnes actiones ex tribus sunt compositae, ex imperando, obediendo et vincendo. Ergo imperium praestantioris est proprium, obedire deterioris, vincere utriusque. Imperat autem pars illa animae, quae rationem habet, pa-

---

lectionis quintum, qui inter alia Pythagoreorum veterum Fragmenta Politica continebit, pertinentia, huc traduximus.

ἔχον τᾶς ψυχᾶς, ἄρχεται δὲ τὸ ἄλογον· κρατοῦντι δὲ τῶν παθέων ἀμφότερα· γίνεται γὰρ ἐκ τᾶς ἑκατέρων συναρμογᾶς ἀρετά. αὐτὰ δὲ καὶ ἀπὸ τῶν ἁδονᾶν καὶ ἀπὸ τῶν λυπᾶν ἐς ἀρεμίαν καὶ ἀπάθειαν ἀπάγει τὰν ψυχάν.

XVI. Συμφέροντι δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελὴς ὁ νόμος, κοινωφελὴς δέ, καὶ διὰ πάντων διατείνων. Δεῖ δὲ καὶ ποτὶ τὰν χώραν καὶ ποτὶ τὼς τόπως ἀποβλέπειν τὸν νόμον. οὔτε γὰρ γᾶ τὼς αὐτὼς καρπὼς, οὔτε ψυχὰ ἀνθρώπων τὰν αὐτὰν ἀρετὰν παραδέξασθαι δύναται.

XVII. Δεῖ δὲ τὸν νόμον τὸν κάῤῥονα καὶ τὰν πόλιν ἐκ πασᾶν σύνθετον εἶναι τᾶν ἄλλᾶν πολιτειᾶν, καὶ ἔχεν τι δαμοκρατίας, ἔχεν τι ὀλιγαρχίας, ἔχεν τι βασιλείας καὶ ἀριστοκρατίας. Ὥσπερ καὶ ἐν Λακεδαίμονι· τοὶ μὲν γὰρ βασιλέες, τᾶς μοναρχίας· τοὶ δὲ γέροντες, τᾶς ἀριστοκρατίας· τοὶ δ' ἔφοροι τᾶς ὀλιγαρχίας· ἱππαγρέται δὲ καὶ κόροι, τᾶς δαμοκρατίας. Δεῖ δὲ τὸν νόμον μὴ μόνον ἀγαθὸν καὶ καλὸν ἦμεν, ἀλλὰ καὶ ἀντεπεπονθέναι τοῖς αὐτῶ μερέεσσιν. Οὕτως γὰρ ἰσχυρὸς καὶ βέβαιος. Τὸ δὲ ἀντιπεπονθέναι λέγω αὐτῶ καὶ ἄρχεν καὶ ἄρχεσθαι τὰν αὐτὰν ἀρχὰν, ὥσπερ καὶ ἐν τᾷ εὐνομωτάτᾳ Λακεδαίμονι· τοῖς μὲν γὰρ βασιλεῦσιν οἱ ἔφοροι ἀντικάθηνται, τούτοις δ' οἱ γέροντες, μέσοι δ' οἱ κόροι καὶ ἱππαγρέται. ἐφ' ὃ γὰρ ἂν ῥέψοντι τοὶ πλεονεκτέοντες τῶν ἀρχόντων, οὗτοι τοῖς ἄλλοις ὑποτίθενται.

XVIII. Δεῖ τὸν νόμον τὰ περὶ θεοὺς καὶ δαίμονας καὶ γονέας, καὶ ὅλως τὰ καλὰ καὶ τίμια πρᾶτα τίθεσθαι, δεύτερον δὲ τὰ συμφέροντα, (τὰ γὰρ μήονα τοῖς μείζοσιν ἀκολουθεῖν ποθάκει·) καὶ μὴ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν, ἀλλ' ἐν τοῖς ἤθεσι τῶν πολιτευομένων. Οὐδὲ γὰρ

ret, quae ratione destituitur, utraque vero perturbationes vincit. Fit enim ex utriusque conjunctione virtus: ipsa vero a voluptatibus et moeroribus in tranquillitatem et perturbationum immunitatem animum abducit.

XVI. Ad civilem communionem conducet, si lex non monarchica fuerit, neque ad privatam quorumdam, sed ad communem utilitatem instituta, et ex aequo ad omnes pertinens. Oportet autem, ut lex regionis et locorum rationem habeat. Neque enim omne solum fert omnia, nec omnium hominum animi earundem virtutum capaces sunt.

XVII. Oportet vero et legem, quae excellat, et civitatem ex omnibus rerum publicarum formis esse conflatam, ita ut aliquid dominatus popularis, aliquid paucorum, aliquid regii, aliquid optimatum in se complectatur. Ad hunc modum Lacedaemoniorum respublica composita est: in ea enim reges tenent unius imperium, seniores optimatum dominationem, ephori paucorum potestatem, hippagretae vero et juniores (cori) popularem statum. Porro legem non solum bonam et honestam esse oportet, verum etiam ita compositam, ut suis sive reipublicae partibus singulis aliquid opponat. Sic enim firma et constans futura est. Partibus singulis opponi aliquid dico, cum idem magistratus aliis imperat, aliis obedientiam praestat: id quod itidem fit in optimis legibus constituta Lacedaemone: regibus enim opponuntur ephori, his senes, medii vero sunt juniores (cori) et hippagretae: in quamcunque enim partem imperii momentum nimis inclinet, illi se ad alias adjungunt partes.

XVIII. Oportet ante omnia lege sanciri, quae ad deos, daemones et parentes spectant, et in summa quae honesta sunt et egregia, secundo loco quae utilia. (Convenit enim, ut minora majoribus postponantur ac succedant.) Decet porro in animis potius civium quam in domibus ostiisque inscriptas esse leges. Si quidem

ἐν Λακεδαίμονι τᾷ εὐνομωτάτᾳ πλάθει γραμμάτων ἁ πάλις διοικεῖται, πολὺ δὲ μᾶλλον ἐν ταῖς τρόποις τῶν πολιτευομένων. Συμφέροντι δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελὴς, κοινωφελὴς δὲ καὶ διαπαντὸς διατείνων ὁ νόμος, καὶ τὰν ζημίαν ἐς τὰν αἰσχύναν καὶ τὰν ἀτιμίαν ἀναφέρῃ, μὴ ἐς τὰν τῶν χρημάτων ἀποβολάν. Ἐκ μὲν γὰρ τῶ τᾷ αἰσχύνᾳ ζαμιοῦσθαι κοσμιότατα καὶ χρηστότατα σπουδάζοντι, ὅπως τὰν ἐν τοῖς νόμοις ζαμίαν ἀκοινώνατον ἔχωντι· ἐκ δὲ τῶ χρήμασι χρήματα περὶ πλείστου ποιησοῦνται, μέγιστον φάρμακον ὑπολαμβάνοντες ἦμεν τῶν ἁμαρτημάτων. Ἄριστον μὲν ὦν τὰν ὅλαν πόλιν οὕτως συντετάχθαι, ὥστε μηδενὸς ποτιδεῖσθαι ἔξωθεν, μήτε κατ᾽ ἀρετὰν, μήτε κατὰ δύναμιν, μήτε κατ᾽ ἄλλαν μηδεμίαν αἰτίαν. οὕτω γὰρ σῶμα, καὶ οἰκία, καὶ στράτευμα συντέτακται καλῶς, τὸ ἐν αὑτῷ ἔχον τὰν αἰτίαν τᾶς σωτηρίας, ἀλλὰ μὴ ἔξωθεν· σῶμα μέντοι κάῤῥον, οἰκία δὲ συγκειμένα καλῶς, στράτευμα δὲ τὸ μὴ μισθοφόρον, μήτε ἀγύμναστον. Κρέσσονα γὰρ τὰ οὕτως συνταχθέντα γίνεται τῶν ἄλλων, καὶ ἐλεύθερα μὲν καὶ ἀδούλωτα, οὐ πολλῶν ποτιδεόμενα ποτὶ τὰν διαμονὰν, ὀλίγων δὲ καὶ εὐποριστων. οὕτω γὰρ ἂν ὁ ἰσχυρὸς τῶ βάρεος, ὁ δὲ γυμνάτας τῶ ῥίγεος περιγίνεται. γυμνάζοντι γὰρ καὶ τύχαι καὶ συμφοραὶ τὼς ἀνθρώπως, ἐπεὶ καὶ τῷ σώφρονι καὶ διαπονηθέντι καὶ σώματι καὶ ψυχᾷ καὶ τροφὰ ἁδέα φαίνεται πᾶσα, καὶ ποτὸν, καὶ εὐνὰ δὲ ἁ μετὰ φυλλάδος· τῷ δὲ τρυφᾶν καὶ συβαρίζειν προαιρουμένῳ καὶ ἁ τῶ μεγάλω βασιλέως παρασκευὰ δυσάρεστος καὶ ἀλλοτρία. Τὸν νόμον ὦν ἐν τοῖς ἤθεσι καὶ τοῖς ἐπιτηδεύμασι τῶν πολιτῶν ἐγχρώζεσθαι δεῖ· τὼς γὰρ πολίτας αὐταρκέας θήσει, καὶ διανεμεῖ τὸ κατ᾽ ἀξίαν ἑκάστῳ καὶ τὸ ἐπιβάλλον. Οὕτω γὰρ καὶ ὁ ἅλιος φερόμενος διὰ τῶ ζωοφόρω κύκλω διανέμει τοῖς ἐπὶ γᾶς πᾶσι καὶ γενέσιος καὶ τροφᾶς καὶ

neque in Lacedaemone, civitate alioqui optimis legibus ornata, scriptorum multitudine respublica administrabatur, sed honestis potius civium moribus. Conducet etiam civili communioni, si lex non monarchica fuerit, neque ad privatam quorundam, sed ad communem omnium utilitatem instituta et ex aequo ad omnes pertinens, ac poenam ad dedecus et ignominiam referat, non ad bonorum jacturam. Nam si ignominia in legibus pro poena irrogetur, honestati ac probitati cives studebunt, ut in poenam, quam leges statuunt, non incidant. Sin vero pecuniariae mulctae fuerint, plerique pecunias maximi facient, summo eas sibi remedio in peccatis futuras persuasi. Optimum itaque fuerit, civitatem universam ita institutam esse, ut nulla re externa indigeat, quae vel ad virtutem, vel ad potentiam, vel ad aliam rem quamcunque desiderari possit. Nam corpus etiam et domus et exercitus ita demum optime habent, cum salutis causam intra se habent, non aliunde: quare corpus validum laudatur et bene composita familia, exercitus vero nec mercenarius nec inexercitatus. Quae enim ita sunt constituta, aliis sunt longe praestantiora, imo et libera et minime serva, quae ut sustineant aliquid et perdurent, non multis egent, sed paucis et paratu facilibus contenta sunt: ita qui robustus est, onera, athleta vero vel levis armaturae miles frigus evincet. Casibus autem et calamitatibus homines exercentur: sobrius sane aliquis et tam corporis quam animi laboribus subactus quolibet cibo et potu jucunde fruetur, et cubili e frondibus erit contentus: illi vero, qui in deliciis et luxuria vitam degere proposuit, ne magni quidem regis apparatus, aut alius quispiam placere poterit. Legem itaque animis et studiis civium inolescere oportet, sic enim tranquillos et rebus suis contentos eorum animos efficiet, et suum unicuique, ut par est, distribuet. Hoc modo sol etiam per zodiacum circulum invectus terrenis omnibus generationis, alimenti vitaeque suam

βιοτᾶς τὰν ποθάκουσαν μοῖραν, οἷον εὐνομίαν, τὰν εὐκρασίαν τῶν ὡρῶν παρασκευαζόμενος· διὸ καὶ Νόμιος καὶ Νεμήϊος Ζεὺς καλέεται, καὶ νομεὺς ὁ διανέμων τὰς τροφὰς τοῖς ὀΐεσιν, καὶ τῶν κιθαρῳδᾶν δὲ ᾄσματα νόμοι. συντάσσοντι γὰρ καὶ ταῦτα τὰν ψυχάν, ἁρμονίᾳ καὶ ῥυθμοῖς καὶ μέτροις ἀειδόμενα. [Στοβ. λόγ. μά. περὶ πολιτείας.]

XIX. Δεῖ δὲ τὸν ἀλαθινὸν ἄρχοντα μὴ μόνον ἐπιστάμονά τε καὶ δυνατὸν ἦμεν περὶ τὸ καλῶς ἄρχεν, ἀλλὰ καὶ φιλανθρώπως· ἄτοπον γὰρ ἦμεν ποιμένα μισοπρόβατον, καὶ τοιοῦτον, οἷον καὶ δυσμενῶς ἔχειν τοῖς αὐτοῦ θρεμμάτεσι. Δεῖ δὲ αὐτὸν καὶ νόμιμον ἦμεν· οὕτω γὰρ ἑσεῖται τὰν τῶ ἄρχοντος ἐπίστασιν ἔχων. διὰ μὲν γὰρ τᾶς ἐπιστάμας κρινὲν ὀρθῶς δυνασεῖται· διὰ δὲ τᾶς δυνάμιος κολάζεν· διὰ δὲ τᾶς χρηστότητος τὸ εὐεργετέν· διὰ δὲ τῶν νόμων τὸ ποτὶ τὸν λόγον πάντα ποιέν. Ἄριστος δέ κ' εἴη ἄρχων ὁ ἄγχιστα τῶ νόμω [ὤν]. οὗτος δέ κ' εἴη ὁ μηθὲν αὐτῶ ἕνεκα ποιέων, ἀλλὰ τῶν ὑπ' αὐτόν· ἐπειδήπερ οὐδὲ νόμος αὐτῶ ἕνεκα, ἀλλὰ τῶν ὑπ' αὐτόν. [Στοβ. λόγ. μδ'. περὶ ἀρχῆς καὶ τοῦ ὁποῖον χρὴ εἶναι τὸν ἄρχοντα.]

ε. Ἐν τῷ περὶ τῶν μαθημάτων.

XX. Δεῖ γὰρ ἢ μαθόντα παρ' ἄλλων, ἢ αὐτὸν ἐξευρόντα, ὧν ἐπιστάμων ἦσθα, ἐπιστάμονα γενέσθαι. τὸ μὲν ὦν μαθὲν, παρ' ἄλλω καὶ ἀλλότριον· τὸ δὲ ἐξευρὲν αὐτὸν, διὰ τὸν αὐτὸν καὶ ἴδιον· ἐξευρὲν δὲ μὴ ζατοῦντα, ἄπορον καὶ σπάνιον, ζατοῦντα δὲ, εὔπορον καὶ ῥάδιον· μὴ ἐπιστάμονα δὲ ζατεῖν ἀδύνατον.

Στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς· πλεονεξία τε γὰρ οὐκ ἔντι τούτω γενομένω καὶ ἰσότας ἐντί. τούτῳ γὰρ περὶ τῶν συναλλαγμάτων διαλλασσόμεθα. διὰ τοῦτον ὦν οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων· οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἶσον ἕξεν. Κανὼν δὲ καὶ κωλυ-

cuique portionem tribuit, ex diversis anni partium temperamentis optima rerum omnium moderatione instituta. Quamobrem Jupiter quoque Nomius et Nemeius vocatur, et νομεὺς (*opilio*), quod ovibus pascua distribuat: et νόμοι cantus citharoedorum, siquidem et illi animum componunt, decente harmonia, rhythmis et metris decantati. [*Stob. Serm. XLI. de republica.*]

XIX. Caeterum oportet principem hoc nomine dignum non recte tantum imperare et scire et posse, sed etiam humaniter. Turpe enim fuerit pastorem oves odisse et pecoribus suis infensum esse. Quin etiam legitimus esse debet: sic enim demum principis dignitatem habebit. Scientia enim recte judicare poterit, potestate punire, humanitate beneficia conferre, denique ex legibus haec omnia secundum rationem facere. Optimus autem erit princeps, qui legi quam simillimus sit, qualis futurus est, si nihil sui gratia facit, sed omnia civium in utilitatem: quemadmodum et lex non sui, sed subditorum gratia est. [*Stob. Serm. XLIV. de magistratu et qualem oporteat esse principem.*]

e. Ex Libro de disciplinis.

XX. Debes enim vel ex aliis discendo, vel ipse, quorum scientiam habes, inveniendo peritus reddi. Ac si quidem discis, id ab alio habes et alienum est: sin ipse inveneris, ex te et tuum est. Ac invenire quidem illi, qui non inquisivit, rarum sane ac difficile; qui inquirit et quaerere noverit, facile et in promtu; ignoranti vero plane impossibile.

Ratio certe inventa seditionem compescit et concordiam auget, in hac enim ut aequalitas inest, ita deest iniquitas. Ratio est, quae contractus conciliat: hinc est, quod pauperes a potentioribus accipiant, et divites indigentibus communicent, credentes utrique, se aequum obtenturos. Ratio porro veluti regula quaedam et poena

τὴρ τῶν ἀδικούντων, τὼς μὲν ἐπισταμένως τῶ ὀργίζεσθαι, πρὶν ἀδικὲν, ἔπαυσε, πείσας, ὅτι οὐ δυνασοῦνται λαθὲν, ὅταν ἐπ' αὐτὸ ἔλθωντι· τὼς δὲ μὴ ἐπισταμένως ἐν αὐτῷ δηλώσας ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι. [Στοβ. λόγ. μά. περὶ πολιτείας.]

ζ. Ἐπιστολαί.

1.

Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν.

Ἀπεστάλκαμες πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ Λαμίσκον τε καὶ Φωτίδαν ἀπολαμψόμενοι τὸν ἄνδρα καττὰν πὰρ τὶν γενομέναν ὁμολογίαν. Ὀρθῶς δὲ καὶ ποιοῖς, μιμνασκόμενος τήνας τᾶς σπουδᾶς, ἡνίκα πάντας ἄμμε παρεκάλεις ποττὰν Πλάτωνος ἄφιξιν, ἀξιῶν προτρέπεσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ τὰ περὶ τὰν ἀσφάλειαν μένοντί τε καὶ ἀφορμιῶντι. Μέμνασο δὲ καὶ τῆνο, ὅτι περὶ πολλῶ ἐποιήσω τὰν ἄφιξιν αὐτῶ, καὶ ἀγάπας ἐκ τήνω τῶ χρόνω, ὡς οὐδένα τῶν πὰρ τίν. Αἰ δέ τις γέγονε τραχύτας, ἀνθρωπίζειν χρὴ, κἀποδιδόμεν ἁμῖν ἀβλαβῆ τὸν ἄνδρα. ταῦτα γὰρ πράττων δίκαια πράξεις καὶ ἁμῖν χαριῇ. [*Diog. Laert. Lib. III.* §. 22.]

2.

Ἀρχύτας Πλάτωνι ὑγιαίνειν.

Καλῶς ποιεῖς, ὅτι ἀποπέφευγας ἐκ τῆς ἀῤῥωστίας. ταῦτα γὰρ αὐτός τε ἐπέσταλκας καὶ οἱ περὶ Λαμίσκον ἀπάγγελον. Περὶ δὲ τῶν ὑπομνημάτων ἐπεμελήθημες, καὶ ἀνήλθομες ὡς Λευκανὼς, καὶ ἐνετύχομες τοῖς Ὠκέλλω ἐκγόνοις. τὰ μὲν ὦν περὶ νόμω, καὶ βασιληΐας, καὶ ὁσιότατος, καὶ τᾶς τῶ παντὸς γενέσιος, αὐτοί τε ἔχομες, καὶ τὶν ἀπεστάλκαμες. τὰ δὲ λοιπὰ οὔτοι νῦν γε δύναται εὑρεθῆμεν· αἰ δέ κα εὑρεθῇ, ἥξει τοι. [*Idem Lib. VIII.* §. 80.]

Γνῶμαι καὶ Ἀποφθέγματά τινα.

1. Ἀρχύτας, ἀνὴρ Ταραντῖνος, τὰ Πυθαγόρου σοφὸς,

est injuriarum: haec prudentes ab ira revocat, priusquam injuriam committant, si committerent, latere non posse persuasos. Imprudentibus autem in ipsis injuriis poenam obtendit et porro delinquere prohibet. [*Stob. Serm. XLI. de republica.*]

f. Epistolae.

1.

Archytas Dionysio valere.

Misimus omnes Platonis necessarii Lamiscum et Photidam, virum illum abs te recepturi, sicut convenerat. Recte igitur feceris, si memineris, quanto a nobis studio efflagitaveris Platonis ad te adventum, ut nos illum venire hortaremur, facturum te spondens omnia, illumque libere accedere et abire permissurum. Memor esto igitur, quanti illius adventum feceris; quodque eo tempore plus caeteris amaveris. Quod si qua orta simultas est, humanius te agere convenit, illumque nobis restituere illaesum. Haec enim si facis, et justitiam coles et nobis gratificaberis.

2.

Archytas Platoni valere.

Facis tu quidem recte, quod nobis te convaluisse ex aegritudine epistola significasti, et Lamiscus idem nuntiavit. De commentariis autem curavimus, venimusque ad Lucanos, ibique convenimus Ocelli nepotes. De legibus autem, de regno, de pietate omniumque generatione commentarios ipsi habemus et tibi misimus. Reliqua modo reperiri non possunt: cum inventa fuerint, ad te deferentur.

Sententiae quaedam et Apophthegmata.

1. Archytas, Tarentinus et Pythagorae doctrina im-

ὑπὲρ παίδων ἀγωγῆς γράφων, ἔστω, φησὶν, ὁ πατὴρ παράδειγμα ἀρετῆς τοῖς παισίν. [*Philostratus in Vita Apollonii Tyanei Lib. VI. Cap. XXXI. pag.* 270. *ed. Olear.*]

2. Ἀρχύτας ἔλεγεν· Ὥσπερ ἔργον ἐστὶν εὑρεῖν ἰχθὺν ἄκανθαν μὴ ἔχοντα, οὕτω καὶ ἄνθρωπον μὴ κεκτημένον τι δολερὸν καὶ ἀκανθῶδες. [*Aelian. Var. Hist.* X, 12.]

3. Ἀρχύτας ἔφη, ταυτὸν εἶναι διαιτητὴν καὶ βωμὸν, ἐπ' ἄμφω γὰρ τὸν ἀδικούμενον καταφεύγειν [*Aristotel. Rhet. III. Cap. XI.*]

4. Σπίνθαρος διηγεῖτο πολλάκις περὶ Ἀρχύτου Ταραντίνου, ὅτι διὰ χρόνου τινὸς εἰς ἀγρὸν ἀφικόμενος, ἐκ στρατείας νεωστὶ παραγεγονὼς, ἣν ἐστρατεύσατο ἡ πόλις εἰς Μεσσηνίους, ὡς εἶδε τόν τε ἐπίτροπον καὶ τοὺς ἄλλους οἰκέτας οὐκ εὖ τῶν περὶ τὴν γεωργίαν ἐπιμελείας πεποιημένους, ἀλλὰ μεγάλῃ τινὶ κεχρημένους ὀλιγωρίας ὑπερβολῇ, ὀργισθείς τε καὶ ἀγανακτήσας οὕτως, ὡς ἂν ἐκεῖνος, εἶπεν, ὡς ἔοικε, πρὸς τοὺς οἰκέτας, ὅτι εὐτυχοῦσιν, ὅτι αὐτοῖς ὠργισται· εἰ γὰρ μὴ τοῦτο συμβεβηκὸς ἦν, οὐκ ἄν ποτε αὐτοὺς ἀθώους γενέσθαι, τηλικαῦτα ἡμαρτηκότας. [*Jamblichus de Vit. Pythag. Cap.* 31. *pag.* 405. *ed. Kiessling. Conf. Valer. Maxim. Lib. IV. Cap.* 1. *extern.* 1. *Cicero Tusc. IV,* 36. *Plutarch. de puer. instit. Cap. XIV. Hieronym. Epist. IX. ad Salvinam Tom. I. pag.* 50. *ed. Tribbechov.*]

5. Ἀρχύτας ὁ Ταραντῖνος, πολιτικός τε καὶ φιλόσοφος ἀνὴρ γενόμενος, πολλοὺς ἔχων οἰκέτας, τοῖς αὐτῶν παιδίοις πάνυ σφόδρα ἐτέρπετο, μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοῖς ἐν τοῖς συμποσίοις. [*Aelian. Var. Hist. XII.* 15.]

6. Ἀρχύτας τά τε ἄλλα ἦν σώφρων, καὶ οὖν καὶ τὰ ἄκοσμα ἐφυλάττετο τῶν ὀνομάτων. Ἐπεὶ δέ ποτε ἐβιάζετό τι εἰπεῖν τῶν ἀπρεπῶν, οὐκ ἐξενικήθη, ἀλλ' ἐσιώπησε μὲν αὐτὸ, ἐπέγραψε δὲ κατὰ τοῦ τοίχου, δείξας μὲν, ὃ εἰπεῖν ἐβιάζετο, οὐ μὴν βιασθεὶς εἰπεῖν. [*Idem, Var. Hist. XIV.* 19.]

butus, de puerorum educatione scribens, *Sit*, inquit, *pater filiis virtutum exemplar.*

2. Archytas dicebat: Quemadmodum difficile est piscem spinas non habentem invenire, sic et hominem, qui non habeat dolosum quid et malignum.

3. Archytas dixit, idem esse arbitrum et aram, quoniam ad utrumque is, qui injuriam accepit, confugere solet.

4. Spintharus subinde de Archyta Tarentino referebat, eum, quum post aliquod temporis intervallum a bello redux, quod Tarentini contra Messenios ductu ejus gesserant, rus suum reviseret, et villicum cum cetera familia rem rusticam, non, ut par erat, diligenter, sed extreme supina negligentia curasse animadverteret, tanta ira et indignatione concepta, quantam talis vir concipiat, dixisse: bene cum illis agi, quod iratus esset: alias tam gravium admissorum condigna supplicia luituros esse.

5. Archytas Tarentinus, vir reipublicae simul et philosophiae deditus, quum multos haberet servos, eorum puerulis valde delectabatur, cum vernulis ludens; maxime autem inter convivia illis se oblectare solebat.

6. Archytas cum aliis in rebus modestus fuit, tum vero etiam verborum obscoenitatem vitabat. Quum vero necessitas aliquando postularet inhonestum aliquod dicere, evinci non poterat, ut id diceret, sed tacuit id quidem, inscripsit autem in pariete, monstrans hac re, se, quod dicere adigebatur, nec coactum dicturum.

7. Nullam capitaliorem pestem quam corporis voluptatem hominibus (*dicebat Archytas*) a natura datam, cujus voluptatis avidae libidines temere et effrenate ad potiundum incitarent. Hinc patriae proditiones, hinc rerum publicarum eversiones, hinc cum hostibus clandestina colloquia nasci: nullum denique scelus, nullum malum facinus esse, ad quod suscipiendum non libido

voluptatis impelleret: stupra vero et adulteria et omne tale flagitium nullis aliis illecebris excitari nisi voluptatis. Cumque homini sive natura, sive quis deus, nihil mente praestabilius dedisset, huic divino muneri ac dono nihil esse tam inimicum, quam voluptatem. Nec enim, libidine dominante, temperantiae locum esse, neque omnino in voluptatis regno virtutem posse consistere. Quod quo magis intelligi posset, fingere animo jubebat tanta incitatum aliquem voluptate, quanta percipi posset maxima; nemini, censebat, fore dubium, quin tamdiu, dum ita gauderet, nihil agitare mente, nihil ratione, nihil cogitatione consequi posset. Quocirca nihil esse tam detestabile, tamque pestiferum, quam voluptatem, siquidem ea, cum major esset atque longior, omne animi lumen exstingueret. [*Cicero de Senectute Cap. XII.*]

8. *Verum illud est, quod a Tarentino Archyta, ut opinor, dici solitum, nostros senes commemorare audivi ab aliis senibus auditum:* Si quis in coelum ascendisset, naturamque mundi et pulchritudinem siderum perspexisset, insuavem illam admirationem ei fore, quae jucundissima fuisset, si aliquem, cui narraret, habuisset. [*Idem de Amicitia Cap. XXIII.*]

B. ΤΑ ΦΥΣΙΚΑ ΚΑΙ ΜΑΘΗΜΑΤΙΚΑ.*)

α. Ἐν τῷ περὶ τῆς μαθηματικῆς.

I. Λέγει (Ἀρχύτας ὁ Πυθαγόρειος) ἐν τῷ περὶ μαθηματικῆς εὐθὺς ἐναρχόμενος τοῦ λόγου τάδε·

Καλῶς μοι δοκοῦντι (οἱ περὶ Πυθαγόραν) τὸ περὶ τὰ μαθήματα διαγνῶναι, καὶ οὐθὲν ἄτοπον ὀρθῶς αὐτὼς περὶ ἕκαστον θεωρέν. Περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες, ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷα ἐντὶ, ὄψεσθαι. Περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος, καὶ ἐπιτολᾶν, καὶ δυσίων παρέδωκαν ἁμῖν διάγνωσιν· καὶ περὶ γαμετρίας, καὶ ἀριθμῶν, καὶ οὐχ ἥκιστα περὶ μωσικῆς (ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι εἶμεν ἀδελφεά). Πρᾶτον μὲν ὦν ἐσκέψαντο, ὅτι οὐ δυνατόν ἐντι εἶμεν ψόφον, μὴ γεναθείσας πλαγᾶς τινῶν ποτὶ ἄλλαλα. Πλαγὰν δὲ ἔφαν γίνεσθαι, ὅκκα τὰ φερόμενα ἀπαντάξαντα ἀλλάλοις. Συμπετητὰ μὲν ἐναντίαν φορὰν φερόμενα, ἀπαντιάζοντα αὐτὰ αὐτοῖς συγχαλᾷν· τὰ δὲ ὁμοίως φερόμενα, μὴ ἴσᾳ δὲ τάχει, περικαταλαμβανόμενα περὶ τῶν ἐπιφερομένων, τυπτόμενα ποιεῖν ψόφον. Πολλὼς μὲν δὴ αὐτῶν οὐκ ἔντι ἁμῶν τᾷ φύσει οἵους τε γινώσκεσθαι· τὼς μὲν διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς· τὼς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος· τινὰς δὲ καὶ διὰ τὰν ὑπερβολὰν τῶ μεγέθεος· οὐ γὰρ παραδύεσθαι εἰς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων, ὥσπερ οὐδὲ τὰ σύστομα τῶν τευχέων, ὅκκα πολύ τις ἐγ-

---

*) *Non ingratum fore eruditis lectoribus existimantes, si omnia, quae Archytae vel sunt, vel nomen ferunt, uno volumine comprehenderentur, Physica etiam illius, Mathematica et Logica Fragmenta variis in libris iisque ex parte rarissimis dispersa colligere operae pretium duximus, sed cum aliena plane essent ab hujus collectionis consilio, (ut in Democriti Fragmentis Physicis Tomo I. contentis) nulla addita versione latina notisque illustrata quam paucissimis et inter legendum succurrentibus.* [O.]

χέη, οὐδὲν ἐγχεῖται. Τὰ μὲν ὦν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν, τὰ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται, καὶ ὀξέα φαίνεται, τὰ δὲ βραδέως καὶ ἀσθενῶς, βαρέα δοκοῦντι εἶμεν. Αἰ γάρ τις ῥάβδον λαβὼν, κινοῖ ὀρθῶς καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν ψόφον· αἰ δὲ καττάχύ τε καὶ ἰσχυρῶς, ὀξύν. Οὐ μόνον δὲ κατὰ τοῦτο γνοίημεν, ἀλλὰ καὶ ὄκκα ἅμες ἢ λέγοντες ἢ ἀείδοντες, χρήζομες καὶ μέγα φθέγξασθαι καὶ ὀξὺ, σφοδρῷ τῷ πνεύματι φθεγγόμενοι. Ἔτι δὲ καὶ τοῦτο συμβαίνει, ὥσπερ ἐπὶ βελῶν· τὰ μὲν ἰσχυρῶς ἀφιέμενα, πρόσω φέρεται· τὰ δὲ ἀσθενῶς, ἐγγύς· τοῖς γὰρ ἰσχυρῶς φερομένοις μᾶλλον ὑπακούει ὁ ἀὴρ, τοῖς δὲ ἀσθενῶς, ἧσσον. Τοῦτο δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τὰ μὲν ὑπὸ τῶ ἰσχυρῶ τῶ πνεύματος φερόμενα μεγάλα τε ἦμεν καὶ ὀξεῖα, τὰ δὲ ὑπὸ ἀσθενέος, μικρά τε καὶ βαρεῖα. Ἀλλὰ μὰν καὶ τοῦτο κατείδομες ἰσχυρῷ τόνῳ σαμίῳ· ὅτι τῷ αὐτῷ φθεγξαμένῳ μέγα μὲν, πρόσωθεν κ' ἀκούσαμες· μικρὸν δὲ, οὐδὲ ἐγγύθεν. Ἀλλὰ μὰν καὶ ἔνγα τοῖς αὐλοῖς τὸ ἐκ τῶ στόματος φερόμενον πνεῦμα ἐς μὲν τὰ ἐγγὺς τῶ στόματος τρυπήματα ἐμπίπτων, διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν ὀξύτερον ἆχον ἀφίησιν, ἐς δὲ τὰ πόρσω, βαρύτερον. ὥστε δῆλον, ὅτι ἁ ταχεῖα κίνησις ὀξὺν ποιεῖ, ἁ δὲ βαρεῖα βαρὺν τὸν ἆχον. Ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἀσυχᾶ μὲν κινούμενοι, βαρὺν ἀφίεντι ἆχον, ἰσχυρῶς δὲ, ὀξύν. Ἀλλὰ μὴν καὶ ὅτου ὁ κάλαμος αἴκα τις αὐτῶ τὸ κάτω μέρος ἀποφράξας ἐμφυσῇ, ἀφήσει τινὰ ἁμῖν φωνάν· αἰ δὲ καὶ ἐς τὸ ἥμισυ ἢ ἀπόστον μέρος αὐτῶ, ὀξὺ φθεγξεῖται. Τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς φέρεται, διὰ δὲ τῶ μήονος σφοδρόν. Εἰπὼν δὲ καὶ ἄλλα περὶ τοῦ διαστηματικὴν εἶναι τὴν τῆς φωνῆς κίνησιν, συγκεφαλαιοῦται τὰν λόγον, ὡς ὅτι μὲν δή τοι ὀξεῖς φθόγγοι ταχίον κινέονται, οἱ δὲ βαρεῖς, βραδίον, φανερὸν ἡμῖν ἐκ πολλῶν γέγονεν. [*Porphyrius ad Ptolemaei Harmonica in Jo. Wallisii Opp. Mathem. Oxonii* 1699. *editis Tom. III. pag.* 25.]

β. Ἐκ τῶν διατριβῶν.

II. Καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν ἄλλαν σοφίαν τᾶν μὲν ἀλλᾶν τεχνᾶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρῳ πραγματεύεσθαι ἃ θέλει· καθ' ἃ ἐκλείπει γὰρ ἁ γεωμετρία, τὰς ἀποδείξεις ἁ λογιστικὰ ἐπιτελεῖ. Καὶ ὅμως εἰ μὲν εἰδέων τε ἁ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν. [*Stobaeus Eclog. Lib. I. Cap. II. de numeris pag.* 12. *ed. Heeren.*]

γ. Ἐκ τοῦ περὶ νοῦ καὶ αἰσθήσεως.

III. Αἴσθασις μὲν ἐν σώματι γίγνεται, νόος δ' ἐν ψυχῇ. Τὸ μὲν γὰρ ἀρχὰ τῶν αἰσθατῶν ὑπάρχει, τὸ δὲ τῶν νοατῶν. Πλάθεος γὰρ μέτρον ἀριθμὸς, μάκεος δὲ πούς, ῥοπᾶς δὲ καὶ στάθμας ζυγὸν, ὀρθότατος δὲ καὶ εὐθύτατος κανὼν καὶ στάθμα ὀρθαγωνία. Οὕτως δὲ καὶ τῶν μὲν σωμάτων αἴσθασις μέτρον, τῶν δὲ νοατῶν νόος ἀρχὰ καὶ μέτρον ἐντί. Καὶ ὁ μὲν νόος ἀρχὰ νοατῶν τε καὶ φύσει πράτων· ἁ δὲ αἴσθασις [αἰσθατῶν] καὶ φύσει δευτέρων. Ὁ μὲν γὰρ ἁμῖν ἐντι ἀρχὰ τᾶς ψυχᾶς, ἁ δὲ τῶ σώματος. Καὶ ὁ μὲν νόος τῶν τιμιωτάτων ἐντὶ κριτὰς, ἁ δ' αἴσθασις τῶν χρησιμωτάτων. Ἁ μὲν γὰρ αἴσθασις τῶ σώματος ἕνεκεν συνέστακε, καὶ τᾶς ἐς τοῦτο λειτουργείας· ὁ δὲ νόος καὶ τᾶς εἰς ταῦτα πολυφραδμοσύνας. Καὶ ὁ μὲν νόος ἐντὶ ἀρχὰ τᾶς ἐπιστάμας, ἁ δ' αἴσθασις τᾶς δόξας. Ἁ μὲν γὰρ ἔχει τὰν ἐκ τῶν αἰσθατῶν ἐνέργειαν, ὁ δὲ τὰν ἐκ τῶν νοατῶν. Τυγχάνοντι δὲ τὰ μὲν αἰσθατὰ τῶν πραγμάτων κινάσιος μεταλαμβάνοντα καινὰ ἐόντα, τὰ δὲ νοατὰ στάσιος καὶ ἰδιότατος. Παραπλασίως δὲ καὶ ἁ αἴσθασις καὶ ὁ νόος ἔχοντι· ἁ μὲν γὰρ αἴσθασις τῷ αἰσθατῷ, τὸ δὲ αἰσθατὸν καὶ κινεῖται, καὶ μεταβάλλει, καὶ οὐδέποτε ἐν ταυτῷ ἀτρεμεῖ· διὸ καὶ μᾶλλον καὶ ἧττον, καὶ βέλτιον καὶ χεῖρον γίνεται ὁρῆν· ὁ δὲ νόος τῷ νοατῷ, τὸ δὲ νοατὸν ἀκίνατον ἐξ οὐσίας· διὸ οὔτε μᾶλλον, οὔτε ἧττον, οὔτε βέλτιον οὔτε χεῖρόν ἐντι νοεῖν τὸ νοατόν. Καὶ καθάπερ νόος τὸ πρᾶτον βλέπει καὶ τὸ παράδειγμα, οὕτως ἁ αἴσθασις τὰν εἰκόνα, καὶ τὸ δεύτερον. Ὁ μὲν γὰρ νόος οὐκ ἄνθρωπον ἁπλῶς,

ἁ δ' αἴσθασις ἁπλῶς τὰν τῶ ἁλίω σφαῖραν, ἢ τὰς χειροτεχνᾶν — — — Ἔστι μὲν νόος ἀμερὴς καὶ ἀδιαίρετος, καθάπερ μονὰς καὶ στίγμα· παραπλησίως δὲ καὶ τὸ νοατόν. Τὸ γὰρ εἶδος οὔτε πέρας σώματός ἐντι οὔτε ὅρος, ἀλλὰ μόνον τύπωσις τῶ ὄντος, ᾧ ὄν ἐντι, ἁ δ' αἴσθασις μεριστὰ καὶ διαιρετά. Τῶν γὰρ ὄντων ἐντὶ τὰ μὲν αἰσθατά, τὰ δὲ δοξαστὰ, τὰ δὲ ἐπιστατὰ, τὰ δὲ νοατά. Καὶ τὰ μὲν σώματα, ὧν ἐντί τις ἀντιτυπία, αἰσθατά· δοξαστὰ δὲ τὰ μετέχοντα τῶν εἰδέων, ὡς αἱ εἰκόνες, οἷον ὁ τὶς ἄνθρωπος τῶ ἀνθρώπω, καὶ τὸ τὶ τρίγωνον τῶ τριγώνω· ἐπιστατὰ δὲ, τὰ τοῖς εἴδεσι συμβεβακότα ἐξ ἀνάγκας, ὡς ἐν γαμετρίᾳ τὰ τοῖς σχήμασι· νοατὰ δὲ αὐτὰ τὰ εἴδεα, καὶ αἱ ἀρχαὶ τῶν ἐπιστατῶν· οἷον αὐτὸς ὁ κύκλος, καὶ τρίγωνον, καὶ σφαῖρα. *) Τυγχάνοντι δὲ καὶ ἐν ἁμῖν αὐτοῖς κατὰ ψυχὰν γνώσιες τέτταρες, νόος, ἐπιστάμα, δόξα, αἴσθασις· ὧν αἱ μὲν δύο τῶ λόγω ἀρχαί ἐντι, οἷον νόος καὶ αἴσθασις, τὰ δὲ δύο τέλη, οἷον ἐπιστάμα καὶ δόξα. Τὸ δ' ὅμοιον τῶ ὁμοίω γνωστικὸν, ὅτι ὁ μὲν νόος ἐν ἁμῖν τῶν νοατῶν γνωστικὸς, ἁ δ' ἐπιστάμα τῶν ἐπιστατῶν, ἁ δὲ δόξα τῶν δοξαστῶν, ἁ δ' αἴσθασις τῶν αἰσθατῶν. [*Stobaeus Eclog. Lib. I. Cap. LI. de mente p. 784. seqq. ed. Heeren. Quae sequuntur usque ad finem Fragmenti, servavit nobis Jamblichus libro* περὶ τῆς κοινῆς μαθηματικῆς ἐπιστήμης *in Villoisonii Anecdotis Graecis Tom. II. pag.* 199.] Διόπερ ὦν δεῖ μεταβαίνειν ἀπὸ μὲν τῶν αἰσθατῶν ἐπὶ τὰ δοξαστὰ τὰν διάνοιαν, ἀπὸ δὲ τῶν δοξαστῶν ἐπὶ τὰ ἐπιστατὰ, καὶ ἀπὸ τούτων ἐπὶ τὰ νοατά· ταῦτα δὲ σύμφωνα ποιητὰ, θεωρεύμενα δι' αὐτῶν ἀλάθειαν. Διωρισμένως δὲ τούτων τὰ μὲν ταῦτα δεῖ νοῆσαι, καθάπερ γραμμὰν δίχα τετμαμέναν, καὶ ἴσα πάλιν ἑκατέρων τμάματα τετμαμένα ἀνὰ τὸν αὐτὸν λόγον· καὶ οὕτω διῃρήσθω καὶ τὸν αὐτὸν ποττὸ ὁρατὸν, καὶ πάλιν ἑκάτερον

*) *His verbis incipit extrema pars Fragmenti amplissimi servata a Jamblicho in Villoisonii Anecdotis Graecis Tom. II. pag.* 199. [O.]

οὕτω διωρίσθω, καὶ διαφέρεν σαφηνείᾳ τε καὶ ἀσαφείᾳ ποτ' ἄλλα, τὸν αὐτὸν δὴ τρόπον, τῶ μὲν δὴ αἰσθατῶ τὸ μὲν ἅτερον τμᾶμά ἐντι, τά τε εἴδωλα, τὰ ἐν τοῖς ὕδασι καὶ ἐν τοῖς κατόπτροις, τὸ δ' ἕτερον μέρος, ὧν ταῦτ' εἰκόνες, φυτὰ καὶ ζῶα· τῶ δὲ νοατῶ τὸ μὲν ἀνάλογον ἔχον, ὡς αἱ εἰκόνες τὰ περὶ μαθήματα γένη ἐντί. Οἱ γὰρ περὶ γεωμετρίαν ὑποθέμενοι τό, τε περισσὸν, καὶ τὸ ἄρτιον, καὶ σχήματα, καὶ γωνιᾶν τρισσὰ εἴδεα ἐκ τούτων πραγματεύονται τὰ λοιπά· τὰ δὲ πράγματα ἐῶντι ὡς εἰδότες, λόγον τε οὐκ ἔχοντι διδόμεν, οὔτ' αὐτοῖς, οὔτ' ἄλλοις, ἀλλὰ τοῖς μὲν αἰσθατοῖς, ὡς εἰκὸς, χρῶνται, ζατοῦντι δὲ οὐ ταῦτα, οὐδὲ τούτων ἕνεκα ποιεῦντι τὼς λόγως, ἀλλὰ τᾶς διαμέτρω χάριν καὶ αὐτῶ τετραγώνω. τὸ δεύτερον τμᾶμα ἐντὶ τῶ νοατῶ, περὶ ὃ διαλεκτικὰ κατασχόληται· αὕτα γὰρ τῷ ὄντι τὰς ὑποθεσίας, ἀλλ' ὑποθεσίας, ἀλλ' ἀρχάς τε καὶ ἐπιβασίας ποιεῖται μέχρι τῶ ἀνυποθέτω ἐπὶ παντὸς ἀρχὰν ἔλθῃ· καὶ πάλιν ἐχόμενα καταβᾷ ἐπὶ τὰν τελευτὰν, οὐδενὶ προσχρώμενα αἰσθατῷ, ἀλλ' εἴδεσιν αὐτοῖς δι' αὐτῶν. Ἐπὶ δὲ τέταρσι τούτοις τμάμασι, καλῶς ἔχει διανέμεν καὶ τὰ πάθεα τᾶς ψυχᾶς, καὶ καλέσαι τὸ νοάσεμεν ἐπὶ τῶ ἀκροτάτω, διάνοιαν δὲ ἐπὶ τῶ δευτέρω, ἐπὶ δὲ τῶ τρίτω πίστιν, εἰκασίαν δὲ ἐπὶ τῶ τετάρτω.

Ἐκ τοῦ περὶ ἀρχῶν.

IV. Ἀνάγκα δύο ἀρχὰς ἦμεν τῶν ὄντων, μίαν μὲν, τὰν συστοιχίαν ἔχουσαν τῶν τεταγμένων καὶ ὁριστῶν, ἑτέραν δὲ τὰν συστοιχίαν ἔχουσαν τῶν ἀτάκτων καὶ ἀορίστων. Καὶ τὰν μὲν ῥητὰν καὶ λόγον ἔχουσαν καὶ τὰ ἐόντα ὁμοίως συνέχεν, καὶ τὰ μὴ ἐόντα ὁρίζεν καὶ συντάσσειν. Πλατιάζουσαν γὰρ ἀεὶ τοῖς γιγνομένοις, εὐλόγως καὶ εὐρύθμως ἀνάγεν ταῦτα, καὶ τὸ καθ' ὅλω ὠσίας τε καὶ εἴδεος μεταδιδόμεν. Τὰν δ' ἄλογον καὶ ἄῤῥητον καὶ τὰ συντεταγμένα λυμαίνεσθαι, καὶ τὰ ἐς γένεσίν τε καὶ ὠσίαν παραγινόμενα διαλύεν· πλατιάζουσαν γὰρ ἀεὶ τοῖς πράγμασιν ἐξομοιοῦν αὐτᾷ ταῦτα. Ἀλλ' ἐπείπερ ἀρχαὶ δύο κατὰ γένος ἀντιδιαιρούμεναι τὰ πράγματα τυγχάνοντι, τῷ τὰν μὲν ἦμεν ἀγαθοποιὸν, τὰν δ' ἦμεν κακοποιὸν, ἀνάγκα καὶ δύο λόγως ἦμεν, τὸν μὲν ἕνα τᾶς ἀγαθο-

ποιῶ φύσιος, τὸν δ' ἕνα τᾶς κακοποιῶ. Διὰ τοῦτο καὶ τὰ τέχνᾳ, καὶ τὰ φύσει γιγνόμενα δύο τούτων πρᾶτον μετειλήφεν, τᾶς τε μορφῶ καὶ τᾶς ὠσίας. Καὶ ἁ μὲν μορφὼ ἐντὶ αἰτία τῶ τόδε τι ἦμεν· ἁ δ' ὠσία τὸ ὑποκείμενον, ὑποδεχόμενον τὰν μορφώ. Οὔτε δὲ τᾷ ὠσίᾳ οἷόν τέ ἐντι μορφᾶς μετεῖμεν αὐτᾷ ἐξ αὐτᾶς, οὔτε μὰν τὰν μορφὼ γενέσθαι περὶ τὰν ὠσίαν, ἀλλ' ἀναγκαῖον ἑτέραν τινὰ ἦμεν αἰτίαν τὰν κινάσοισαν τὰν ἐστὼ τῶν πραγμάτων ἐπὶ τὰν μορφώ. Ταύταν δὲ τὰν πράταν τᾷ δυνάμει καὶ καθυπερτάταν ἦμεν τᾶν ἀλλᾶν· ὀνομάζεσθαι δ' αὐτὰν ποθήκει θεόν· ὥστε τρεῖς ἀρχὰς ἦμεν ἤδη, τόν τε θεόν, καὶ τὰν ἐστὼ τῶν πραγμάτων, καὶ τὰν μορφώ. Καὶ τὸν μὲν θεὸν τεχνίταν, καὶ τὸν κινέοντα· τὰν δ' ἐστὼ τὰν ὕλαν, καὶ τὸ κινεόμενον· τὰν δὲ μορφὼ τὰν τέχναν καὶ ποθ' ἂν κινέεται ὑπὸ τῶ κινέοντος ἁ ἐστώ. Ἀλλ' ἐπεὶ τὸ κινεόμενον ἐναντίας ἑαυτῷ δυνάμιας ἴσχει τὰς τῶν ἁπλῶν σωμάτων, τὰ δ' ἐναντία συναρμογᾶς τινος δεῖται καὶ ἑνώσιος, ἀνάγκα ἀριθμῶν δυνάμιας καὶ ἀναλογίας, καὶ τὰ ἐν ἀριθμοῖς καὶ γεωμετρικοῖς δεικνύμενα παραλαμβάνειν, ἃ καὶ συναρμόσαι καὶ ἑνῶσαι τὰ ἐναντιώτατα δυνασεῖται ἐν τᾷ ἐστὼ τῶν πραγμάτων ποττὰν μορφώ. Καθ' αὐτὰν μὲν γὰρ ἐᾶσσα ἁ ἐστώ, ἄμορφός ἐντι, κιναθεῖσα δὲ ποτὶ τὰν μορφώ, ἔμμορφος γίνεται, καὶ λόγον ἔχοισα τὸν τᾶς συντάξιος. Ὁμοίως δὲ καὶ τὸ δυσκινήτον καὶ κινεόμενόν ἐντι τὸ πράτως κινέον· ὥστ' ἀνάγκα τρεῖς ἦμεν τὰς ἀρχάς, τάν τε ἐστὼ τῶν πραγμάτων, καὶ τὰν μορφώ, καὶ τὸ ἐξ αὐτῶ κινατικὸν καὶ ἀόρατον δυνάμει. Τὸ δὲ τοιοῦτον οὐ νόον μόνον ἦμεν δεῖ, ἀλλὰ καὶ νόω τι κρέσσον· νόω δὲ κρέσσον ἐντί, ὅπερ ὀνομάζομεν θεόν, φανερῶς. Ὁ μὲν ὦν τῶ ἴσω λόγος περὶ τὰν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν ἐντί. Ὁ δὲ τῶ ἀνίσω περὶ τὰν ἄλογον καὶ ἄῤῥητον· αὐτὰ δ' ἐντὶ ἁ ἐστώ, καὶ διὰ τοῦτο γένεσις καὶ φθορὰ γίνεται περὶ ταύταν, καὶ οὐκ ἄνευ ταύτας. [*Stob. Eclog. Lib. I. Cap. XLIII. de natura et causis, quae ab illa proficiscuntur, pag. 710 seqq. ed. Heeren.*]

V. Ἀρχὰ τᾶς τῶν ἐόντων γνώσιος τὰ αὐτόθεν φαινόμενα. Τῶν δ' αὐτόθεν φαινομένων τὰ μὲν ἐντι νοατά, τὰ δ' αἰσθατά

νοατὰ μὲν τὰ ἀκίνητα, αἰσθατὰ δὲ τὰ κινεόμενα. Κριτήριον δὲ τῶν μὲν νοατῶν ὁ κόσμος, τῶν δ' αἰσθατῶν ἁ αἴσθασις. Τῶν δὲ μὴ αὐτόθεν φαινομένων, τὰ μὲν ἐντι ἐπιστατὰ, τὰ δὲ δοξαστά· ἐπιστατὰ μὲν τὰ ἀκίνητα, δοξαστὰ δὲ τὰ κινεόμενα. Δεῖ δὲ ταῦτα τρία νοᾶσαι, τό, τε κρίνον καὶ τὸ κρινόμενον, καὶ καθ' ὅπερ κρίνεται. καὶ τὸ μὲν κρίνον εἶμεν τὸν νόον καὶ τὰν αἴσθασιν· τὸ δὲ κρινόμενον τὸν λόγον· καθ' ὅπερ δὲ κρίνεται, τὸ αὐτόθεν φαινόμενον. Τούτω δὲ τὸ μὲν νοατὸν, τὸ δὲ αἰσθατόν. Ἐπικρίνει δὲ ὁ νόος τὸν λόγον, ὅκα μὲν ποτὶ τὸ νοατὸν ἐπιβάλλων, ὅκα δὲ ποτὶ αἰσθατόν. Ὅκα μὲν γὰρ περὶ νοατῶν ματεύηται ὁ λόγος, ποτὶ τὸ νοατὸν ποτιβάλλει, ὅκα δὲ περὶ αἰσθατῶν, ποτὶ τὸ αἰσθατόν. Καὶ δι' αὐτὸ ψευδογραφίαι ἐν γεωμετρίᾳ κατὰ σχήματα καὶ ἀριθμὼς ἐμφαίνονται, αἰτιολογίαι δὲ καὶ εἰκοτολογίαι ἐν φυσιολογίᾳ καὶ πολιτικᾷ κατὰ γένεσιν καὶ πράξιας. Τὸ μὲν γὰρ, ὅτι ἐν διπλόῳ λόγῳ ἁρμονία τυγχάνει, ποτὶ τὸ νοατὸν ποτιβάλλων ὁ λόγος γινώσκει· τὸ δ', ὅτι συμφωνεῖ ὁ διπλόος λόγος, διὰ τᾶς αἰσθάσιος ἐπιμαρτυρεῖται. Καὶ τῶν μαχανικῶν δὲ τοὶ λόγοι ποττὰ νοατὰ ποτιβάλλονται σχήματα καὶ ἀριθμὼς καὶ ἀναλογίας. Τὰ δὲ ἀποτελέσματα ποτὶ τὰ αἰσθατά· μεθ' ὕλας γὰρ ταῦτα θεωρεῖται καὶ κινάσιος. Καθόλω δὲ ἀμάχανον γνῶμεν τὸ διὰ τί ἐν ἑκάστῳ μὴ προειδότας τὸ τί ἐντι ἕκαστον τῶν ἐόντων τῷ νόῳ· τὸ δὲ ὅτι ἐντι, καὶ ὅτι οὕτως ἔχει, λόγῳ καὶ αἰσθάσει· λόγῳ μὲν, ὅκα δεῖξιν τινὸς σημάνωμεν διὰ συλλογισμῶ, ὑπάρχοντος ἐξ ἀνάγκας· αἰσθάσει δ', ὅκα ἐπιμαρτυρώμεθα τὸν λόγον διὰ τᾶς αἰσθάσιος. [*Idem eodem Capite pag.* 722 *et seqq.*]

Ἐκ τοῦ περὶ τοῦ ὄντος.

VI. Πάντα μοι δοκέοντι ἁμαρτάνειν οἱ λέγοντες δύο λόγως περὶ παντὸς λέγεσθαι ἐναντίως ἀλλάλοις ναμερτέας ἀμφοτέρως. Ἐγὼ δὲ πρᾶτον τοῦτ' ἀδύνατον νομίζω, ἀμφοτέρων πιστῶν ἐόντων, ἐναντίως εἶμεν ἀλλάλοις, ὡς τὸ καλὸν τῷ καλῷ καὶ τὸ λευκὸν τῷ λευκῷ. Ἀλλὰ γὰρ οὐχ οὕτως ἔχει. Ἀλλά ἐντι τὸ καλὸν καὶ αἰσχρὸν ἐναντία, καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. Οὕτω δὲ καὶ τὸ ναμερτὲς τῷ

ψεύδει φαμὲν, οὐδὲ ναμερτέας δύο λόγους λέγεσθαι, ἢ δύο ψευδέας, ἀλλὰ τὸν μὲν ἀλαθῆ, τὸν δὲ ψεύσταν. Ὁ γὰρ τὰν ψυχὰν ἐπαινῶν τῶ ἀνθρώπω, καὶ τὸ σῶμα μεμφόμενος, οὐχ ὑπὲρ ταυτῶ λέγοι τι, εἰ μὴ καὶ εἴτι περὶ τᾶς γᾶς λέγοι καὶ τῶ οὐρανῶ ταυτόν. Ταῦτα γὰρ δύο ἐντὶ, ἀλλ' οὐχ ἓν ὄνομα. Καὶ τί δὲ θέλω καὶ τοῦτο δεῖξαι; Ὁ γὰρ λέγων περὶ τῶν Ἀθηναίων, ὥς ἐντι κατὰ λόγον ἄνδρες ἀγαθοὶ, καὶ ὁ λέγων, ὥς ἐντι περὶ χάριτας φαῦλοι, οὐκ ἐναντία λέγοντι. Τὰ γὰρ ἐναντία περὶ ταυτὸ πρᾶγμα ἀντικέαται ἀλλάλοις, ταῦτα δὲ δύο ἐντὶ πράγματα. [*Idem Eclog. Lib. II. Cap. II. de Dialectica pag.* 22. *seq.*]

Ἐκ τοῦ ἁρμονικοῦ.

VII. *Ἀρχύτας ὁ Ταραντῖνος ἀρχόμενος τοῦ ἁρμονικοῦ τὸ αὐτὸ οὕτω πως λέγει.*

Καλῶς μοι δοκοῦντι τὸ περὶ τὰ μαθήματα διαγνώμεναι, καὶ οὐδὲν ἄτοπον αὐτοὺς ὀρθῶς, οἷά ἐντι, περὶ ἑκάστω φρονέειν· περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀψεῖσθαι. Περὶ δὲ δὴ τᾶς ἀριθμητικᾶς καὶ γεωμετρίας καὶ σφαιρικᾶς παρέδωκαν ἅμμιν σαφῆ διάγνωσιν, οὐχ ἥκιστα δὲ καὶ περὶ μωσικᾶς. Ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι ἔμμεναι ἀδελφεὰ τὰ τῶ ὄντος πρώτιστα δύο εἴδεα τὰν ἀναστροφὰν ἔχει. [*Nicomach. Arithm. Lib. I. Cap. III. p.* 70. *ed. Ast.*]

VIII. *Ἀρχύτας ἔλεγεν ἐν τῇ κινήσει τῇ φυσικῇ ἐνεῖναι τὴν τοῦ ἴσου ἀναλογίαν, (κινεῖσθαι γὰρ ἀνάλογον πάντα) ταύτην δὲ μόνην εἰς αὐτὴν ἀνακάμπτειν, ὥστε κύκλους ποιεῖν καὶ στρογγύλα, ὅταν ἐγγένηται.* [*Aristot. Problem. XVI,* 10.]

IX. *Ἐκ τῶν ὅρων τοῦ Ἀρχύτου.*

Τί ἐστι νηνεμία; — Ἠρεμία ἐν πλήθει ἀέρος.

Τί ἐστι γαλήνη; — Ὁμαλότης θαλάττης. [*Idem Metaph. VIII,* 2.]

X. Ὁ χρόνος ἤτοι τὸ παράπαν οὐκ ἐντὶ, ἢ ἀμυδρῶς καὶ μόλις ἐντί. ᾧ γὰρ τὸ μὲν παρεληλυθὸς οὐκ ἔτι ἐντὶ, τὸ δὲ μέλλον οὐδέπω ἐντὶ, τὸ δὲ νῦν ἀμερὲς καὶ ἀδιαίρετον, πῶς ἂν ὑπάρχοι τοῦτο κατ' ἀλάθειαν; [*Simplic. Com-*

mentar. in Phys. Aristotelis fol. 137. citat. a Joach. Kuhn. ad Aelian. Var. Hist. XIV. 6. pag. 936. ed. Gronov.]

Praeter haec Archytae Fragmenta, quae augeri poterunt ex Simplicii aliorumque in Aristotelem commentariis, quos vero in publicis patriae urbis bibliothecis frustra quaesiveram, fertur sub ejus nomine libellus de X Categoriis editus graece et latine (ex interpretatione Dominici Pizzimentii) Venetiis 1571. *hac inscriptione:* Ἀρχύτου περὶ τοῦ παντὸς φύσιος, *graece autem a Joach. Camerario cum Georgii Pachymerae et Anonymorum quorundam Opusculis Philosophicis Lipsiae apud Voegelinum, sine anni locique nota, octonis, quem libellum rarissimum et paucis cognitum, licet manifesto sit spurius et post Aristotelis demum tempora confectus, ex cujus libro de Categoriis haud pauca ad verbum exscripsit hic scriptor, usus quidem Dorica Dialecto (sed minus pura mixtaque aliis idiomatibus) ad fucum faciendum lectoribus, tamen quia cum brevis est, tum etiam claritate et perspicuitate, qua multum antecellit alia ejusdem argumenti scripta ex antiquitate servata, commendabilis, reliquis Archytae Fragmentis adjicere placuit ex editione Joach. Camerarii. Nam Venetam oculis usurpare non licebat.*

ΑΡΧΥΤΟΥ ΚΑΘΟΛΙΚΟΙ ΛΟΓΟΙ ΔΕΚΑ.

Ἐν πράτοις ἐνὶ πάσᾳ τέχνᾳ ταῦτα ἕποντὰι τὰ πέντε, ὕλη, ὄργανον, μέρος, λόγος ὁριστικὸς καὶ τέλος. Καὶ ὁ μὲν πρᾶτος λόγος, ἡ οὐσία, πρᾶγμα αὐθύπαρκτον καὶ ὑφεστὸς, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, κἂν γενέσει ὑπόκειται, καθὸ γέγονε. μόνον γὰρ τὸ θεῖον ἀγέννατον, καὶ κυρίως αὐθύπαρκτον· οἱ δὲ λοιποὶ λόγοι θεωροῦνται περὶ τὰν οὐσίαν, ποτὶ οὓς ἀντιδιαστελλομένα λέγεται πρᾶγμα

αὐθύπαρκτόν. ἐπεὶ οὐχ ὡς πρὸς τὸ θεῖον, οἱ γὰρ ἐννέα λόγοι γίνονται καὶ ἀπογίνονται χωρὶς τᾶς τοῦ ὑποκειμένου φθορᾶς, ὅπερ ἐστὶ τὸ συμβεβακὸς λεγόμενον. ἔντι ὡς τὸ καθόλου συμβεβακός. τὸ γὰρ αὐτὸ μέγα καὶ μικκὸν γενόμενον κατὰ τὰν ποσότητα, τᾶς φύσιος οὐκ ἐξίσταται· ἁ μὲν γὰρ εἰς ἄκρον εὐεξία ἔειδεν ἐμποιεῖν αὔξασιν, καὶ τῷ σάματι ὄγκωσιν, ἡ δὲ ἐγκράτεια καὶ τὸ ὀλιγοσιτῆν καὶ ὑποσπασμόν τινα. Τὸ δὲ αὐτὸ μένει καὶ ὑποκείμενον, οἷον οἱ ἄνθρωποι ὡσαύτως παῖδες ὄντες εἰς ἀνδρὸς ἁλικίαν ἐλάσαντες, οἱ αὐτοὶ κατ᾽ οὐσίαν μένομες τᾷ ποσότατι διαφέροντες, καὶ νῦν μὲν λευκὸν, νῦν δὲ μέλαν τὸ αὐτὸ ὁρᾶται διαλλάττον τᾷ ποσότατι, τὰν δὲ οὐσίαν οὐκ ἀμείβει· καὶ νῦν μὲν φίλος ὁ αὐτὸς, νῦν δὲ ἐχθρὸς, διαφέρων τᾷ σχέσει καὶ τῷ πρός τι λεγομένῳ καὶ κατὰ τὴν οὐσίαν οὐ διαφέρει· καὶ νῦν μὲν ἐν ταῖς Θήβαις, νῦν δὲ ἐν Ἀθήναις, ὅπερ τὰ τοῦ λόγου ὂν ἑτερούσιον οὐκ ἐργάζεται. καὶ κατὰ τὴν οὐσίαν καὶ πέρυσι καὶ νῦν ὁ αὐτὸς διαμένει μὴ ἀλλοιούμενος. Ἔστι τε τοῦ πότε λόγου. Καὶ ἀνάκειται καὶ κάθηται ὁ αὐτὸς, πάλιν τοῦ κεῖσθαι καὶ ὁπλεῖσθαι καὶ ἄνοπλος ὁ αὐτός. ἔτι δὲ τοῦ ἔχειν, καὶ τύπτων τις, καὶ τέμνων ὁ αὐτὸς μετὰ τῆς οὐσίας μὴ ἐξιστάμενος· ἔστι δὲ τοῦ ποιεῖν. Καὶ τέμνεται τὶς καὶ τύπτεται, ὅπερ ἐστὶ τοῦ πάσχειν, τὸν τοῦ εἶναι λόγον διασώζων ἀναλλοίωτον. Αἱ μὲν οὖν τῶν ἄλλων λόγων διαφοραὶ ἐκδηλότεραι εἰσὶν, ἁ δὲ ποότης καὶ τὸ ἔχειν καὶ τὸ πάσχειν δυσθεωρητέρας ἔχουσι διαφοράς· τὸ γὰρ πυρέττειν, ἢ ῥιγᾶν, ἢ ἀγάλλεσθαι ἀμφιβολίαν ἄν τινα ἔχει, πότερον τᾶς ποότητος εἰσὶν ἂν ~~τοῦ ἔχειν~~, ἢ πάσχειν λόγου. Διακρίνεται δὲ οὕτως· εἰ μὲν γὰρ πυρετὸς ἐστὶν εἴπομεν, ἢ ῥῖγος, ἢ ἀγαλλίασις, τὰν ποότητα ἐσαμάναμεν· ἂν δὲ πυρέττειν, ἢ ῥιγᾶν ἢ ἀγάλλεσθαι τοῦ ἔχειν. Διαφέρει δὲ πάλιν τὸ ἔχειν τοῦ πάσχειν, ὅτι τὸ μὲν ἔχειν αὐτὸ καθ᾽ ἑαυτὸ θεωρεῖται ἄνευ τοῦ ἐνεργοῦντος, τὸ δὲ πάσχειν ποτὶ τὸν ἐνεργοῦντα διαστέλλεται, καὶ ἀπὸ τοῦ ποοῦντος καταλαμβάνεται· εἰ μὲν εἴπομες τέμνεται, ἢ πλήττεται, τὸν πάσχοντα ἐδαλώσαμες, εἰ ὀδυνᾶται, ἢ ἀλγεῖ, τὸ ἔχειν ἐσαμανάμεσθα.

Δέκα οὖν πλείους λόγους ἔμμεναι λέγομες, ὡς ἐκ τᾶς-

δε τᾶς διαιρέσεως ἐντὶ μαθεῖν. τὸ ὂν ἐν ὑποκειμένῳ ἐντὶ, ἢ οὐκ ἐν ὑποκειμένῳ, καὶ τὸ μὲν οὐκ ἐν ὑποκειμένῳ ποιεῖ τὰν οὐσίαν, τὸ δὲ ἐν ὑποκειμένῳ ἢ καθ' ἑαυτὸ θεωρεῖται, ἢ οὐ καθ' ἑαυτό. Καὶ τὸ μὲν οὐ καθ' ἑαυτὸ ποιεῖ τὰ πρός τι. σχέσεις γάρ ἐστι τὰ πρός τι μὴ καθ' ἑαυτὸ θεωρούμενα, ἀλλὰ συνεισάγοντα ἕτερον. Τὸ γὰρ υἱὸς ὄνομα συνεισάγει πατέρα, τὸ δὲ δοῦλος δεσπόταν, καὶ ἁπλῶς πάντα τὰ πρός τι ἐν σχέσει εἰσὶ καὶ οὐ καθ' ἑαυτὰ θεωρούμενα. τὸ δὲ καθ' ἑαυτὸ ἢ μεριστόν ἐστι, καὶ ποιεῖ τὰν ποσότητα, ἢ ἀμέριστον, καὶ ποιεῖ τὰν ποιότητα. οἱ δὲ λοιποὶ λόγοι ἐξ ἀπὸ τῆς τούτων μίξεως γίγνονται. ἁ γὰρ οὐσία τῇ ποσότητι μιγνυμένα ἢ ἐν τόπῳ ὁράεται, καὶ τὸν τοῦ ποῦ λόγον ποεῖ, ἢ ἐν χρόνῳ, καὶ τὸν τοῦ πότε ἀποτελεῖ λόγον. τῇ δὲ ποιότητι μιγνυμένη ἢ ἐνέργειαν ἔχει, καὶ ἐστὶ τὸ ποεῖν, ἢ πάθος, καὶ ποεῖ τὸ πάσχειν. τοῖς δὲ πρός τι συντρέχουσα ἢ ἐν ἄλλῳ τίθεται, καὶ τὸ κεῖσθαι λέγεται, ἢ περιτίθεται ἑτέρῳ, καὶ τὸ ἔχειν ἐστί. Τέτακται δὲ μετὰ τὴν οὐσίαν ἡ ποσότης, καὶ πρὸ τῆς ποιότητος, ὅτι κατὰ φύσιν ποσοῦται τὸ ὁ, τιοῦν πρᾶγμα καὶ ὄγκον λαμβάνει, καὶ οὕτω περὶ αὐτὸ ἡ ποιότης καθορᾶται καὶ λέγεται. ἡ δὲ ποιότης πάλιν προηγέεται τοῖς πρός τι, ὅτι τὸ μὲν καθ' ἑαυτὸ, τὸ δὲ πρός τι ἐν σχέσει. Πρῶτον δὲ καθορᾶται καὶ λέγεται καθ' ἑαυτὸ ἕκαστον, καὶ οὕτως ἐν σχέσει. ἀκολούθως δὲ τούτοις καὶ τὰ λοιπὰ τέτακται· τὸ μὲν γὰρ ποεῖν προηγέεται τοῦ πάσχειν, ὅτι τὸ μὲν ἐνεργεῖν τοῦ πάσχειν ἐστὶ δυνατώτερον. Τοῦ δὲ κεῖσθαι λόγος πάλιν προηγέεται τοῦ ἔχειν, ὅτι τὸ τίθεσθαι τῶ περιτίθεσθαι ἁπλούστερον. τὸ μὲν γὰρ τίθεσθαι ἐντὶ καὶ τοῦ περιτίθεσθαι δίχα, καὶ περιτίθεσθαι ἄνευ τοῦ τίθεσθαι οὐκ ἔστιν εὑρεῖν· ὁ γὰρ περιτιθέμενος καὶ αὐτὸς πάντως κεῖταί που, κατὰ μίαν τινὰ τοῦ κεῖσθαι θέσιν, στάσιν, καὶ καθέδραν, καὶ ἀνάκλισιν. Τᾶς μὲν οὖν οὐσίας ἴδιον τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. οὐ μᾶλλον ζῶον ὁ ἄνθρωπος τοῦ ἵππου ὑπάρχει ταῖς οὐσίαις καὶ τὸ τῶν ἐναντίων ἀνεπίδεκτον εἶναι, τῆς δὲ ποιότητος τόγε μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι· λευκὸν γὰρ μᾶλλον καὶ ἧττον λέγεται, καὶ μέλαν. Τῆς δὲ ποσότητός ἴδιον τὸ ἴσον καὶ ἄνισον ἡ γὰρ

σπιθαμὴ τῇ ὀργυιᾷ ἄνισος, καὶ τρεῖς παλαισταὶ τῇ σπιθαμῇ ἴσαι, καὶ τὰ πέντε τοῖς δέκα ἄνισα, τὰ δὲ δὶς πέντε ἴσα τοῖς δέκα. Τοῦ πρός τι δὲ ἴδιον τὸ συνάγειν τὰ ἀντικείμενα, πατρὸς γὰρ ὄντος ἐστὶ καὶ υἱὸς, καὶ δεσπότου ὄντος ἐστὶ καὶ δοῦλος. καὶ λέγεται τοῦ δὲ ποῦ, περιοχὰ, τοῦ δὲ πότε, τὸ μὴ διαμένειν, τοῦ δὲ ποιεῖν, ἁ ἐνέργεια, τοῦ δὲ πάσχειν, τὸ πάθος, τοῦ δὲ κεῖσθαι, ἁ ἐπίθεσις, τοῦ ἔχειν δὲ, ἁ περίθεσις. Προτερεύει τὰ ἐκ τᾶς οὐσίας καὶ τῆς ποσότητος τῶν ἐκ τᾶς οὐσίας καὶ τᾶς ποότητος, τὰ δὲ ἐκ τᾶς οὐσίας πάλιν καὶ τᾶς ποότητος τῶν ἐκ τᾶς οὐσίας καὶ τῶν πρός τι. Πάλιν τὸ ποῦ προτερεύει τοῦ πότε, ὅτι τὸ μὲν ποῦ τοπικόν ἐστι, ὁ δὲ τόπος διαμονὴν ἔχει, τὸ δὲ πότε χρονικόν ἐστιν, ὁ δὲ χρόνος οὐκ ἔχει διαμονὴν ἀεικίνατος ὤν. τὸ δὲ ἀρεμέειν προτερεύει τᾶς κινάσεως. Τὸ δὲ ποιεῖν πάλιν τοῦ πάσχειν προτέτακται, ὅτι τὸ ἐνεργεῖν τοῦ πάσχειν ἐστὶ προηγούμενον, τὸ δὲ κεῖσθαι προηγέεται τοῦ ἔχειν.

ΤΗΣ ΟΥΣΙΑΣ ΛΟΓΟΣ Α.

Διαιρεῖται ἁ οὐσία εἰς σῶμα καὶ ἀσώματον, τὸ σῶμα εἰς ἔμψυχον καὶ ἄψυχον, τὸ ἔμψυχον εἰς αἰσθητὸν καὶ ἀναισθητὸν, τὸ αἰσθητὸν εἰς ζῶον καὶ ζωόφυτον, οὐκ ἀντιδιαιρούμενον μέν. Διαιρέεται δὲ οὖν ὅμως τὸ ζῶον εἰς λογικὸν καὶ ἄλογον, τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον, τὸ θνητὸν εἰς τὰ ὑπ᾽ αὐτῷ τῷ εἴδει, ἄνθρωπον, βοῦν καὶ ἵππον, καὶ τὰ λοιπά. Τάδε εἴδη εἰς τὰ καθ᾽ ἕκαστα οὐτιδανά. ἕκαστον δὲ πάλιν τῶν ἄνωθεν ἀντιδιαιρουμένων ἰδίως ἔχει διαιρέσεις, παραπλησίως μέχρι τῶν ἀτόμων καὶ οὐτιδανῶν καὶ καθ᾽ ἕκαστα προϊούσας.

ΤΗΣ ΠΟΣΟΤΗΤΟΣ ΛΟΓΟΣ Β.

Τὸ δὲ πόσον εἰς ἑπτὰ διαιρεῖται, εἰς γραμμὰν, ἐπιφάνειαν, σῶμα, τόπον, χρόνον, ἀριθμὸν καὶ λόγον. Καὶ τὸ μὲν ἐντὶ αὐτῆς τῆς ποσότητος συνεχές. τὸ δὲ διωρισμένον καὶ συνεχοῦς τὰ πέντε, τοῦ δὲ διωρισμένου τὰ δύο, ὁ ἀριθμὸς καὶ ὁ λόγος. Ἔτι τῆς ποσότητος τὸ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλλαλα τῶν ἑαυτοῖς μορίων συνέστακεν, οἷον ἁ γραμμὰ, ἁ ἐπιφάνεια, τὸ σῶμα, καὶ ὁ τόπος, τὸ δὲ ἐξ οὐκ ἐχόντων θέσιν, ὡ

ὁ ἀριθμὸς, καὶ ὁ λόγος, καὶ ὁ χρόνος· εἰ γὰρ καὶ τοῦ συνεχοῦς ἐντὶ ὁ χρόνος, ὅμως θέσιν οὐκ ἔχει, ὅτι μὴ διαμένον· τὸ δὲ οὐ διαμένον πῶς ἂν ἔχοι θέσιν; Ἀπὸ δὲ τοῦ ποσοῦ καὶ αἱ τέσσαρες τῶν ἐπισταμῶν ἐξευρέθησαν· τὸ γὰρ συνεχὲς ποσὸν, ἢ ἀκίνατον, καὶ ποιεῖ τὴν γεωμετρίαν, ἢ κινατὸν καὶ ποιεῖ τὰν ἀστρονομίαν· τὸ δὲ διωρισμένον ἢ ἀκίνατόν ἐστι καὶ ποιεῖ τὰν ἀριθμητικὰν, ἢ κινατὸν καὶ ποιεῖ τὰν μουσικάν.

ΛΟΓΟΣ ΠΟΟΤΗΤΟΣ ΤΡΙΤΟΣ.

Ἁ δὲ ποότης διάκειται εἰς ταῦτα, ἕξιν καὶ διάθεσιν, παθητικὰν ποότητα, καὶ πάθος, δύναμιν καὶ ἀδυναμίαν, σχῆμα καὶ μορφάν. Ἐστὶ δ' ἁ μὲν ἕξις, ἐπίτασις διαθέσεως καὶ μονιμότας καὶ ἵδρυσις ἐκ τῆς συνεχοῦς καὶ ἐνεργουμένας διαθέσεως, οἷον εἰς φύσιν μετενεχθεῖσα καὶ δευτέρα τις χρηματίσασα φύσις. Λέγεται δὲ ἕξις καὶ τὰ κατὰ φύσιν ἄμμιν προσόντα καὶ μὴ ἐκ διαθέσεως καὶ προκοπᾶς ἐγγινόμενα, ὡς ἡ ὄψις, καὶ αἱ λοιπαὶ τῶν αἰσθήσεων καὶ ἁ παθητικὰ ποότης, ὁμοίως τοῦ πάθους ἐστὶν αὔξησις καὶ ἐπίτασις καὶ μόνωσις. Τὸ δὲ πάθος καὶ τὰν παθητικὰν ποότητα ἐπὶ ὀργῆς καὶ μίσους, καὶ ἀκολασίας, καὶ τῶν λοιπῶν τᾶς κακίας παθῶν καὶ τῶν ἐκ νόσου παθημάτων, θερμότητος καὶ ψυχρότητος νῦν μὲν ἐπὶ τῆς ἕξεως καὶ διαθέσεως τίθησιν, νῦν δὲ ἐπὶ τᾶς παθητικᾶς ποότητος τοῦ πάθους, καὶ ἐντὶν εἰπεῖν —— καθὸ μὲν μεθεκτὸν, ἕξιν προσηγόρευσαν, καθὸ δὲ πάθος ἐμποιεῖ, παθητικὰν ποότητα ταῦτα ὠνόμασαν, ὅ ἐστιν εἰς ἵδρυσιν καὶ μονιμότητα εἰπεῖν. Ἡ γὰρ μετρία ἀλλοίωσις πάθος ὠνόμασται, ὥστε ἀπὸ τοῦ μὲν μετέχοντος ἕξις ἂν γένοιτ' ἡ θερμότης, ἀπὸ δὲ τοῦ ἀλλοιοῦντος παθητικὰ ποότης, ἢ πάθους δύναμις λέγεται, οἷον ἐπὶ τοῦ βρέφους, ὅταν λέγῃ δυνάμει δρομικόν ἐστι, δυνάμει φιλόσοφον, καὶ ἁπλῶς ὅταν ἄρτι μὲν οὐκ ἔχει τὸ δύνασθαι ἐνεργεῖν παρόδοις χρονικοῖς ἐνδεχόμενον ἐγγενέσθαι τὸ δύνασθαι. Ἁ δυναμία δὲ ὅταν ἀνεπίδεκτος ἁ φύσις ἁ ἐπὶ τῷ τινὰ ποτὶ ἐνέργειαν παραδέξασθαι, οἷον ἀνθρώπῳ τὸ ἀναπτᾶναι ἀδύνατον, καὶ ἵππῳ τὸ ὁμιλεῖν, καὶ ἀετῷ βιοτεύειν ἐν ὕδατι, ἢ ὅσα κατὰ φύσιν ἀδύνατα. Σχῆμα δὲ λέγεται ἡ τοιάδε διατύπωσις καὶ διάπλασις· μορφὰ

δὲ ἡ ἔξωθεν ἐπιφαινομένη ποιότης ἐκ χρώματος, καὶ διαμόρφωσις, ἢ ἡ ἐπιπολάζουσα εὔχροια, ἢ καὶ ἡ τοὐναντίον δύσχροια, καὶ ἁπλῶς ἡ τοιάδε τις ἐπιβάλλουσα τῇ ὄψει τῆς ἐπιφανείας μορφά. Οἱ δὲ τὸ μὲν σχῆμα ἐπὶ τῶν ἀψύχων ὑπέλαβον, τὰν δὲ μορφὰν ἐπὶ τῶν ἐμψύχων. οἱ δὲ εἰπεῖν σχᾶμα μὲν τὸ ἐγχωροῦν διὰ βάθους, μορφὰν δὲ τὴν ἐξ ἐπιπολῆς ἐπιφάνειαν, περὶ ὧν μεμαθήκατε.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ ΤΟΥ ΠΡΟΣ ΤΙ.

Τῶν πρός τι γενικώτερον διαίρεσις τετραχῶς διαιρέεται, φύσει, τέχνᾳ, τύχᾳ, καὶ προαιρέσει. Φύσει μὲν, ὡς πατὴρ πρὸς τὸν υἱὸν, τέχνᾳ δὲ, ὡς μαθητὴς πρὸς διδάσκαλον, τύχᾳ δὲ, ὡς δοῦλος πρὸς δεσπόταν, καὶ προαιρέσει, ὡς φίλος πρὸς φίλον καὶ ἐχθρὸς πρὸς ἐχθρὸν, εἰ καὶ ἁπλῶς πάντα φύσει.

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ ΤΟΥ ΠΟΥ.

Τὸ ποῦ διαιρεῖται κατὰ τὸ ἁπλούστερον ἑξαχῶς, ἄνω, κάτω, ἔμπροσθεν, ὄπισθεν, δεξιὰ καὶ ἀριστερά. Ποικίλλεται δὲ ἕκαστον τούτων· τοῦ γὰρ ἄνω πολλαὶ διαφοραὶ, ἐν αἰθέρι, ἐν ἄστροις μέχρι τοῦ πόλου, ὑπὲρ τὸν πόλον, καὶ τὰ κάτω ὡσαύτως, καὶ τὰ ἀπειράκις ἀπείρως τοῖς μερικωτέροις τόποις ποικίλλεται. ἡ δὲ τούτων ἡ μεγίστη ἀμφιβολία λεχθήσεται.

ΛΟΓΟΣ ΤΟΥ ΠΟΤΕ ἝΚΤΟΣ.

Τὸ δὲ πότε εἰς τὸν ἐνεστῶτα, παρῳχημένον καὶ μέλλοντα διαιρεῖται· ὁ ἐνεστὼς ἀδιαίρετος, ὁ παρῳχημένος εἰς ἐννέα, ὁ μέλλων εἰς πέντε. ἐν δὲ τοῖς ὑπερτάτοις περὶ τούτων ἐλέχθη.

ΛΟΓΟΣ ἙΒΔΟΜΟΣ ΤΟΥ ΠΟΙΕΙΝ.

Τὸ δὲ ποιεῖν διαιρεῖται εἰς πρᾶξιν, καὶ λόγον, καὶ διανόημα. Ἁ πρᾶξις εἰς τὰν διὰ χειρῶν ἐργασίαν, εἰς τὰν δι' ὀβελῶν καὶ ὀργάνων ἐργασίαν, καὶ εἰς τὰν διὰ ποδῶν. Καὶ τούτων ἕκαστον εἰς ἰδικὰς ἐργασίας τὰς κατὰ μέρος διαιρουμένας. Ὁ δὲ λόγος εἰς τὰν Ἑλλάδα γλῶτταν, εἰς βάρβα-

ρον, καὶ ταύτων ἑκάστη εἰς διαλέξεις ποικίλλεται. Τὸ δὲ διανόαμα εἰς μύρια τῶν νοαμάτων ἐγκοσμίων τε καὶ ὑπερκοσμίων. Ὑπὲρ τοῦ ποιέειν καὶ ὁ λόγος καὶ τὸ διανόαμα ἐνεργείᾳ ὄντα τοῦ λογικοῦ. Φαμὲν γὰρ, τί ποιέει ὁ δεῖνα; ἀποκρινόμεθα ὁμιλέει, διαλέγεται, διανοέεται, λογίζεται, καὶ τὰ ἑξῆς.

ΛΟΓΟΣ ΟΓΔΟΟΣ ΤΟΥ ΠΑΣΧΕΙΝ.

Τὸ πάσχειν διαιρεῖται εἰς ψυχὴν καὶ σῶμα, καὶ τούτων ἕκαστον εἰς τὰ ἐξ ἐνεργείας ἑτέρου πάθη. Ἐξ ἐνεργείας δὲ ἐστὶν, ὅταν τύπτεταί τις. τὰ δὲ δίχα τοῦ ἐνεργοῦντος, ἃ πάλιν εἰς τὰ μυρία τῶν παθέων εἴδη τὴν διαίρεσιν δέχεται.

ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ ΤΟΥ ΚΕΕΣΘΑΙ.

Τὸ δὲ κέεσθαι εἰς τρία διαιρεῖται, στάσιν, καθέδραν, ἀνάκλισιν, ὧν ἕκαστον πάλιν τρόποις διαφόροις ποικίλλεται. ἥ τε γὰρ στάσις διάφορος, ἢ ἐφ' ὅλου τοῦ πέλματος, ἢ ἐπ' ἄκρων δακτύλων, ἢ ἐπ' ὀρθῶν τῶν ἰγνύων, ἢ ὀκλαζόντων ἐπὶ βημάτων, ἴσων, ἀνίσων ἐπ' ἀμφοτέροις τοῖς ποσὶν, ἢ ἐφ' ἑνὸς, πορεζόμενον· ἥ τε καθέδρα ὁμοίως, ὄρθωσις, πρηνὴς, ὕπτιος, ἐπ' ὀρθογωνίῳ τῷ τῶν γονάτων σχήματι, καὶ ἀμβλυγωνίῳ, καὶ ἐναλλὰξ τῶν ποδῶν, ἢ ἄλλως διακείμενος· ἥ τε ἀνάκλισις ὡσαύτως, ἢ ὕπτιος ἀνάκειται, ἢ πρηνὴς καὶ πλάγιος ἐκτάδην, ἢ ἡπλωμένως, ἢ ἐν καμπύλῳ, ἢ σκολιῷ τῷ σχήματι. καὶ ἁπλῶς ποικίλος, καὶ οὐ μονοειδὴς ἡ διαίρεσις. Ἔτι διαιρέεται τὸ κέεσθαι καὶ εἰς χύσιν, ὡς ἐπὶ τοῦ σίτου, ψάμμου, ἐλαίου καὶ ὕδατος, καὶ τῶν λοιπῶν, ὅσα τοῦ κέεσθαι ἐστὶ ξηρὰ ὄντα, καὶ εἴ τι ὑγρᾶς γνωρίζομεν φύσεως. καὶ μέντοι καὶ τὸ ἡπλῶσθαι τοῦ κεῖσθαί ἐστιν, ὡς ἐπὶ λίνου, καὶ τῶν ἐπιπλόων.

ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ ΤΟΥ ΕΧΕΙΝ.

Τὸ δὲ ἔχειν εἰς περίθεσιν διαιρέεται, ὡς τὸ ὑποδεδέσθαι, ὡπλίσθαι, ἐσκεπάσθαι. εἴς τε ἔνθεσιν, ὡς ἐπὶ μεδίμνου, καὶ κεραμίου, καὶ τῶν λοιπῶν ἀγγείων. Λέγομεν γὰρ, πυροὺς ἔχειν τὸν μέδιμνον, ἢ οἶνον τὸν κέραμον. Καὶ εἰς πλοῦτον

καὶ κτῆσιν, οἷον πλοῦτον ἔχων, ἀγρὸν, ζεῦγος, καὶ τὰ τούτοις παραπλήσια.

Τέλος.

Alius plane et Tarentino pluribus seculis recentioris Archytae videtur esse dictum illud de Eratosthenis Mercurio, quod servavit nobis Stobaeus Serm. XCIII. inscript. *Laus paupertatis.*

Ἀρχύτας ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν, τοῦτον ἐπήνεγκε τὸν στίχον·

> Χρειὼ πάντ' ἐδίδαξε, τί δ' οὐ χρειώ κεν ἀνεύροι;

καὶ τοῦτο·

> Ὀρθοῦσι καὶ μᾶλλον ἐκωδίνουσι μέριμναι.

Archytas cum Eratosthenis Mercurium legisset, hunc versum protulit:

> *Necessitas omnia docuit. Quid enim illa non inveniret?*

et illud:

> *Curae emendant et plura parturiunt.*

ΠΥΘΑΓΟΡΙΚΩΝ
ΤΙΝΩΝ
ΣΥΓΓΡΑΜΜΑΤΩΝ
ΑΠΟΣΠΑΣΜΑΤΙΑ

EX QUORUNDAM
PYTHAGOREORUM
LIBRIS FRAGMENTA
IN QUIBUS DE PHILOSOPHIA MORALI AGITUR
SERVATA A JOANNE STOBAEO.

ΠΥΘΑΓΟΡΙΚΩΝ ΤΙΝΩΝ
ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

1.

ΕΚ ΤΩΝ
ἹΠΠΟΔΑΜΟΥ ΘΟΥΡΙΟΥ
ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ.

ἘΝ ΤΩ ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ.

Τῶν ζώων τὰ μὲν ἐντὶ δεκτικὰ τᾶς εὐδαιμονίας· τὰ δὲ ἄδεκτα. Καὶ δεκτικὰ μὲν, ὅσα λόγον ἔχει (ἁ μὲν γὰρ εὐδαιμονία οὐκ ἄτερθεν ἀρετᾶς· ἁ δὲ ἀρετὰ ἐγγίνεται τῷ λόγον ἔχοντι πρᾶτον), ἄδεκτα δὲ, ὅσα λόγον οὐκ ἔχει. οὔτε γὰρ τὸ ὄψιος ἄμοιρον δέχεται ὄψιος ἔργον, ἢ τᾶς ὄψιος ἀρετάν· οὔτε τὸ λόγω ἄμοιρον τὸ τῶ λόγον ἔχοντος ἔργον, ἢ τὰν τῶ λόγον ἔχοντος ἀρετάν. ἁ δ' εὐδαιμονία καὶ ἀρετὰ τῷ λόγον ἔχοντι, τὰ μὲν ὡς ἔργον, τὰ δὲ ὡς τέχνα τὶς ἐντί. Τῶν δὴ λόγον ἐχόντων ζώων τὰ μέν ἐντι αὐτοτέληα, ὅσα δι' αὐτὰ τέληά ἐντι, καὶ οὐδενὸς ἐπιδεῆ τῶν ἔξωθεν, οὔτε ποτὶ τὸ ἦμεν, οὔτε ποτὶ τὸ καλῶς ἦμεν. τοιοῦτος δέ κεν εἴη ὁ θεός. οὐκ αὐτοτέληα δὲ, ὅσα μὴ δι' αὐτὰ τέληά ἐντι, ποτιδέεται δὲ τᾶς ἔξωθεν αἰτίας. τοιοῦτος δέ κεν εἴη ὁ ἄνθρωπος. Τῶν δὲ οὐκ αὐτοτελήων τὰ μέν ἐντι τέληα, τὰ δ' οὐ τέληα. καὶ τέληα μὲν, ὅσα καὶ παρὰ τὰν αὑτῶν αἰτίαν, καὶ παρὰ τὰς ἔξωθεν αἰτίας γίνονται· καὶ παρὰ μὲν τὰν αὑτῶν, τῷ καὶ φύσιν ἀγαθὰν καὶ προαίρεσιν ποτενέγκασθαι· παρὰ δὲ τὰς ἔξωθεν, τῷ εὐνομίαν καὶ ἐπιστάτας ἀγαθὼς λαβεῖν. οὐ τέληα δὲ, τὰ ἤτοι μηδετέρω τούτων κοινωνάσαντα, ἢ τινὸς αὑτῶν, ἢ τὸ καθόλου φαῦλα ὑπάρ-

PYTHAGORICORUM VETERUM
FRAGMENTA MORALIA.

1.

EX HIPPODAMO THURIO PYTHAGOREO.

IN LIBRO DE FELICITATE.

Animalia beatitudinis alia capacia sunt, alia non sunt. Capacia sunt ea, quae ratione sunt praedita: quandoquidem beatitudo sine virtute consistere non potest, virtus autem praecipue in eo, quod rationis est compos, cernitur. Capacia (beatitudinis) non sunt, quae ratione carent. Etenim nec quod visu caret, visûs aut operis aut virtutis est capax, nec quod rationis est expers, ratione praediti vel opus vel virtutem potest capere. At beatitudo et virtus ratione praedito illa tanquam opus, haec tanquam ars quaedam est. Jam ratione praeditorum quaedam per se sunt perfecta, nec ulla re externa, vel ut sint, vel ut bene sint, indigent. Talis sane Deus fuerit. Non sunt autem per se perfecta, verum opis externae indigent, qualis quidem sit homo. Rursus ex numero eorum, quae non per se perficiuntur, quaedam perfecta sunt, quaedam imperfecta. Perfecta, quae et suis et externis causis nituntur; suis, quod et naturam bonam et consilium rectum attulerint, externis, quod rectam legum constitutionem et bonos praefectos nacti sint. Imperfecta sunt, quae vel neutrum istorum vel alte-

χοντα καττόν γε τρόπον τᾶς ψυχᾶς. τοιοῦτος δέ κεν εἴη θάτερος ἄνθρωπος. Τῶν δὲ τελήων ἀνθρώπων δοιαὶ διαφοραί· τοὶ μὲν γάρ ἐντὶν αὐτῶν καττὰν φύσιν τέληοι, τοὶ δὲ καττὸν βίον. Καὶ κατὰ φύσιν μὲν μόνοι οἱ ἀγαθοί. οὗτοι δέ κ' εἶεν τοὶ ἔχοντες τὰν ἀρετάν. ἁ γὰρ ἀρετὰ τᾶς ἑκάστω φύσιος καὶ ἀκρότας καὶ τεληότας ἐντὶ, ἁ μὲν τῶ ὀφθαλμῶ, τᾶς τῶ ὀφθαλμῶ φύσιος ἀκρότας καὶ τεληότας, ἁ δὲ τῶ ἀνθρώπω, τᾶς τῶ ἀνθρώπω φύσιος καὶ ἀκρότας καὶ τεληότας. καττὸν βίον δὲ τέληοι, τοὶ μὴ μόνον ἀγαθοὶ ὄντες, ἀλλὰ καὶ εὐδαίμονες· ἁ μὲν γὰρ εὐδαιμονία τεληότας ἐντὶ βίω ἀνθρωπίνω· ὁ δὲ βίος ὁ ἀνθρώπινος σύσταμα τῶν πραξίων· ἁ δ' εὐδαιμονία συμπεραίνοισα τὰς πράξιας. συμπεραίνει δὲ τὰς πράξιας ἀρετὰ καὶ τύχα· τὰ μὲν ἀρετὰ καττὰν χρῆσιν· τὰ δ' εὐτυχία καττὰν κατόρθωσιν. ὁ μὲν ὦν θεὸς οὔτε μαθὼν παρά τινος τὰν ἀρετὰν, ἀγαθὸς ἐγένετο, οὔτε ἐπισυναρξαμένας αὐτῷ τᾶς τύχας εὐδαίμων· φύσει γὰρ ἦν ἀγαθὸς, καὶ φύσει εὐδαίμων, καὶ ἀεὶ ἦν, καὶ ἐσεῖται, καὶ οὐδέποκα ὑπολείψει τοιοῦτος ἐὼν, ἄφθαρτος ἐὼν καὶ φύσει ἀγαθός. ὁ δὲ ἄνθρωπος οὔτε τᾷ φύσει εὐδαίμων, ἀλλὰ μαθήσιος καὶ προνοίας ποτιδέεται, ποτὶ μὲν τὸ γενέσθαι ἀγαθὸς, τᾶς ἀρετᾶς, ποτὶ δὲ τὸ γενέσθαι εὐδαίμων, τᾶς εὐτυχίας. Καὶ διὰ τοῦτο ἐκ δύο τούτων ἁ ἀνθρωπίνα εὐδαιμονία συγκεφαλαιοῦται, ἐπαίνω τε καὶ μακαρισμῶ· ἐπαίνω μὲν τῶ ἐξ ἀρετᾶς, μακαρισμῶ δὲ τῶ ἐξ εὐτυχίας. τὰν μὲν ὦν ἀρετὰν ἔχει διὰ τὰν θείαν μοῖραν, τὰν δὲ εὐτυχίαν διὰ τὰν θνατάν. Ἐξήρτηται δὲ τὰ μὲν θνατὰ ἀπὸ τῶν θήων, καὶ τὰ ἐπὶ γῆς ἀπὸ τῶν ὠρανίων· τὰ δὲ χερήονα ἀπὸ τῶν βελτιόνων. Καὶ διὰ τοῦτο ὁ μὲν ἑπόμενος τοῖς θήοις ἀγαθὸς εὐδαιμονεῖ· ὁ δὲ ἑπόμενος τοῖς θνατοῖς κακοδαιμονεῖ. Τῷ μὲν γὰρ τὰν φρόνασιν ἔχοντι ἀγαθὸν εὐτυχία καὶ χρήσιμον· καὶ ἀγαθὸν μὲν διὰ τὰν γνῶσιν τᾶς χρήσιος, ὠφέλιμον δὲ διὰ τὸ συνεργὲν ταῖς πράξεσι. Καλὸν ὦν, ὅκα εὐτυχία παρῇ τῷ νῷ, ὥσπερ οὐρίῳ ἀνέμῳ θέοντα, καττὰν ἀρετὰν ἀποβλέποντα ποιέεσθαι τὰς πράξιας, ὥσπερ καὶ τὸν κυβερνάταν ποτὶ τὰς τῶν ἄστρων κινάσιας· οὕτω γὰρ οὐ μόνον ἀκολουθήσει τῷ θεῷ, ἀλλὰ καὶ συντά-

rutrum duntaxat sunt consecuti, vel prorsus pravo sunt ingenio, quales etiam homines quidam reperiuntur. Perfecti homines porro alii natura sunt, alii vita perfecti: natura, qui boni duntaxat sunt, id est virtute praediti. Virtus enim uniuscujusque naturae excellentia et perfectio est: oculi quidem virtus, oculi naturae perfectio praestantiaque, hominis autem, humanae naturae perfectio est et excellentia. Vita perfecti sunt, qui non boni tantum, verum etiam beati sunt. Cum enim beatitudo sit humanae vitae perfectio, vita quidem est actionum compositio, eas autem ad finem deducit beatitudo, quod fit virtute duce ac fortuna. Et virtus quidem consideratur in ipso usu, fortuna autem in successu. Ac Deus quidem nec ab alio virtutem edoctus bonus evasit, neque fortuna duce felix: etenim natura tum bonus tum beatus erat, semperque et fuit et erit, nec unquam talis esse desinet, cum interire non possit. Homo vero nec bonus natura nec beatus est, verum disciplinam et curam requirit: nempe ut bonus fiat, virtutis, ut beatus evadat, fortuna indigens. Quocirca duo haec beatitudinem humanam constituunt, laudatio et felicitatis praedicatio. Laudatio virtuti, altera felicitati tribuitur. Virtutem igitur habent homines propter divinitatis commercium, fortunae vero prosperitatem ab humana ratione. Dependent enim mortalia a divinis, terrestria a coelestibus et deteriora a melioribus. Quocirca qui divina sequitur, beatus, qui mortalia, miser erit. Nam prudentia praedito bona est prospera fortuna et utilis, bona quidem, quoniam uti novit, utilis vero, quoniam actionibus confert. Pulchrum igitur est, quando cum felicitate prudentia conjungitur, veluti secundis ventis currentem ad virtutem tanquam ad Cynosuram et siderum motus respicientem actiones perficere. Sic enim non solum deum sequetur, verum etiam bonum humanum ad imitationem divini instituet.

ξει τὸ ἀνθρώπινον ἀγαθὸν ποτὶ τὸ θῆον. Καὶ μὰν καὶ τοῦτό γε φανερὸν, ὅτι ἐκ διαθέσιος καὶ πράξιος βίος διαφέρων γίνεται· ἀνάγκα δὲ τὰν μὲν διάθεσιν ἢ σπουδαίαν ἢ φαύλαν ἦμεν, τὰν δὲ πρᾶξιν ἢ εὐδαίμονα ἢ κακοδαίμονα. καὶ σπουδαίαν μὲν, τὰν ἀρετᾶς μετειληφυῖαν, φαύλαν δὲ, τὴν κακίας· τὰς δὲ πράξιας εὐδαίμονας μὲν ἐν τᾷ εὐτυχίᾳ, (συμπεραίνονται γὰρ ποτὶ τὸν λόγον) κακοδαίμονας δ' ἐν τᾷ ἀτυχίᾳ· ἀποτεύκτικὸν γὰρ τῶ συμπεράσματος. διόπερ οὐ μόνον μαθεῖν δεῖ τὰν ἀρετὰν, ἀλλὰ καὶ κτάσασθαι καὶ χράσασθαι αὐτᾷ, ἤτοι ἐς ἀσφάλειαν, ἢ ἐς συναύξησιν, ἢ, τὸ μέγιστυν, ἐς ἐπανόρθωσιν οἴκων καὶ πολίων. Οὐ γὰρ μόνον τὰν κτᾶσιν ἔχειν δεῖ τῶν καλῶν, ἀλλὰ καὶ τὰν ὄνασιν. Ταῦτα δὲ πάντα ἐσεῖται, αἴκα πόλιος εὐνομουμένας τύχῃ ὁ ἄνθρωπος. Καὶ ταῦτα μὲν ἐγὼ φαμὶ ἦμεν τὸ ὀνομαζόμενον Ἀμαλθείας κέρας· ἐν εὐνομίᾳ γὰρ τὰ πάντα ἐντί· καὶ ἄνευ ταύτας οὔτε γεννᾶται τὸ μέγιστον τᾶς ἀνθρωπίνας φύσιος ἀγαθὸν, οὔτε γενναθὲν καὶ αὐξαθὲν δύναιτὸ καὶ διαμένεν. Καὶ γὰρ τὰν ἀρετὰν καὶ τὰν φορὰν ποττὰν ἀρετὰν αὐτὰ ἀμπέχει, τῷ καὶ φύσιας ἀγαθὰς γεννᾶσθαι κατ' αὐτὰν, καὶ ἤθεα δὲ, καὶ ἐπιταδεύματα, καὶ νόμως ἦμεν τὼς ἀρίστως, ἔτι δὲ λόγως ὀρθογνώμονας, καὶ εὐσέβειαν δὲ καὶ ὁσιότατα ποτὶ τὰν τιμιότατα. ὥστε τῷ μέλλοντι εὐδαιμονάσειν, καὶ ὀρθόπλοον ἕξειν τὸν αὐτῶ βίον, εὐνομίας ὑπαρχοίσας καὶ διαπερᾶσαι δεῖ καὶ διελθεῖν αὐτὸν, εὐνομίαν καταλιπόντα. Ἅμα δὲ καὶ ἀνάγκαν ἐπεμφέρει ὁ λόγος τοῖσιν ἔμπροσθεν εἰρημένοις. Ὁ γὰρ ἄνθρωπος κοινωνίας μέρος ἐντί. καὶ σὺν τούτοις ὁλόκλαρος γίνεται καττὸν αὐτὸν λόγον, σὺν τῷ μὴ μόνον κοινωνὲν, ἀλλὰ καὶ καλῶς κοινωνέν. ἃ μὲν γὰρ ἐν πλείοσιν, ἀλλ' οὐκ ἐν ἑνὶ πέφυκε γίγνεσθαι· ἃ δὲ ἐν ἑνὶ μὲν, οὐ μὰν ἔτι ἐν πλείοσιν· ἃ δὲ καὶ ἐν πλείοσι καὶ ἐν ἑνὶ, καὶ διὰ τοῦτο ἐν ἑνὶ, ὅτι καὶ ἐν πλείοσιν. Ἁρμονία μὲν γὰρ καὶ συμφωνία καὶ ἀριθμὸς ἐν πλείοσιν ἐγγίγνεσθαι πέφυκεν· οὐδὲν γὰρ αὔταρκες, ὃ τούτων τῶν μορίων ποιεῖ τὸ ὅλον. Ὀξυακοΐα δὲ καὶ ὀξυδορκία καὶ ποδῶν ὠκύτας ἐν ἑνὶ μόνον· εὐδαιμονία δὲ καὶ ἀρετὰ ψυχᾶς καὶ ἐν ἑνὶ καὶ ἐν πλείοσι, καὶ ἐν τῷ ὅλῳ,

Hoc quoque manifestum est, ex affectionibus et ipsa actione vitae discrimen gigni. Caeterum affectio necessario aut bona aut prava fuerit, actio autem felix vel infelix. Honesta affectio est, quae virtutis, prava, quae malitiae particeps est: actiones autem felices quidem in prosperitate consistunt, (ut quae pro animi sententia eveniant) infelices contra in improsperitate, frustrantur enim eventu. Quapropter virtus non modo discenda, verum etiam possidenda et ad familiarum ac rerum publicarum vel securitatem vel augmentum vel etiam, quod est maximum, emendationem est usurpanda: rerum enim praeclararum non tam possessionem, quam usum habere convenit. Quae quidem omnia contingent, si quis rem publicam bene constitutam nanciscatur, id quod equidem Amaltheae quod dicitur cornu voco. Etenim in recta legum constitutione sunt omnia, neque maximum humanae naturae bonum vel existere absque ea, vel comparatum et auctum permanere possit. Nam et virtutem et progressum, qui ad virtutem fit, haec in se complectitur; quandoquidem in ea partim naturae bona procreantur, partim et mores, studia legesque fiunt optimae, et recta ratio, pietas, sanctimonia vigent maximopere. Quamobrem qui beatus futurus vitamque suam bene et prospere acturus est, eam in bene constituta re publica transigat oportet et posteris eam relinquat. Quid quod etiam necessario, quae ante dicta sunt, ita se habent? Cum sit enim homo societatis pars, cum illis (quibuscum conjunctus est) eodem modo perfectus evadit, si non tantum socium, sed et bonum socium se praebeat. Quaedam etenim in pluribus, non in uno, quaedam in uno, non in pluribus cernuntur, quaedam et in pluribus et in uno, ideoque in uno, quoniam et in pluribus. Nam harmonia, concentus, numerus in pluribus cernuntur, quandoquidem horum nulla pars totum queat constituere. Jam visus et auditus praestantia, pedumque velocitas in uno duntaxat existunt. At beatitudo et animi virtus et in uno,

καὶ ἐν τῷ παντὶ, καὶ διὰ τοῦτο ἐν τῷ ἑνὶ, ὅτι καὶ ἐν πλείοσι καὶ ἐν τοῖς πλείοσιν, ὅτι καὶ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ παντί. Ἅ τε γὰρ τᾶς ὅλας φύσιος διακόσμασις καὶ τὸ καθ' ἓν ἕκαστον διακεκόσμακεν, καὶ ἁ καθ' ἕκαστον δὲ διακόσμασις τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλάρωκε. Τοῦτο δὲ ἀκολουθεῖ διὰ τὸ τᾷ φύσει πρᾶτον ἦμεν τὸ ὅλον τῶ μέρεος, ἀλλ' οὐ τὸ μέρος τῶ ὅλω. Αἴτε γὰρ μὴ ᾖ ὁ κόσμος, οὐδ' ἂν ὁ ἅλιος ἦν, οὐδ' ἁ σελάνα, οὐδ' οἱ πλάνατες ἀστέρες, οὐδ' οἱ ἀπλανέες· ὄντος δέ γε τῶ κόσμω, καὶ τούτων ἕκαστόν ἐντι. Ἴδοι δὲ καὶ τοῦτο ἄν τις καὶ ἐπ' αὐτᾶς τᾶς τῶν ζώων φύσιος. αἴκα γὰρ μὴ ᾖ ζῶον, οὐδ' ὀφθαλμὸς, οὐδ' ἂν στόμα, οὐδ' ἂν ἀκοά, ὄντος δὲ καὶ ζώω, καὶ τούτων ἕκαστόν ἐντι. Ὡς δὲ ἔχει τὸ ὅλον ποτὶ τὸ μέρος, οὕτω καὶ ἁ τῶ ὅλω ἀρετὰ ποτὶ τὰν τῶ μέρεος. μὴ ὑπαρχοίσας γὰρ ἁρμονίας καὶ ἐπόψιος θήας περὶ τὸν κόσμον, οὐκ ἂν ἐδύνατο συνῆμεν ἔτι καλῶς ἔχοντα τὰ ἐγκεκοσμαμένα· μὴ ὑπαρχοίσας δ' εὐνομίας περὶ τὰς πόλιας, οὐκ ἂν δύναιτό τις ἀγαθὸς ἢ εὐδαίμων πολίτας ἦμεν. μὴ ὑπαρχοίσας δὲ ὑγιείας περὶ τὸ ζῶον, οὐκ ἂν δύναιτο πούς ἢ χεὶρ σθεναρά τε καὶ ὑγιεινὰ ἦμεν. Ἔστι γὰρ ἁ μὲν ἁρμονία ἀρετὰ τῶ κόσμω, ἁ δ' εὐνομία ἀρετὰ πόλιος, ἁ δ' ὑγίεια καὶ ἁ ἰσχὺς ἀρετὰ σώματος. καὶ ἕκαστον δὲ τῶν ἐν αὐτοῖς μερέων συντέτακται ποτὶ τὸ ὅλον καὶ τὸ πᾶν· ὀφθαλμοί τε γὰρ ὁρῶνται ὑπὲρ τῶ παντὸς σώματος, καὶ τἆλλα δὲ μόριά τε καὶ μέρεα ὑπὲρ τῶ ὅλω καὶ τῶ παντὸς συντέτακται.*) [Στοβ. λόγ. ρά. περὶ εὐδαιμονίας.]

II. Φαμὶ δ' ἐγὼ, εἰς μοίρας τρεῖς διεστάσθαι τὴν σύμπασαν πολιτείαν. καὶ μίαν μὲν εἶναι μοῖραν τῶν ἀγαθῶν, κυβερνώντων τὰ κοινά· δευτέραν δὲ τῶν δυνάμει· τρίταν δὲ τῶν ἐκπλαρώσει καὶ χορηγίᾳ τῶν ἀναγκαίων. Ὀνυμαίνω δὲ τὸ μὲν πρῶτον πλᾶθος βουλευτικὸν, τὸ δὲ δεύτερον ἐπίκουρον, τὸ δὲ τρίτον βάναυσον. Καὶ τὰ μὲν αὐ-

---

*) Eadem de causa, qua supra Archytae Fragmenta Politica Moralibus adjunximus, hic etiam Hippodami Fragmenta Politica reliquis addere placuit. [O.]

et in pluribus, et in toto, et in universo cernitur, ideoque in uno, quoniam etiam in pluribus, ideoque in pluribus, quoniam et in toto atque universo. Totius namque naturae constitutio singulas partes constituit, et singulorum constitutio totum atque universum absolvit. Hoc ita consequitur, quoniam totum natura prius est parte, non pars toto: si enim mundus non esset, nec sol, nec luna, nec vel fixae vel errantes extarent stellae: mundo vero existente, horum quoque singula cernuntur. Itidem se res habet in animalium natura. Videlicet si non sit animal, non oculus, non os, nec aures erunt, at si existat animal, haec quoque singula cernuntur. Sicut porro totum ad partem, sic etiam totius virtus ad partis virtutem se habet. Nam nisi harmonia et providentia divina mundus regeretur, non possent amplius, quae constituta sunt, in statu suo permanere. Absque recta legum in civitate constitutione nullus civium posset esse vel bonus vel beatus: absque animalis sanitate non posset nec pes nec manus roboris et valetudinis esse particeps. Est enim, ut mundi virtus harmonia, ita civitatis bona legum constitutio, et corporis sanitas ac robur. Singulae autem in ipsis partes ad ipsum totum et universum referuntur. Nam et oculi pro toto corpore cernunt, et reliquae partes totius atque universi causa constitutae sunt. [*Stob. Serm. CI. de felicitate.*]

II. Ego vero censeo, universam rempublicam in tres ordines dividi, et eorum quidem primum esse bonorum, qui publica negotia moderantur, alterum eorum, qui viribus pollent, tertium tandem eorum, qui supplendis ac suppeditandis necessariis occupantur. Nomino autem primum quidem ordinem consiliarium, secundum auxiliarem, tertium mechanicum. E qui-

τῶν ἐλευθέρων βιοτὰν ἐχόντων οἰκῆα φαμὶ εἶμεν, το δὲ τρίτον τῶν βιοπόνων. Καὶ τὸ μὲν βουλευτικὸν ἄριστον εἶμεν· τὸ δὲ βάναυσον χερήϊον· τὸ δ' ἐπίκουρον μέσον. Καὶ τὸ μὲν βουλευτικὸν ἄρχεν δεῖ· τὸ δὲ βάναυσον ἄρχεσθαι· τὸ δ' ἐπίκουρον καὶ ἄρχεν καὶ ἄρχεσθαι. Τὸ μὲν γὰρ καὶ τί δεῖ πράττειν, προβουλεύει· τὸ δ' ἐπίκουρον, τῷ μὲν προπολεμεῖν, ἄρχει τῶ βαναύσω παντὸς, τῷ δὲ προβουλεύεσθαι, ἄρχεται.

Ταυτᾶν δὲ τᾶν μοιρᾶν ἑκάστα πάλιν εἰς τρία τέτακται. Τῶ τε γὰρ βουλευτικῶ μέρος τὸ μὲν ἐντι πρόεδρον τὸ δὲ ἀρχοντικόν· τὸ δὲ κοινοβουλευτικόν· πρόεδρον μὲν τὸ προσυνεδρεῦον καὶ τὸ προβουλευόμενον περὶ τῶν πραγμάτων, καὶ ὕστερον ἐπαναφέρον ἐπὶ τὰν βουλάν· ἀρχοντικὸν δὲ τὸ ἤθει ἀρχὸν ἢ γεγενναμένον ἀρχοντικόν· κοινοβουλευτικὸν δὲ τὸ ἄλλο πλᾶθος τὸ παραδεχόμενον τὰ προσυνεδρευμένα καὶ ἐπιψαφιζόμενον καὶ ἐπικυροῦν τὰ ἐπὶ κρίσει. Ὡς δ' ἁπλῶς εἰπεῖν, δεῖ τοὺς μὲν προέδρους ἐπὶ τὸ κοινοβουλευτικὸν ἀναφέρεν, τὸ δὲ κοινοβουλευτικὸν διὰ τῶν στραταγῶν ἐπὶ τὴν ἐκκλησίαν. Ὡσαύτως δὲ καὶ τῶ ἐπικούρω καὶ τῶ δυναμικῶ μέρος τὸ μὲν τί ἐντιν ἀρχοντικὸν, τὸ δὲ προμαχατικὸν, τὸ δὲ λοιπὸν καὶ πλεῖον μέρος ἀγελαῖον καὶ στρατιωτικόν. Ἀρχοντικὸν μὲν ὦν ἐντιν, ἐξ ὧ στρατοπεδάρχαι καὶ ταξιάρχαι καὶ λοχαγοὶ καὶ πρόμαχοι καθίστανται, καὶ καθόλου πάντες οἱ ἁγεμονίαν ἔχοντες. προμαχατικὸν δὲ τὸ τῶν ἀνδρικωτάτων καὶ θυμικωτάτων καὶ τολματικωτάτων πᾶν γένος· ἀγελαῖον δὲ καὶ στρατιωτικὸν τὸ λοιπὸν πλᾶθος. Τῶ δὲ βαναύσω καὶ βιοπονατικῶ τὸ μέν ἐντι γεωπόνον, καὶ περὶ τὰν κατεργασίαν τᾶς χώρας κατασχολούμενον· τὸ δὲ τεχνατικὸν, ὄργανα καὶ ἐπιμαχανήματα τοῖς τῶ βίω πράγμασιν ἐκποριζόμενον· τὸ δὲ μεταβατικὸν καὶ ἐμπορικὸν, ὃ τὰ μὲν ἐν τῇ πόλει περιουσιάζοντα ἐπὶ τὰν ξέναν διάγεται, τὸ δὲ ἀπὸ τᾶς ξένας ἐς τὰν πόλιν. Τὰ μὲν ὦν συστάματα τᾶς πολιτικᾶς κοινωνίας διὰ τοσούτων καὶ τοιῶνδε μερέων συντέτακται· ἔπειτα δὲ περὶ ἁρμογᾶς καὶ ἑνώσιος

bus priores eorum esse proprios statuo, qui ingenuam et liberalem vitae conditionem vivunt: tertium vero eorum, qui labore sibi victum quaeritant: et consiliarium quidem omnium praestantissimum, mechanicum deteriorem, auxiliarem vero medium. Consiliarium porro praeesse et imperare oportet, mechanicum imperio subjici, auxiliarem vero et imperare et subjici imperio. Ille enim (consiliarius), quid faciendum sit, prius consulit, auxiliaris vero, quatenus propugnat, toti mechanicorum turbae imperat, quatenus vero ab aliis prius capiuntur consilia, imperio subjicitur.

Ceterum singuli trium istorum ordinum denuo in tres alios subdividuntur. Consiliarii enim ordinis pars quaedam est, quae praesidet, alia, quae regit, alia, quae de publicis negotiis statuit. Atque ea quidem, quae praesidet, ea est, quae prior considet et de rebus deliberat, de quibus postea ad senatum refert. Ea vero, quae regit, regit vel ex more et instituto, vel nata est ad regendum (regendi potestatem habet jure quasi haereditario). Ea autem, quae de publicis negotiis statuit, ex reliqua multitudine constat, quae a priore parte proposita excipit, suffragiisque et auctoritate sua ea, quae judicio suo commissa sunt, confirmat. Sed ut paucis dicam, oportet quidem praesides negotia ad senatum referre, senatum vero per praetores ad comitia. Sic quoque alterius ordinis auxiliaris et robore virium praestantis alia est pars, quae regit et ordinat, alia, quae propugnat, reliqua et major pars promiscua est et constat ex militibus gregariis. Pars ergo, quae regit, est, ex qua principes exercitus, centuriones, manipulares et antesignani constituuntur, et in universum omnes, qui principatum aliquem obtinent; altera vero pars, quae propugnat, ex fortissimis, animosissimis et audacissimis quibusque constat; reliqua vero multitudo est promiscua et militaris. Tertii autem ordinis, qui mechanicus est et victum labore quaeritat, alia pars est agricolarum et eorum, qui in ex-

αὐτῶν ῥητέον. Ἐπεὶ δὲ πᾶσα πολιτικὰ κοινωνία λύρᾳ παντελῶς ποτέοικε, τῷ ἐξαρτύσιός τε δέεσθαι καὶ συναρμογᾶς, καὶ τὸ τελευταῖον ἐπαφᾶς τινος καὶ προσχράσιος μωσικᾶς· περὶ μὲν ὧν ἐξαρτύσιος πολιτείας, ἐκ ποίων καὶ πόσων συνέστηκεν, εἴρηταί μοι καὶ ἐν τοῖς ἔμπροσθεν· περὶ δὲ συναρμογᾶς καὶ ἐνώσιος αὐτῶν πειρασοῦμαι νῦν λέγειν. Φαμὶ δὲ ἔγωγε, τρισὶ τούτοις συναρμόζεσθαι τὰν πολιτικὰν κοινωνίαν· λόγοις, ἐπιτηδεύμασιν ἐθῶν, νόμοις· καὶ διὰ τριῶν τούτων παιδεύεσθαι τὸν ἄνθρωπον, καὶ σπουδαιότερον γίγνεσθαι. Τοὶ μὲν γὰρ λόγοι διδάσκοντι καὶ ἐπιθυμίας ἐμποιεῦντι, προτρεπόμενοι πρὸς ἀρετάν· τοὶ δὲ νόμοι, τὰ μὲν φόβοις κατέχοντες, ἀπερύκοντι, τὰ δὲ τιμαῖς τε καὶ δωρεαῖς δελεάζοντες, ἐκκαλέονται· τὰ δὲ ἔθη καὶ ἐπιτηδεύματα πλάσσει καὶ κηροχυτεῖ τὰν ψυχάν, φυσίωσιν ἐμποιεῦντα διὰ τῆς συνεχέος ἐνεργίης. Δεῖ δὲ τὰ τρία ταῦτα συντετάχθαι ποτί τε τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὸ δίκαιον, καὶ ἐν ἑκάστῳ αὐτῶν, εἰ μὲν δυνατὸν, στοχάζεσθαι πάντων· εἰ δὲ μή γα, δυοῖν ἢ ἑνὸς, ὥστ' εἶναι καὶ τὸν λόγον καλὸν καὶ δίκαιον καὶ συμφέροντα, καὶ τὸ ἔθος, καὶ τὸν νόμον. Προτιμῆσθαι δὲ πρᾶτον τὸ καλόν· δεύτερον δὲ τὸ δίκαιον· τρίτον δὲ τὸ συμφέρον. Τὸ καθόλου δὲ πειρᾶσθαι διὰ τούτων ὡς ὅτι μάλιστα ποιεῖν τὰν πόλιν, ὅπως ὁμόλογος ᾖ καὶ σύμφωνος τοῖς αὐτᾶς μέρεσι, ἀλλὰ μὴ στασιάζουσα καὶ διαμαχομένα. Ἐσεῖται δὲ τοῦτο, αἴκα τὰ πάθεα τᾶς ψυχᾶς παιδεύηται τῶν νέων, καὶ εἰς τὸ μέτριον ἀγινῆται τοῖς ἁδέσι τε καὶ λυπαροῖς, καὶ αἴκα περὶ τὰς οὐσίας μέτρια, καὶ ἀπὸ γεωπονίας ἔχοντι τὰν πρόσοδον· καὶ αἴκα τὰς ἀρχὰς ἄρχοντι, τὰς μὲν ἀρετᾶς δεομένας τοὶ ἀγαθοὶ, τὰς δ' ἐμπειρίας τινὸς τοὶ ἔμπειροι, τὰς δὲ παροχᾶς τινὸς καὶ δαπάνας τοὶ εὔποροι, καὶ τούτοις πᾶσι κατὰ τρόπον ἄρξασι τᾶς κατ' ἀξίαν ἀρχᾶς διανέμοντι τὰς τιμάς. Ἔτι δὲ τᾶς ἀρετᾶς αἰτίαι τυγ-

colendam regionem operam suam impendunt; alia in artificiis occupatur, tum instrumenta, tum machinas ad vitae negotia suppeditans: alia in peregrinationibus et mercaturis obeundis versatur; quae ea quidem, quibus civitas abundat, in peregrinam regionem transfert, et ex peregrina regione (ea quibus ista abundat) in civitatem. Constitutiones igitur civilis societatis ex tot et talibus partibus conficiuntur: sequitur, ut de earum conjunctione atque unione dicamus. Quoniam vero omnis communitas civilis omnimodam cum lyra similitudinem recipit, eo quod apparatu, concinnitate, et tandem tractatione aliqua usuque musico indigeat, de instructione quidem civilis status, ex quibus et ex quot constituatur, jam ante mihi explicatum est. De ejus autem concinnitate ac unione nunc conabor exponere. Ac quidem civilem communionem ex his tribus concinnari statuo, disciplinis, institutis consuetudinum, ac legibus, atque horum trium beneficio institui hominem ac meliorem fieri. Disciplinae enim docent et affectus injiciunt, concitantes ad virtutem. Leges vero partim metu detinentes cohibent, partim honoribus ac donis, tanquam esca proposita, invitant. Consuetudines vero et instituta formant, et in cerae modum flectunt animum, cui per continuam actionem naturam quandam imprimunt. Per haec tria oportet tum ad honestum, tum ad utile, tum ad justum constitui: et in singulis eorum, siquidem fieri potest, omnia collimando assequi, sin minus, duo saltem et unicum, ut tum disciplinae, tum consuetudines, tum leges, et honestae, et justae, et utiles sint. Pluris autem est primum faciendum, nempe honestum, secundo justum, tertio utile. Atque in universum per haec enitendum est, ut, quantum fieri poterit, ita constituamus civitatem, ut in partibus suis concinna atque consona sit, neque seditionibus ac contentionibus conflictetur. Quod accidit, si juvenilium animorum affectus instituantur, et in voluptatibus ac mo-

χάνοντι τρεῖς, φόβος, ἐπιθυμία, αἰδώς· δυνασεῖται δὲ τὸν μὲν φόβον ὁ νόμος ἐμπαρασκευάζεν· τὰν δὲ αἰδῶ τὰ ἔθεα· τοὶ γὰρ ἐθισθέντες καλῶς αἰδέονται τὰ αἰσχρὰ πράσσεν· ὁ δὲ λόγος τὰν ἐπιθυμίαν· ἀγωγὸν γὰρ τᾶς αἰτίας ἀπόδοσις ἅμα καὶ ἐφελκυστικὸν τᾶς ψυχᾶς, ἄλλως τε δὴ καὶ γιγνόμενον μετὰ προτροπᾶς. διὸ καὶ φρατρίας καὶ συσσίτια καὶ συσκανίας καὶ συναγελισμοὺς, τὰ μὲν στρατιωτικοὺς, τὰ δὲ καὶ πολιτικοὺς ἐγκατασκευάζειν δεῖ ταῖς τῶν νέων ψυχαῖς, συναρμόζεν δὲ καὶ τὸ τῶν πρεσβυτέρων γένος αὐτοῖς· ἐπειδήπερ τοὶ μὲν νέοι δέονται σωφρονισμῶ καὶ καταρτύσιος, τοὶ δὲ πρεσβύτεροι φιλοφροσύνας καὶ διαγωγᾶς ἀλύπω.

Ἐπειδὴ ὦν διὰ τριῶν ἐλέγομεν ἀποτελεῖσθαι τὸν ἄνθρωπον σπουδαῖον, διά τε τῶν ἐθέων, καὶ τῶν νόμων, καὶ τῷ λόγω, σκοπιάζεσθαι δεῖ, πῶς τε διαφθείρεσθαι πέφυκε τὰ ἔθεα, καὶ πῶς διαμένειν. Εὑρήσομες δὴ τὰ ἔθεα φθειρόμενα κατὰ δύο τρόπους· ἢ γὰρ δι' αὐτὼς, ἢ τὼς ἐκτός. Καὶ διὰ μὲν αὐτὼς, ἢ διὰ τὸ φεύγειν τὰς λύπας, ἢ διὰ τὸ αἱρέεσθαι τὰς ἡδονάς· διὰ μὲν γὰρ τὸ φεύγειν τὰς λύπας τὼς πόνως οὐχ ὑπομένοντι, διὰ δὲ τὸ διώκειν τὰς ἡδονὰς τὰ ἀγαθὰ (τοὶ) ἀποβάλλοντι. Ἐργατεύοντι δὲ τοὶ μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις, ταὶ δὲ ἁδοναὶ τὰ κακά. Ἀκρατέες ὦν καὶ μαλακοὶ γιγνόμενοι, θηλύτεροι γίγνονται ταῖς ψυχαῖς, καὶ ποτὶ τὰς ἀναλώσιας πολυδαπανώτεροι. Διὰ δὲ τὼς ἐκτὸς, αἴκα ξενικὸς ἐπίδαμος ὄχλος γένηται εὐαμερίαις ἐμπορικαῖς χαίρων ἢ καὶ τοὶ ἀστυγείτονες φιλάδονοι καὶ τρύφαντες ἐόντες, μεταδίδοντι τοῖς πλασιάζουσι τῶν παρ

lestiis ad mediocritatem reducantur: deinde si mediocres facultates habeant, et reditum ex agricultura: item si magistratus gerant; eos quidem, qui virtutem postulant, boni, qui vero experientiam aliquam, periti, qui autem largitionem et sumptus, divites: et his omnium in eorum administratione sese, ut decet, gerentibus, dignos magistratu illo honores tribuantur. Porro virtus tribus ex causis promovetur: metu, cupiditate, pudore. Metum incutere lex poterit: pudorem consuetudines; bonis enim moribus assuetos turpe quid admittere pudet. Doctrina vero desiderium parit: nam reddita rei causa animum allicit attrahitque cum alias, tum si adhortationi juncta sit. Quocirca tribus, sodalitates, contubernia et conventus cum militares tum civiles commendare oportet adolescentium animis; ita tamen, ut seniores sibi conjunctos habeant. Quandoquidem ut adolescentes moderatione et correctione egent, ita senes benevolentia et conversatione jucunda.

Cum ergo jam docuerimus, per tria hominem honestum evadere; per consuetudines scilicet, leges et disciplinas, considerandum est porro, quomodo consuetudines et corrumpi possint et custodiri ac conservari. Duobus ergo modis corruptas invenimus consuetudines (moresque bonos), vel a nobis ipsis, vel ab exteris. Et a nobis ipsis quidem, vel quod molestias vitemus, vel quod voluptates consectentur. Nam qui molestias declinant, non tolerant labores: voluptatum autem cupiditas in causa est, ut bona amittantur, siquidem labore conciliantur bona, voluptatis studium mala comitantur: quare incontinentes et molles facti et animis magis effoeminati fiunt, et in expendendo prodigi. Ab externis vero (boni mores corrumpuntur), cum peregrinus populus nobiscum habitat mercatoria felicitate affluens, aut urbis vicini voluptarii et molliculi sunt, et morum suorum contagio propinquos afficiunt. Qua-

αὐτοῖς ἐθίων. Διὸ δεῖ τὼς νομοθέτας καὶ τὼς ἀγελάρχως ἐπιμελῶς παρατηρεῖν, εἰ ἀσκεῖται τὰ ἔθεα καὶ ὁμαλῶς περὶ πάντων· ἔτι δὲ, εἰ τὸ γνάσιον καὶ τὸ αὐθιγενὲς πλᾶθος τᾶς πολιτείας διαμένει ἀκέραιον καὶ ἀπαράμικτον ὑπάρχον ὑπὸ τῶ ἄλλω γένευς· καὶ εἰ τὰ μεγέθεα τῶν βίων ἐν τοῖς αὐτοῖς διαμένει, καὶ οὐ παρὰ πολύ· ἅμα γὰρ τῷ περισσὰ κτᾶσθαι καὶ τὰ περισσὰ μαστεύοντι. Καὶ τὰ μὲν ἔθεα οὕτως ἀσφαλίζεσθαι χρή· τὼς δὲ λόγως, τὸ τῶν σοφιστῶν γένος ἐπικρίνοντας καὶ δοκιμάζοντας, εἰ ποτὶ τὼς νόμως καὶ τὰ πολιτικὰ δόγματα καὶ τὰς ἰδίας οἰκονομίας τῶν βίων ὠφέλιμα λέγοντι. οὐ γὰρ τὰν τυχοῦσαν, ἀλλὰ τὰν μεγίσταν κακοδαιμοσύναν ἐντίκτοντι τῶν σοφιστῶν λόγοι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, αἱ κατατολμῶσι τι κινῆν παρὰ τὰς κοινὰς ἐννοίας, ἢ τῶν θείων, ἢ τῶν ἀνθρωπίνων, οὔ οὐδὲν ποτ' ἀλάθειαν, οὐδὲ ποτ' ἀσφάλειαν, οὐδὲ ποτὶ δόξαν χερήιόν ἐστι· ζόφωσιν δὲ καὶ σύγχυσιν ἐπιφέρει τῷ κοινῷ τῶν ἀνθρώπων. Τοιοῦτοι δὲ λόγοι τυγχάνοντι οἱ πάντες, ἤτοι μὴ ἦμεν τὸ θεῖον, ἢ καὶ ἐὸν, μὴ ἔχεν οὕτως ποτὶ τὸ τῶν ἀνθρώπων γένος, ὥστ' ἐπιβλέπεν αὐτὸ καὶ φροντίζεν, ἀλλ' ἐᾶν καὶ κατολιγωρεῖν. Καὶ γὰρ ἁ τοιαύτα παραδόχα τοῖς ἀνθρώποις ἀφροσύναν καὶ ἀδικίαν ἐντίκτει, ὅσαν οὐδ' εἰπεῖν δηλουμένοις εὐμαρές ἐστι. (πᾶς γὰρ ἄνθρωπος ἀναρχίας πλαρωθεὶς καὶ τὸν ὕποπτον ἀπωσάμενος φόβον, ἀκρατεῖ τε καὶ παρανομεῖ, παντοδαπὸς γινόμενος.) χρέεσθαι δεῖ ὦν τῷ λόγῳ πολιτικῷ καὶ σεμνῷ καὶ οἰκείῳ τᾶς διαθέσιος τῶ λέγοντος, ἀλλὰ μὴ προσποιητῷ· οὕτω γὰρ ἁ λέξις ἐσεῖται τὸ τῶ λέγοντος ἦθος ἐμφαίνουσα. Ἐκ δὲ τῶν νόμων δεῖ τὰν ἀσφάλειαν οὕτως ἐπιφέρεν, αἱ καὶ σύνθετος ἡ πολιτεία ᾖ καὶ συντεταγμένα ἐκ πασᾶν τᾶν ἀλλᾶν. (Λέγω δὲ οὐ τᾶν παρὰ φύσιν, ἀλλὰ τᾶν κατὰ φύσιν· τυραννίδος γὰρ οὐδὲ μία χρεία ταῖς πόλι-

propter opus est, ut legislatores et multitudinis praefecti sedulo animadvertant, num observentur mores, et aequaliter per omnes pergant, item an multitudo civitatis patria, id est hominum indigenarum, sincera maneat, nec alia gente misceatur, et utrum facultatum copiae in eodem statu perseverent, neque modum excedant. Cum enim superflua possident, simul etiam superfluis magis inhiant. Et hoc quidem modo consuetudines (moresque bonos) tuto stabiliri oportet. Quod autem ad disciplinas attinet, (iidem legislatores) sophistarum genus probent ac examinent, an ad leges, civilia instituta et privatam vitae rationem utilia praecipiant. Neque enim parvam, sed quam maximam infelicitatem hominum animis inferunt sophistarum dissertationes, si quid innovare ausint praeter commune judicium vel in divinis vel in humanis rebus: qua re nulla potest neque veritati, neque securitati, neque gloriae esse perniciosior, nam et caliginem et confusionem in genus hominum infert. Tales sunt autem disputationes omnes, quae statuunt, vel non esse numen, vel, etiamsi fuerit, non ita esse ad genus hominum adfectum, ut illud respiciat, ejusque curam gerat, sed negligat potius ac sibi relinquat. Etenim haec ita semel concepta opinio stultitiam et injustitiam in hominibus gignit, quantam facile non sit explicare. (Quivis enim cum inobedientia plenus est, et submissum excussit metum, petulanter lascivit ac exsultat legesque transgreditur ac violat varius semper et inconstans.) Utendum est ergo civili oratione et gravi, quae proprie cum dicentis animo congruat, non autem simulata. Ita enim oratio dicentis mores et ingenium patefaciet. Ex legibus autem securitas sic inferetur, si compositus civilis status et concinnatus ex aliis omnibus fuerit, non ex iis, ut ego quidem existimo, quae praeter naturam, sed quae secundum naturam constitutae sunt. Tyrannidis enim nullus est usus civitatibus, ut neque fere paucorum do-

σιν, εἰ μή πα καὶ τᾶς ὀλιγαρχίας ἐπὶ βραχύ.) Δεῖ τοίνυν βασιλείαν πράταν ἐντετάχθαι, καὶ δεύτερον ἀριστοκρατίαν. Βασιλεία μὲν γὰρ θεομίματον πρᾶγμα, καὶ δυσφύλακτον ὑπὸ ἀνθρωπίνας ψυχᾶς· ταχέως γὰρ ὑπὸ τρυφᾶς καὶ ὕβριος ἀλλάσσεται· διόπερ οὐ δεῖ κατὰ πᾶν αὐτᾷ χρέεσθαι, μέχρι δὲ τῶ δυνατῶ καὶ ποτὶ τὰν πολιτείαν χρησίμω· τὰν δ' ἀριστοκρατίαν ἐπιπλέον ἐμπλέκεν, τῷ πλείονας ἦμεν τοὺς ἄρχοντας, καὶ φιλοζήλως διατίθεσθαι ποτ' αὐτὼς, καὶ πολλάκις ἀντιμεταλαμβάνεσθαι τὰς ἀρχάς. Δαμοκρατίαν δὲ ἀναγκαῖον μὲν ἦμεν πάντως· δεῖ γὰρ τὸν πολίταν μέρος ὑπάρχοντα τᾶς συμπάσας πολιτείας φέρεσθαί τι ἀπ' αὐτᾶς γέρας· ἐπέχεσθαι δ' ἱκανῶς αὐτὰν δεῖ· θρασὺ γὰρ καὶ προπετὲς τὸ πολὺ πλᾶθος. [Στοβ. λόγ. μά. περὶ πολιτείας.]

III. Πάντα μὲν ὦν τὰ θνητὰ δι' ἀνάγκαν φύσιος ἐν μεταβολαῖς κυλινδεῖται. Τὰ μὲν γὰρ ἀπὸ τῶν χερηόνων ἐπὶ τὰ βελτίονα μετατροπὰν λαμβάνοντα, τὰ δὲ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χερήονα. Γενόμενα γὰρ αὔξεται τὰ πράγματα, καὶ αὐξηθέντα ἀκμάζει, καὶ ἀκμάσαντα γηράσκει, καὶ τέλος ὕστατα φθείρεται. Τὰ μὲν ἀπὸ φύσιος γινόμενα δι' αὐτᾶς τᾶς φύσιος ἐς τὸ ἄδηλον αὐτᾶς τερματιζόμενα· καὶ πάλιν ἐκ τῶ ἀδήλω ἐς τὸ θνατὸν ἐπισυνερχόμενα ἀμοιβᾷ γενέσιος καὶ ἀνταποδόσει φθορᾶς, κύκλον αὖ ταύτας ἀναποδιζοίσας· τὰ δὲ καὶ ὑπὸ ἀφροσύνας ἀνθρωπίνας ὕβρει καὶ κόρῳ ζεσάσας. Οἶκοί τε καὶ πόλεις ὑπὸ μεγάλων εὐτυχημάτων ἀερθεῖσαι, καὶ βίον βαθὺν πλουτεῦσαι, ἅμα τοῖς μακαριζομένοις ἀγαθοῖς εἰς τὸν ὄλεθρον ἔβασαν. Οὕτω δὴ καὶ συμβαίνει πᾶσαν ἁγεμονίαν τρισὶ χρόνοις ὁρίζεσθαι· ἑνὶ μὲν καὶ τῷ πράτῳ περιέχοντι τὰν κτᾶσιν· δευτέρῳ δὲ τῷ τὰν ἀπόλαυσιν· τελευταίῳ δὲ τῷ τὰν ἀπόλεσιν. Τοὶ μὲν γὰρ πρᾶτοι ἀτυχέες ἐόντες ἐκτήσαντο· τοὶ δεύτεροι εὐτυχέες γενόμενοι διέφθειραν. Τὰ μὲν ὦν ὑπὸ θεῶν διοικήμενα,

minatus nisi in tempus brevissimum.) Primo itaque loco constituendum est regnum, secundo optimatum dominatum. Est enim regnum res quaedam ad divinam imitationem comparata, sed aegre ab humano ingenio conservari potest (integra ac illibata), ut quae cito per luxum et contumeliam immutetur. Quare non prorsus eo utendum est, sed quantum fieri potest et reipublicae conducit: dominatus vero optimatum illi multo magis inserendus est, eo quod plures sint, qui regnant, et se invicem aemulentur, et magistratus inter se permutent. Democratia quoque omnino est necessaria, civem enim, qui totius reipublicae pars est, non nihil ex illa honoris et gloriae accipere decet. Sed cohibendum est vulgus (minimeque illi indulgendum), quippe quod audax in agendo atque praeceps existat. [*Stob. Serm. XLI. de republica.*]

III. Omnia sane mortalia propter necessitatem naturae in mutationibus volvuntur, quorum nimirum alia ex deteriore statu in meliorem mutantur, alia a meliore in deteriorem. Quae enim nascuntur, augentur; aucta vigent; ubi viguerint, consenescunt, et tandem corrumpuntur. Accidit autem corruptio rebus a natura productis, dum per ipsam naturam ad ignotum ejus limitem rediguntur, et rursus ex ignoto illo termino ad mortalitatem conveniunt per mutuas generationis et corruptionis vices, quae ambitu reciproco talem circulum constituunt. Quaedam vero per humanam insipientiam superbia et satietate ferventem interitum sibi accersunt. Quin etiam familiae et civitates magna felicitate turgentes amplisque opibus abundantes una simul cum laudatissimis suis bonis pessum eunt. Ceterum usu venit omnem principatum tribus temporibus circumscribi, uno et primo, quod spatium acquirendi continet, altero, quod fruitionem, postremo autem, quod interitum vel amissionem complectitur. Primi enim, cum infelices essent, acquisiverunt, secundi

ἄφθαρτα δὲ ὄντα, ὑπὸ ἀφθάρτων τὸν ἀεὶ χρόνον πέφυκε σώζεσθαι· τὰ δὲ ὑπ' ἀνθρώπων, θνατὰ ὄντα, ὑπὸ θνατῶν ἐπιδέχεται ποικίλαν ἀεὶ μεταβολάν. Κόρου μὲν γὰρ καὶ ὕβριος πέρας ὄλεθρος· ἀπορίας δὲ καὶ στενοχωρίας πέρας ἀνδραγαθία βίῳ ἀνθρωπίνῳ (τὸ καὶ ἀφ' ἑτέρων αὐτὸν περαίνεσθαι). [Στοβ. λόγ. ἐννενηκοστὰς ϛ΄. περὶ βίου, ὅτι βραχύς.]

2.

ΕΚ ΤΩΝ ΕΥΡΥΦΑΜΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ἘΝ ΤΩι ΠΕΡΙ ΒΙΟΥ.

ΒΙΟΣ ἀνθρώπω τελήϊος θεῶ μὲν λείπεται τῷ μὴ αὐτοτελὴς ἦμεν, ἀλόγων δὲ ζώων καθυπερέχει τῷ ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρος ἦμεν. Οὔτε γὰρ ὁ θεὸς τᾶς ἔξωθεν αἰτίας ποτιδεὴς ἐντι, (φύσει γὰρ ἀγαθὸς ἐὼν καὶ φύσει εὐδαίμων ἐξ ἑαυτῶ τελήϊός ἐντι) οὔτε τῶν ἀλόγων ζώων οὐδέν· λόγω γὰρ ἄμοιρα ὄντα καὶ τᾶς ἐς τὰς πράξιας ἐπιστάμας ἄμοιρά ἐντι. Ἀνθρώπω δὲ φύσις, τὰ μὲν ἐκ τᾶς ἰδίας προαιρέσιος, τὰ δὲ καὶ τᾶς ἐκ τῶ θήω γινομένας ἐπικουρήσιος ποτιδεής ἐντι. τῷ μὲν γὰρ λόγω τυπωτικὸς ἦμεν, καὶ καλῶν καὶ αἰσχρῶν νοατικὸς, καὶ τῷ ὀρθῶς ἀπὸ γῆς ἀνακεκλίσθαι, καὶ ἐς τὸν οὐρανὸν ἀποβλέπεν, καὶ θεῶν τῶν ἀνωτάτων νοατικὸς ἦμεν, ταῦτα δὲ καὶ τᾶς ἐκ τῶν θεῶν ἐπικουρήσιος τέτευχε. τῷ δὲ βούλησιν ἔχεν καὶ προαίρεσιν καὶ ἀρχὰν ἐν ἑαυτῷ τοιαύταν, καθ' ἂν κύριος οὗτός ἐντι καὶ ἀρετὰν ἐπιταδεῦσαι, καὶ κακίαν ζαλῶσαι, καὶ θεοῖς ὀπαδῆσαι, καὶ ἀπὸ θεῶν ἀποτραπῆμεν, ταῦτα δὲ καὶ καθ' αὐτὸν κινέεσθαι δυνατός ἐντι. διὸ καὶ ψόγων καὶ ἐπαίνων καὶ τιμᾶς καὶ ἀτιμίας, τὰ μὲν τὰς ἐκ τῶν θεῶν, τὰ δὲ καὶ τᾶς ἐκ τῶν ἀνθρώπων τυγχάνοντί τοι, ἤτοι ἀρετὰν, ἤτοι κακίαν ζαλώσαντες. Ἔχει γὰρ οὕτως ὁ σύμπας λόγος. Τὸ θήϊον ἄνθρωπον, πολυτελέστατον ζῶον, ἐς τὸν κόσμον ἐσῴκισεν, ἀντίμιμον μὲν τᾶς ἰδίας φύσιος, ὀφθαλμὸν δὲ τᾶς τῶν ὄντων διακοσμάσιος. διὸ καὶ ὀνύματα μὲν ἔθηκε τοῖς

vero felices facti perierunt postea. Quaecumque igitur a diis administrantur, cum naturae sint incorruptae, ab incorruptis aeternum servantur. Quae vero a mortalibus mortalia, a mortalibus variam semper mutationem suscipiunt. Saturitatis enim ac petulantiae finis est interitus (vel perversitas), inopiae autem et rerum angustiae humanae vitae probitas (*quae etiam ab aliis rebus finem sortitur suum*). [*Stob. Serm. XCVI. de vita, quod brevis sit.*]

2.

EX EURYPHAMO PYTHAGOREO
IN LIBRO DE VITA.

PERFECTA hominis vita quemadmodum deo cedit, quod non per se sit perfecta, ita brutis praestat, quoniam virtutis et beatitatis est particeps. Nam nec deus ulla causa extrinseca indiget (cum enim natura bonus et beatus sit, per se perfectus est), nec brutum ullum (virtutis et felicitatis est capax). Etenim cum ratione careant, actionum quoque carent scientia. At hominis natura partim sui est consilii, partim etiam divinum requirit auxilium. Quatenus enim rationem capere, honesta turpiaque cognoscere, recta in coelum a terra suspicere, deosque altissimos potest comprehendere, divina ope fruitur. Rursum quod voluntatem atque consilium ac tale intra se principium habet, quo possit et virtuti operam dare et vitium amplecti, deosque et colere et aversari, proprio motu utitur. Quapropter cum laudem et honorem, tum vituperium et ignominiam consequuntur partim divinam partim humanam ob causam, sive virtuti, sive vitio dederint operam. Sic namque se tota res habet. Hominem deus, animal praestantissimum et ut suae naturae respondens, ita universi hujus constitutionis quasi oculum in mundum tanquam in domum introduxit. Quamobrem hic et res nominibus consignavit, quae eorum naturae et

πράγμασι, χαρακτῆρι αὐτῶν ἑπόμενος, ἀνεύρετο δὲ καὶ γράμματα, θησαυροὺς τᾷ μνάμᾳ παρασκευασάμενος. ἐμιμάσατο δὲ καὶ τὰν τῶ παντὸς διακόσμασιν, δίκαις τε καὶ νόμοις κοινωνίαν πόλεων συναρμοξάμενος. οὐθὲν γὰρ οὕτω κοσμοπρεπὲς καὶ θεῶν ἄξιον ἔργον ἀνθρώποις πέπρακται, ὡς πόλιος εὐνομουμένης συναρμογὰ, καὶ νόμων καὶ πολιτείας διακόσμασις. Εἷς γὰρ ἕκαστος ἄνθρωπος αὐτὸς καθ' αὐτὸν οὐδεὶς ἐὼν, οὐδὲ ποττὸ ζῆν ἐν ὁμοφροσύνᾳ ξυνᾷ καὶ ξυναρμογᾷ πολιτείας αὐτὸς καθ' αὐτὸν ἱκανὸς, γέγονε καὶ ποττὸ ὅλον καὶ τὸ τέληον σύσταμα τᾶς κοινωνίας εὐάρμοστος. Ἀνθρώπω γὰρ ὁ βίος λύρας ἐξακριβωμένας καὶ κατὰ πᾶν ἐπιτελέος ἐοίσας εἰκών ἐντι. Λύρα τε γὰρ πᾶσα χρήζει τριῶν τούτων τυχέν· ἐξαρτύσιος, συναρμογᾶς, ἐπαφᾶς τινος μωσικᾶς. Ἐξάρτυσις μὲν ὦν ἐντὶ ἁ τῶν οἰκήων μερέων τῶ σώματος παρασκευὰ πάντων. λέγω δὲ τᾶν χορδᾶν καὶ τῶν ὀργάνων τῶν ποτ' εὐφωνίαν καὶ πλαγὰν ἐπισυνεργούντων· συναρμογὰ δὲ ἁ ποτ' ἀλλήλως σύγκρασις τῶν φθόγγων· ἐπαφὰ δὲ μωσικὰ ἁ κατὰ συναρμογὰν κίνασις ἤδη τούτων. Οὕτως ὦν καὶ βίος ἀνθρώπων χρήζει τριῶν ταύτων τυχέν. Ἐξάρτυσις μὲν ἁ τῶν τῶ βίω μερέων ἐντὶ συμπλάρωσις, βίω δὲ μέρεα, τά τε σώματος ἀγαθὰ, καὶ τὰ τῶν χρημάτων, καὶ τὰ τᾶς δόξας, καὶ τὰ τῶν φίλων. συναρμογὰ δὲ ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύνταξις, ἐπαφὰ δὲ μωσικὰ ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύγκρασις, ὀρθοπλοουμένας τᾶς ἀρετᾶς, καὶ μηθὲν ἔξωθεν ἀντιπίπτον ἐχοίσας αὐτᾷ. Οὐ γὰρ ἐν τῷ ἀπερύκεσθαι τᾶς προθέσιος τῶν ἑκουσίων σκοπῶν πέπτωκε τὸ εὐδαιμονὲν, ἀλλ' ἐν τῷ κατατυγχάνεσθαι· οὐδ' ἐν τῷ ἀδορυφόρατον ἦμεν καὶ ἀνυπηρέτατον τὰν ἀρετὰν, ἀλλ' ἐν τῷ συμπλαροῦσθαι ταῖς οἰκήαις δυνάμεσι ποτὶ τὰς πράξιας. Οὐ γὰρ αὐτοτελὴς ἐντὶ ὁ ἄνθρωπος, ἀλλὰ τέληος. τέληος δὲ γινόμενος, ᾇ μὲν παρ' αὐτὸν, ᾇ δὲ καὶ παρὰ τὰν ἔξωθεν αἰτίαν, καὶ τέληος, ἤτοι καττὰν φύσιν, ἢ καττὸν βίον. Καὶ κατὰ μὲν τὰν φύσιν, αἴκα ἀγαθὸς γένηται. ἁ γὰρ ἑκάστω ἀρετὰ ἀκρότας καὶ τεληότας ἐντὶ τᾶς ἑκάστω φύσιος· οἷον ἁ μὲν τῶν ὀφθαλμῶν ἀρετὰ ἀκρότας καὶ τεληότας τᾶς τῶν ὀφθαλμῶν φύσιος, ἁ δὲ τῶν ὠάτων τᾶς

indoli responderent, et literas invenit memoriae thesaurum instituens, et universitatis constitutionem imitatus est, jure ac legibus civitatum communionem concimans. Nullum enim tam egregium in mundo et diis dignum opus ab hominibus factum est, quam civitatis bona legitimaque institutio, ac legum et reipublicae adornatio. Cum enim unusquisque per se nullus esset, nec ad vitam in communi concordia reique publicae compositione degendam per se aptus, idem tamen ad integram perfectamque societatis compagem constituendam fuit accommodus. Quippe humana vita lyrae perfectae et omnibus numeris absolutae similis est. Sicut enim lyra quaevis tribus his opus habet: apparatu, compositione et pulsu musico (*apparatum* dico propriarum partium omnium copiam, ut chordarum et ad pulsum ac soni suavitatem ac modulationem pertinentium instrumentorum, *compositionem* autem mutuam sonorum proportionem, *pulsum* denique concinnum istorum motum): sic etiam humana vita tribus his indiget. *Apparatus* quidem est vitae partium justus numerus, sunt autem *vitae partes* corporis bona, opes, amici, gloria. *Compositio* est istarum partium secundum virtutem et leges facta ordinatio. *Pulsus* denique *musicus* est earundem bona ac legitima temperatio, cum secundo vento virtus fertur, nihilque foris obvium et adversum sibi habet. Non enim in eo, si in instituto operum sponte sibi propositorum arceatur homo, verum si illud assequatur, est posita beatitudo, neque tam ut satellitibus ac ministris virtus careat, quam ut suis facultatibus ad res agendas affatim adstruatur. Neque enim per se perfectus est homo, sed tamen perfectus fit; fit autem perfectus partim sua, partim aliena opera; idque vel natura vel vita: natura, si bonus evadat; virtus enim cujusque in cujusque rei natura supremum est et perfectio, tum oculorum in oculorum natura supremum et perfectio, tum aurium

τῶν ὠάτων· οὕτω δὲ τῶ ἀνθρώπω ἁ ἀρετὰ ἀκρότας ἐντὶ καὶ τελῃότας τᾶς ἀνθρώπω φύσιος. τέλῃος δὲ καττὸν βίον, αἴκα εὐδαίμων γένηται. ἁ γὰρ εὐδαιμονία τελῃότας καὶ συμπλάρωσις ἐντὶ τῶν ἀνθρωπίνων ἀγαθῶν. διὸ πάλιν ἀρετὰ καὶ εὐτυχία μέρεα γίγνονται τῶ ὑπ' αὐτῷ βίω, τᾶς μὲν ἀρετᾶς, ὡς ψυχᾶς κειμένας, τᾶς δ' εὐτυχίας, ὡς σώματος, τῶν δὲ συναμφοτέρων, ὡς ζώω. Τᾶς μὲν γὰρ χρέεσθαι καλῶς αὐτόν ἐντι τοῖς κατὰ φύσιν ἀγαθοῖς· τᾶς δὲ τὰν χρᾶσιν ἐμπαρέχεν, καὶ χρέεσθαι μὲν ἀρετᾷ, χρᾶσιν δὲ παρέχεν εὐτυχίᾳ, καὶ ᾇ μὲν τὰν προαίρεσιν καὶ τὸν λόγον ὀρθὸν παρέχεσθαι, ᾧ δὲ τὰς ἐνεργείας καὶ τὰς πράξιας. Τὸ μὲν γὰρ βουληθῆμεν τὰ καλὰ καὶ ὑποστᾶμεν τὰ δεινὰ τᾶς ἀρετᾶς οἰκῆον ἐντί· τὸ δ' ὀρθοπλοῆσαι τὰς προαιρέσιας, καὶ ἐπὶ τέλος ἐλθεῖν τὰς πράξιας, τᾶς εὐτυχίας. Ἐνίκασε γὰρ ὁ στραταγὸς καὶ σὺν τᾷ ἀρετᾷ, καὶ σὺν τᾷ εὐτυχίᾳ, καὶ ἐπλόησεν ὁ κυβερνάτας καὶ σὺν τᾷ τέχνᾳ, καὶ σὺν τοῖς οὐρίοις πνεύμασιν, καὶ εἶδεν ὁ ὀφθαλμὸς καλῶς καὶ σὺν τᾷ ὀξυδορκίᾳ, καὶ σὺν τῷ φάει. Καὶ ἄριστος ὁ βίος ὁ τῶν ἀνθρώπων ἐγένετο καὶ διὰ τὰν ἀρετὰν αὐτὰν, καὶ διὰ τὰν εὐτυχίαν. [Στοβ. λόγ. ρά. περὶ εὐδαιμονίας.]

3.

ΕΚ ΤΩΝ ἹΠΠΑΡΧΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ἘΝ ΤΩι ΠΕΡΙ ΕΥΘΥΜΙΑΣ.

Ὡς πρὸς τὸν ξύμπαντα αἰῶνα ἐξετάζοντι, βραχύτατον ἔχοντες τοὶ ἄνθρωποι τὸν τᾶς ζωᾶς χρόνον, κάλλιστον ἐν τῷ βίῳ οἱονεί τινα παρεπιδημίαν ποιησοῦνται ἐπ' εὐθυμίᾳ καταβιώσαντες. ταῦτα δὲ ἕξοντι μάλιστα πάντων ἀκριβῶς ἐπιστάμενοι καὶ ἐπεγνωκότες ἑαυτοὺς, ὅτι ἐντὶ θνατοὶ καὶ σάρκινοι, εὐαδίκητον καὶ φθαρτὸν κεκταμένοι σῶμα καὶ πάντων χαλεπωτάτων αὐτοῖς ἐπικρεμαμένων μέχρις ἐσχάτας ἀναπνοᾶς. Καὶ πρῶτόν γ' ἐπενθῶμεν ἐπὶ τὰ συμβαίνοντα περὶ τὸ σῶμα· πλευρίτιδες, περιπλευμονίαι, φρενίτιδες, ποδάγραι, στραγγουρίαι, δυσεντερίαι, ληθαργίαι, ἐπιληψίαι, σηπεδόνες, ἄλλα μυρία· περὶ δὲ τὰν ψυχὰν πολλῷ μείζονα καὶ χαλεπώτερα. Πάντα γὰρ τὰ κατὰ τὸν βίον ἄθεσμα,

in aurium, tum hominis in hominis natura supremum et perfectio. Vita perfectus fit, si beatus evadat. Beatitudo enim humanorum bonorum summa est et perfectio. Proinde rursum virtus et prosperitas tanquam partes existunt vitae beatae, virtute veluti anima ejus existente, bona fortuna autem veluti corpore, quibus conjunctis tanquam unum animal fit. Ut enim illius est naturae bonis recte uti, ita hujus usum suppeditare, et, ut uti virtutis, ita usum praebere prosperitatis. Illius est consilium et rationem rectam praestare, hujus autem actiones et opera promovere. Nam ut honesta velle et ferre gravia virtutis est proprium, ita consiliorum optatus eventus et factorum finis in prosperitate situs est. Quemadmodum enim vincit imperator virtute et prosperitate, feliciter gubernator navigat arte et vento secundo, recte cernit oculus et videndi facultate et lumine, itidem humana vita evadit optima virtute pariter et prosperitate. [*Stob. Serm. CI. de felicitate.*]

5.

EX HIPPARCHO PYTHAGOREO
IN LIBRO DE ANIMI TRANQUILLITATE.

CUM brevissimum sit humanae vitae tempus, cum aeternitate collatum, optimam homines vitae tanquam peregrinationem transigent, si in tranquillitate vivere statuerint. Id autem consequentur maxime, si se ipsos diligenter cognoverint, quod mortales sint, ex carne constent, injuriae et interitui obnoxio praediti corpore, denique gravissima quaeque ad ultimum usque spiritum exspectare cogantur. Ac primum quidem recenseamus ea, quae corpori accidunt. Haec sunt pleuritides, pulmonis morbi, phrenitides, podagrae, stillicidia urinae, tormina, veterni, comitiales, ulcera putrescentia, caetera infinita. At animo multo majora atque graviora contingunt. Quidquid enim sceleris, vi-

κακὰ, παράνομα καὶ ἀσεβήματα, ἐκ τῶν κατὰ τὰν ψυχὰν καθημάτων ἐντί· διὰ γὰρ τὰς παρὰ φύσιν ἀμέτρους ἐπιθυμίας πολλοὶ ἐς ἀκατασχέτους ὁρμὰς ἐξώκειλαν· καὶ οὔτε τᾶς ἐκ τῶν θυγατέρων, οὔτε τᾶς ἐκ τῶν ματέρων ἀνοσιωτάτας ἁδονᾶς ἀπέσχοντο· ἀλλὰ καὶ ἐπὶ πατροκτονίᾳ παρεγένοντο, καὶ πολλοὶ τὰ ἴδια τέκνα κατέσφαξαν. Τί δὲ ἀπὸ τῶν ἐκτὸς ἐπηρτημένα κατὰ τὰς ἐπομβρίας, καὶ αὐχμὼς, ὑπερβολὰς καυμάτων, ὑπερβολὰς ψύξιος· ὥστε πολλάκις ἐκ τᾶς κατὰ τὸν ἀέρα ἀνωμαλίας λοιμόν τε καὶ λιμὸν γίνεσθαι, καὶ ποικιλίαν παντοδαπῶν συμπτωμάτων, καὶ ὅλας πόλεις ἐρημοῖσθαι; Πολλῶν ὦν τοιούτων ἐπικρεμαμένων, μήτε ταῖς κατὰ τὸ σῶμα εὐαμερίαις ποτέχοντες σεμνυνόμενοι ἐπαιρώμεθα, αἵτινες, ὀλίγω πυρετῶ ἐπιγινομένω, ἀνθέων τρόπῳ συντόμως μαραίνονται· μήτε ταῖς ἐκτὸς νομιζομέναις εὐτυχίαις, αἳ καὶ αὐταὶ πολλάκις τάχιον ἀπόλλυσθαι, ἢ γίνεσθαι πεφύκασι. Πάντα γὰρ ταῦτα ἄστατά τε καὶ ἀβέβαια, Εὐρίπου τρόπον ἐν πολλαῖς καὶ ποικίλαις μεταβολαῖς γινόμενα παρειλήφαμεν, καὶ οὐδὲν αὐτῶν μένον, οὐδὲ ἀκίνατον, οὐδὲ βέβαιον, οὐδὲ ἀδιαίρετον. Διὸ ταῦτα μὲν ἐνθυμηθέντες, λογίζοντές τε, ὅτι τὰ παρεόντα καὶ δεδομένα ἡμῖν τὸν ἐλάχιστον χρόνον διαμεῖναι δύναται, ἐν εὐθυμίᾳ διάξωμεν γενναίως φέροντες τὰ προσπίπτοντο. Νῦν δὲ πολλοὶ πάντα τὰ ὑπὸ φύσεως καὶ τύχας παρεόντα καὶ δεδομένα αὐτοῖς ἐπὶ τὸ βέλτιον προαναπλάσαντες, καὶ οὐχ οἷά ἐστι λογισάμενοι, ἀλλ' οἷα ἐπ' ἄκρον ἐπιτυχανόμενα δύναται γενέσθαι, ἄφνω στερόμενοι, πολλοῖς καὶ μεγάλοισι καὶ ἀθέσμοις καὶ ἀνοήτοις κακοῖς καταφορτίζοντι τὰν ψυχάν· καὶ οὕτω συμβαίνει αὐτοῖς πικρότατον ἔχεν τὸν βίον καὶ χαλεπώτατον. Ταῦτα δὲ γίνεται ἐπί τε ἀποβολαῖς χρημάτων, ἢ φίλων θανόντων, ἢ τέκνων, ἤ τινων ἄλλων τῶν νομιζομένων τιμιωτάτων ἧμεν· εἶτα κλαίοντες καὶ ὀδυρόμενοι λέγοντι αὐτοὺς μόνους ἀτυχεστάτους καὶ κακοδαίμονας, οὐ μεμναμένοι, ὅτι κατταυτὰ καὶ ἄλλοις πολλοῖς ἐγένοντο καὶ νῦν γίνονται, οὔτε δυνάμενοι κατανοῆσαι τόν τε τῶν παρεόντων βίον, καὶ τὸν τῶν προεξεστακότων, ἐν ὅσαις συμφοραῖς καὶ κακῶν τρικυμίαις καὶ νῦν ἐντι πολλοὶ, καὶ πρὸ τοῦ ἐγένοντο.

tii, peccati, impietatis in vita humana cernitur, ex animi perturbationibus ortum ducit. Etenim per immoderatas et a natura alienas cupiditates multi in effrenes impetus inciderunt, nec vel a filiabus vel a matribus turpissimam potuerunt cohibere libidinem. Quid quod et parentes, multi et liberos proprios jugularunt? Jam quid illa recenseam, quae foris impendent nobis, per imbres, siccitates, aestus et frigoris inclementiam, sic ut ex aëris intemperie nonnunquam pestis, fames, aliique casus innumeri oriantur, ac totae desolantur urbes? Quae cum impendeant multa, neque corporis bonis confisi, quae vel exigua febricula florum ad instar brevi marcescunt, nec externa, quae videtur, efferamur felicitate, quae et ipsa ut plurimum citius recedere soleat, quam accedere. Haec enim omnia incerta esse et instabilia, Euripique ad instar fluitantia, multis et variis ex mutationibus cognovimus. Quapropter haec animo reputantes, animoque volventes, quam parum temporis duratura sint ea, quae praesto sunt nobisque concessa, bono animo vivemus, fortiter sustinentes quaecunque acciderint. Nunc vero permulti omnia, quae natura fortunave ipsis contulit, quam optima fore animo sibi praesumentes, et non qualia revera sunt reputantes, sed qualia in praestantissimo suo statu fieri possint, subito his omnibus privati, multis et magnis malis ac temerariis animum deprimunt, quo fit, ut vitam agant acerbissimam tristissimamque. Id autem vel in opum jactura, vel in amicorum aut liberorum morte, vel in aliarum rerum, quae carissimae ducuntur, amissione conspicitur. Tum vero flentes ac ejulantes infelicissimos ac miserrimos se solos praedicant, non recordantes, quod similes casus et aliis multis acciderint, et adhuc accidant; nec tum sui, tum superioris temporis hominum vitam perspicientes, quantis videlicet in calamitatibus miseriarumque fluctibus quasi decumanis et nunc agant et olim permulti egerint. Con-

'Επιλογισάμενοι ὦν, ὅτι πολλοὶ ἀποβαλόντες χρήματα ὕστερον διὰ τὰν τῶν χρημάτων γενομέναν ἀπώλειαν αὐτοὶ περιεσώθησαν, ἢ λησταῖς διὰ τοῦτο μέλλοντες περιπίπτειν, ἢ τυράννῳ· πολλοὶ δὲ φιλήσαντές τινας, καὶ καθ' ὑπερβολὰν εὐνοήσαντες, ἐν τῷ μετέπειτα χρόνῳ μεγάλως ἐμίσησαν· ἃ δὴ πάντα ἀναλογισάμενοι ἐκ τᾶς παραδεδομένας ἁμῖν ἱστορίας, καὶ μαθόντες, ὅτι καὶ ὑπὸ τέκνων καὶ φίλων μάλιστα φιληθέντων πολλοὶ ἀπώλοντο, καὶ ἀντιπαραβάλλοντες τὸν ἑαυτῶν βίον πρὸς τὸν τῶν πρασσομένων φαυλότερον, καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες, καὶ μὴ μόνοις συμβαίνοντα, εὐθυμότερον διάξομεν. Οὐδὲ γὰρ θέμις, ἄνθρωπον ὄντα, τὰ τῶν ἀλλοτρίων συμπτώματα εὔφορα νομίζεν, ἀλλὰ καὶ τὰ ἴδια κάδεα, ἰδόντας, ὅτι πολλαὶ κῆρες κατὰ πάντα τὸν βίον πεφύκαντι. Οἱ δὲ κλαίοντες καὶ κατοδυρόμενοι, πρὸς τῷ μηδ' ἀντινοῦν ὠφέλειαν τῷ ἀπολλυμένῳ ἢ τῷ ἀποιχομένῳ περαίνεσθαι, ἐς μείζονα παθήματα τὰν ψυχὰν ἐλαύνοντι, μεστὰν πολλῶν φαύλων φυσιωμάτων οὖσαν. Προσήκει ἄρ' ἐκνίπτοντας καὶ ἀνακαθαίροντας ἀποῤῥύπτεσθαι πάσαις μηχαναῖς τὰς ἐγκατεσκιῤῥωμένας κηλῖδας τῷ κατὰ φιλοσοφίαν λόγῳ. Ποιήσομεν δὲ τοῦτο, ἀντεχόμενοι φρονάσιος καὶ σωφροσύνας, καὶ μεταποιούμενοι τοῖς παρεοῦσι, καὶ μὴ πολλῶν ὀρεγόμενοι. Οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ παρασκευαζόμενοι, ὡς οὐκ ἔστι ζῆν μετὰ τὸν τᾶς ζωᾶς χρόνον, ἄς ἔξεστι γενέσθαι, χρησώμεθα παρουσίᾳ τῶν ἀγαθῶν, ἐκ δὲ τᾶς φιλοσοφίας καλῶν καὶ σεμνῶν, καὶ τᾶς ἐκ τῶν φαύλων ἀπολυθησόμεθα ἀπληστίας. [Στοβ. λόγ. ρς'. Ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα.]

4.

ΘΕΑΓΟΥΣ ΠΥΘΑΓΟΡΕΙΟΥ
'ΕΝ ΤΟΙΣ ΠΕΡΙ 'ΑΡΕΤΩΝ.

I. ΑΡΧΑΙ τᾶς συμπάσας ἀρετᾶς τρεῖς· γνῶσις καὶ δύναμις καὶ προαίρεσις. Καὶ ἔστιν ἁ μὲν γνῶσις, ᾇ θεωρέομες καὶ κρίνομες τὰ πράγματα· ἁ δὲ δύναμις οἷον ἀλκά τις τῶ σκάνεος, ᾇ ὑφιστάμεθα καὶ ἐμμενοῦμες τοῖς

siderantes itaque, quod multi, amissis opibus, eam ob jacturam ipsi postea salvi evaserint, cum vel in latronem, vel in tyrannum eam ob caussam potuissent incidere, item quod multi, cum amore et maxima benevolentia quosdam essent prosecuti, eosdem postea odio habuerint maximo: quae inquam omnia postquam cognoverimus ex historia nobis tradita, et intellexerimus, quam multi a liberis suis et amicis carissimis fuerint interemti, si denique nostram vitam contulerimus cum aliorum infeliciori, casusque omnes humanos neque nobis solis accidentes reputaverimus, vivemus sane tranquillius. Non enim aequum est hominem aliena tantum mala levia putare. Sed propria etiam leviter ferenda sunt, cum totam vitam multis videat aerumnis refertam. At qui flent et ejulant, praeter id quod rem pereuntem ac discedentem nihil plane juvant, in majores perturbationes animum impellunt multis pravis rebus inflatum. Quamobrem debemus omnibus modis inveteratas maculas abluentes et repurgantes philosophica doctrina detergere. Hoc autem faciemus, cum prudentiae ac temperantiae operam dabimus et praesentem fortunam boni consulemus plura non appetentes. Qui enim plurima coacervant, non reputant, eorum nullum sibi post hanc vitam usum fore. Quare bonis praesentibus, dum licet, utamur et philosophicae gravitatis opera pravorum immodica cupiditate liberemur.

4.

EX THEAGE PYTHAGOREO
IN LIBRO DE VIRTUTIBUS.

I. VIRTUTIS omnis tres sunt fontes, cognitio, facultas et consilium. Cognitio est, qua res contemplamur ac judicamus; facultas quasi robur corporis, qua constantes in judicatis permanemus ac subsistimus;

πράγμασιν· ἁ δὲ προαίρεσις οἷον χῆρες ψυχᾶς τινες, αἷς ὁρμῶμες καὶ ἀντιλαζόμεθα τῶν πραγμάτων. Ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως· τὸ μὲν γάρ τι αὐτᾶς ἐντι λογισμὸς, τὸ δὲ θύμωσις, τὸ δὲ ἐπιθυμία· λογισμὸς μὲν ὦν ὁ κρατέων τᾶς γνώσιος, θυμὸς δὲ ὁ κρατέων τῶ μένεος, ἐπιθυμία δὲ ἁ κρατοῦσα τῶ ἐπιθυματικῶ ἀδεῶς. Ὄκα ὦν ἐς τὸ ἓν τὰ τρία ταῦτα μόλῃ, μίαν ἐπιδεξάμενα συναρμογὰν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ· ὄκα δὲ στασιάζονται καὶ ἀπ' ἀλλάλων ἀπέσπασται, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. Καὶ ὄκα μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια, καρτερία μὲν ἐν τᾷ κατοχᾷ τῶν πόνων, ἐγκράτεια δ' ἐν τᾷ κατοχᾷ τῶν ἀδέων. Ὄκα δὲ τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ἐπικρατέῃ τῶ λογισμῶ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία, μαλακία μὲν ἐν τῷ φεύγεν τὼς πόνως, ἀκρατία δὲ ἐν τῷ νικᾶσθαι ὑπὸ τῶν ἀδέων. Ὄκα δὲ τὸ μὲν κρῆσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς, τὸ δὲ χέρηον ἄρχηται, καὶ τὸ μὲν ἁγῆται, τὸ δὲ ἕπηται, ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλάλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία περὶ ὅλαν τὰν ψυχάν· καὶ ὄκα μὲν τὸ ἐπιθυματικὸν ἕπηται μέρος τᾶς ψυχᾶς τῷ λογιστικῷ, γίνεται σωφροσύνα, ὄκα δὲ τὸ θυμοειδὲς, ἀνδρειότας, ὄκα δὲ τὰ μέρεα πάντα, δικαιότας, αὐτὰ γάρ ἐντι ἁ διείργουσα τάς τε κακίας πάσας τᾶς ψυχᾶς, καὶ τὰς ἀρετὰς ἀπ' ἀλλάλων. Καὶ ἔντι ἁ δικαιότας σύνταγμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς, καὶ ἀρετὰ τελήα καὶ παννπερτάτα· πάντα γὰρ ἐν ταύτᾳ, τὰ δ' ἄλλ' ἀγαθὰ τᾶς ψυχᾶς οὐκ ἄτερθε ταύτας. Διόπερ καὶ ἐν θεοῖς μέγα κράτος ἔχει ἁ δικαιότας καὶ ἐν ἀνθρώποις· τῶ γὰρ ὅλω καὶ τῶ παντὸς ἅδ' ἀρετὰ συνέχει τὰν κοινωνίαν, καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. Θέμις γε ὦν φαμίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς, Δίκα δὲ παρὰ τοῖς χθονίοις, Νόμος δὲ παρὰ τοῖς ἀνθρώποις· ταῦτα δ' ἐντὶ σαμῆα καὶ σύμβολα τῶ τὰν δικαιότατα παννπερτάταν ἀρετὰν ὑπάρχεν. Ὄκα μὲν ὦν ἐν τῷ θεωρὲν καὶ κρίνεν γένηται ἁ ἀρετὰ, καλέεται φρόνασις, ὄκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ ἀδέα, σωφροσύνα, ὄκα δὲ ἐν τῷ κέρδεος ἀποσχέσθαι καὶ βλάβας τᾶς ἐς τὸν πλασίον, δι-

consilium instar manuum est animi, quibus aggredimur et res apprehendimus. Animi quoque constitutio sic se habet, ut una sit ejus pars ratio, altera iracundia, tertia cupiditas. Ratio cognitionis, iracundia roboris, cupiditas appetitus imperium obtinet. Ubi tria haec juncta inter se convenienti copula fuerint, tum emergit virtus et consensus in anima: sin dissideant et a se mutuo divulsa fuerint, tum vitium in anima atque discordia nascitur. Jam cùm ratio partes animi ratione carentes moderatur, tolerantia gignitur et continentia, dum labores illa, voluptates haec moderatur; cum ratione carentes partes animi rationi imperant, mollities et incontinentia nascitur, dum labores illa fugit, a voluptatibus haec vincitur. Cum vero melior animi pars imperat ac praeest, deterior paret ac sequitur, et inter se ambae consentiunt, tum virtus et bonitas consummata per totum animum existit. Et cupiditas quidem cum rationem sequitur, fit temperantia: cum iracundia, fortitudo: cum partes omnes, justitia. Haec enim et vitia cuncta et virtutes animi inter se discernit: et est quaedam congruentiae partium animi constitutio virtusque perfecta et suprema. Ut enim in hac omnia sunt, ita sine hac reliqua non existunt animi bona. Quare tam inter deos plurimum pollet, quam inter homines. Haec enim virtus ipsam universi societatem connectit, ac Themis quidem apud superos, Dice autem apud inferos, Lex vero apud homines nuncupatur: quae sane signa sunt certissima, quod justitia facile virtutum primas habeat. Dum ergo virtus in contemplando et judicando versatur, vocatur prudentia; cum in suavibus moderate ferendis, temperantia; cum in abstinendo a lucro malo et damno, quod infertur proximo, justitia. At illius secundum rectam rationem constitutio, et praeter rectam rationem praevaricatio, ipsius decori est assecutio ejusdemque aber-

καιότας. Ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις, καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντός ἐντι στοχασμὸς καὶ τῶ μὴ δέοντος ἐκπίπτωσις. Ἔντι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν. Τοῦτο δὲ οὐκ ἀφαιρέσιος οὔτε προσθέσιος δέεται· αὐτὸ γάρ ἐντι, ὃ δεῖ ἦμεν· τῶ δὲ μὴ δέοντος εἴδεα δύο, τὸ μὲν ὑπερβολὰ, τὸ δὲ ἔλλειψις· καὶ ἁ μὲν ὑπερβολὰ τὸ πλέον τῶ δέοντός ἐντι, ἁ δὲ ἔλλειψις τὸ ἔλαττον. Ἁ δ' ἀρετὰ ἕξις τίς ἐντι τῶ δέοντος, διόπερ καὶ ἀκρότας καὶ μεσότας εὐθέως ἐντί· οὕτω γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες [αἱ ἀρεταὶ], μεσότατες μὲν, ὅτι ἐντὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι, ἀκρότατες δὲ, ὅτι οὔτε προσθέσιος, οὔτ' ἀφαιρέσιος δέονται, αὐτὰ γάρ ἐντι ταῦτα, ἃ δεῖ αὐτὰ ἦμεν.

Ἐπειδὴ ἁ τῶ ἄθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἁδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν, ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τᾶς ψυχᾶς ἁδονὰν καὶ λύπαν ἁ ἀρετὰ πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συναρμόζεσθαι· οὐδὲ γὰρ ὑγίεια, εὐκρασία τις ἐοῖσα τᾶν τῶ σώματος δυνάμεων, ἐν τῷ ὑπεξελέσθαι τὸ ψυχρὸν καὶ τὸ θερμὸν, καὶ τὸ ὑγρὸν καὶ τὸ ξαρὸν πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συγκερασθῆναι· ἔντι γὰρ οἷον συμμετρία τις τούτων· οὐδ' ἐν τᾷ μωσικᾷ ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ τὸ σύμφωνον πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτά πως συναρμόξασθαι συναρμογὰν τῶ ὀξέος καὶ τῶ βαρέος τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρούεται· συναρμοσμένων δὲ καὶ τῶ θερμῶ καὶ τῶ ψυχρῶ καὶ τῶ ὑγρῶ καὶ τῶ ξαρῶ, ἁ μὲν ὑγίεια γίνεται, ἁ δὲ νόσος ἀπόλλυται· συναρμοσμένων δὲ καὶ τῶ θυμῶ καὶ τᾶς ἐπιθυμίας ταὶ μὲν κακίαι καὶ τὰ πάθεα ἐξαιρέονται, ταὶ δ' ἀρεταὶ καὶ τὰ ἤθεα ἐγγίνονται. Ἰδιαίτατον δὲ τᾶς τῶ ἤθεος ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς, λόγῳ γὰρ καὶ δυνάμει συγχρέεσθαι δύναται καὶ ἄνευ ἀρετᾶς, προαιρέσει δὲ οὐ δυνατόν· τὸ γὰρ ἀξίωμα τῶ ἤθεος ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς σαμαίνει, διὸ καὶ μετὰ τᾶς βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμῶ καὶ ἐπιθυμίας, ἐγκράτειαν καὶ καρτερίαν ἐμποιέει, μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶν ἀλόγων, ἀκρασίαν καὶ μαλακίαν· αἱ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς ἀμιτελέες μὲν ἀρεταὶ, ἀμιτελέες δὲ κακίαι τυγχάνοντι·

ratio. Est autem decorum, quod esse decet: id quod nec addi quidquam nec demi postulat, quandoquidem ipsum, quod esse decet, est. Indecori vero species duae sunt, altera quidem excessio, altera autem defectus: et excessus quidem plus est quam decet, defectus vero minus. Virtus autem decori est habitus, quocirca statim quoque et supremum est et medium: et virtutes omnes et media sunt et suprema, media, quoniam inter excessum et defectum constitutae sunt, suprema, quoniam nec addi quidquam nec demi postulant; quandoquidem, quod esse decet, ipsae sunt.

Quandoquidem moralis virtus circa affectus versatur, affectuum autem supremi censentur voluptas et dolor, patet, non in eo virtutem esse positam, ut ex animo penitus evellantur affectus, voluptas et dolor, sed ut apti congruique reddantur. Etenim nec sanitas, quae corporis facultatum quaedam est bona temperies, in eo ponitur, ut frigus, calor, humor et siccitas prorsus tollantur, verum ut permisceantur apte, cum sit illorum quaedam mensura conveniens: nec in musica, si acutum et grave tollantur, concentus oritur, verum si apte permisceantur, tum concentus existit et tollitur vocum dissonantia. Similiter calore, frigore, humore, siccitate permistis, et sanitas oritur, et morbus tollitur. Neque aliter iracundia et cupiditate recte compositis et vitia cum perturbationibus eximuntur, et virtutes moresque existunt. Est autem virtutis moralis maxime propria voluntas vel electio, quae in rebus honestis est. Etenim ratione ac facultate etiam sine virtute uti licet, voluntate non licet: prorsus enim omnis de moribus aestimatio a voluntate petitur. Quapropter et per vim imperans iracundiae et cupiditati ratio continentiam ac tolerantiam parit: et per vim rursus ipsa exacta ab irrationalibus (animae partibus) incontinentiam et mollitiem. Caeterum tales animi affectiones et imperfectae virtutes, et imperfecta sunt vitia:

ὁ μὲν γὰρ λογισμὸς ὑγιαίνει, τὰ δὲ ἄλογα μέρεα τᾶς ψυχᾶς νοσέει, καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ὑπὸ τῶ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρτερία ἀρεταὶ τυγχάνοντι, καθὸ δὲ μετὰ βίας, ἀλλ' οὐχ ἑκουσίως τοῦτο πράσσοντι, κακίαι τυγχάνοντι, δέει γὰρ τὰν ἀρετὰν μὴ μετὰ λύπας, ἀλλὰ μετὰ ἁδονᾶς τὰ δέοντα πράσσεν· πάλιν δὲ, καθὸ μὲν ἐπικρατέει ὁ θυμὸς καὶ ἁ ἐπιθυμία τῶ λογισμῶ (μαλακίαν καὶ ἀκρατίαν ἐπιφέροντα), κακίαι τινὲς τυγχάνοντι, καθὸ δὲ μετὰ λύπας χαρίζονται τοῖς πάθεσιν, εἰδότες ὅτι ἀμπλακέοντι, ἐν τῷ ὑγιὲς ἦμεν τὸ ὄμμα τᾶς ψυχᾶς. Ταῦτα δὲ οὐ κακίαι, ἀλλὰ πλάναι. Αὐτό γε τοῦτο φανερὸν, ὅτι ἑκουσίως δέει τὰν ἀρετὰν τὰ δέοντα πράσσεν· τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας καὶ φόβου, τὸ δὲ ἑκούσιον οὐκ ἄνευ ἁδονᾶς καὶ φιλοφροσύνας. αἴκα δὲ καὶ ὁ λόγος τᾶς διαιρέσιος ἐμπέσοι, καὶ παρείτω ταῦθ' οὕτως ἔχεν. Ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων τῶ λόγον ἔχοντος μέρεός ἐντι τᾶς ψυχᾶς· ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχεν μὴ δύνασθαι τοῖς πόνοις, ἐπικρατέειν δὲ τὰν ἁδονὰν, οἰκῆόν ἐντι τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς· ἁ δὲ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς, καὶ τῷ ἀλόγῳ, σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος, ὧν ἁ μὲν διάνοια τῶ λόγον ἔχοντός ἐντι, ἁ δ' ὄρεξις τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς, καὶ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

II. Ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. Τὸ μὲν γάρ τι αὐτᾶς ἐντι λογισμὸς, τὸ δὲ θύμωσις. τὸ δ' ἐπιθυμία. λογισμὸς μὲν ὁ κρατέων τᾶς γνώσιος, θυμὸς δὲ ὁ κρατέων τῶ μένεος, ἐπιθυμία δὲ ἁ κρατεῦσα τῶ ἐπιθυματικῶ ἀδεῶς· ὄκα ὦν ἐς τὸ ἓν τὰ τρία ταῦτα μολέῃ, μίαν ἐπιδεξάμενα συναρμογὰν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ· ὄκα δὲ στασιάζοντα ἀπ' ἀλλάλων ἀπέσπασται, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ.

ratio enim in illis sana est, irrationales autem animi partes languent. Et quatenus quidem a rationis compote animi parte ira et cupiditas reguntur, virtutes habentur continentia et tolerantia: quatenus autem per vim hoc, non sponte fit, sunt vitia: debet enim virtus non cum dolore, sed cum voluptate officio suo defungi. Quatenus rursus imperantes rationi, ira et cupiditas mollitiem et incontinentiam procreant, vitia haec sunt: quatenus vero cum dolore perturbationibus gratificantur, dum (quoniam sanus est animi oculus) sciant, se delinquere, non vitia, sed errores habenda veniunt. Manifestum est enim, sponte et voluntario virtutem debere officium facere. Et cum voluntate quidem conjunctum quod est, non caret voluptate et hilaritate, quod autem vi cogitur, dolore et metu non caret. Quid quod, simulatque instituatur divisio, haec ita se habere comperientur? Etenim cognitio rerum et inspectio ratione praeditae est animi partis, vis agendi autem ratione carentis, siquidem laboribus frangi vincique a voluptate ratione carentis proprium est animi partis. Electio autem et voluntas in utraque cernitur, et rationis compote, et experte animi parte. Cum enim ex intelligentia et appetitu constet, illa ad rationis compotem, hic ad expertem refertur. Quamobrem et virtus omnis in partibus animi componendis posita est, et voluntas atque electio prorsus in virtute cernuntur.

II. Animi constitutio sic se habet, ut una sit ejus pars ratio, altera iracundia, tertia cupiditas. Ratio cognitioni, ira robori, cupiditas appetitui (vi concupiscendi) praeest intrepide. Cum igitur haec tria bene temperata in unum convenerunt, tum virtus in animo gignitur et concordia; cum per seditionem inter se divelluntur, vitium oritur atque discordia. Sunt autem virtuti haec tria necessaria, ratio, facultas et electio. Jam ratione praeditae animi partis virtus est prudentia, quoniam judicii et contemplationis particeps est

Ἀνάγκα δ' ἀρετὰν τρία ταῦτα ἔχεν, λόγον, δύναμιν καὶ προαίρεσιν· τῶ μὲν ὦν λογικῶ μέρεος τᾶς ψυχᾶς ἀρετὰ ἁ φρόνασις, κριτικὰ γάρ ἐντι καὶ θεωρατικὰ ἕξις· τῶ δὲ θυμοειδέος ἀνδρεία, ἕξις γάρ ἐντι ἀντερειστικὰ καὶ ὑποστατικὰ τῶν δεινῶν· τῶ δ' ἐπιθυματικῶ ἁ σωφροσύνα, μετριότας γάρ ἐντι καὶ κατοχά τις ἁδονᾶν τᾶν διὰ σώματος· ὅλας δὲ τᾶς ψυχᾶς ἁ δικαιοσύνα. Φαῦλοι μὲν γὰρ τοὶ ἄνθρωποι γίνονται ἢ διὰ κακίαν, ἢ δι' ἀκρατίαν, ἢ διὰ θαριότατα, ἀδικέοντι δ' ἀλλάλως ἢ διὰ κέρδος, ἢ διὰ ἁδονὰν, ἢ διὰ φιλοτιμίαν. Ἁ μὲν ὦν κακία τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς ἐντὶ οἰκηοτέρα, προσέοικε γὰρ ἁ μὲν φρόνασις τᾷ τέχνᾳ, ἁ δὲ κακία τᾷ κακοτεχνίᾳ ἔοικε, μαχανάσιος γάρ ποθεν εὑρίσκεν τὸ ἄδικον· ἁ δ' ἀκρασία μᾶλλον τῶ ἐπιθυματικῶ, ἐν γὰρ τῷ κρατεῖν ἁδονᾶς ἁ ἐγκράτεια, καὶ ἐν τῷ μὴ κρατεῖν ἁ ἀκρατία· ἁ δὲ θαριότας τῶ θυμοειδέος, ὅκα γὰρ τᾷ ἐπιθυμίᾳ τῶ κακῶς ποιῆσαι χαρίζηταί τις, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς θαρίον, τὸ τοιόνδε ὀνομάζεται θαριῶδες. Ἀκόλουθα δὲ καὶ τὰ ἀποτελέσματα τᾶν διαθέσεων τούτων, ὥνπερ ἕνεκα πράσσονται· ἁ μὲν γὰρ πλεονεξία ἀπὸ κακίας, ἁ δὲ κακία ἀπὸ τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς· καὶ ἁ φιλοτιμία ἀπὸ τῶ θυμοειδέος, αὐτὰ δ' ἐν ὑπερβολᾷ γενομένα γεννᾷ τὰν θαριότατα· πάλιν ἁ μὲν ἁδονὰ ἐν τῷ ἐπιθυματικῷ, σφοδρότερον δὲ μαστευομένα γεννᾷ τὰν ἀκρατίαν. Ὥστ', ἐπεὶ τὸ ἀδικεῖν γίνεται δι' αἰτίας τοσαύτας, φανερὸν, ὅτι τὸ δικαιοπραγὲν γίνεται διὰ τὰς ἴσας· φύσει γὰρ ἁ μὲν ἀρετὰ ἀγαθοποιὸς καὶ ὠφελατικὰ, ἁ δὲ κακία κακοποιὸς καὶ βλαπτικά. Ἐπεὶ δὲ τῶν τᾶς ψυχᾶς μερέων τὸ μέν ἐντι ἁγεόμενον, τὸ δὲ ἑπόμενον, αἱ δ' ἀρεταὶ καὶ αἱ κακίαι περὶ ταῦτα καὶ ἐν τούτοις, φανερὸν, ὅτι καὶ τᾶν ἀρετᾶν ταὶ μέν ἐντι ἁγεμονικαὶ, ταὶ δ' ἑπατικαὶ, ταὶ δὲ σύνθετοι ἐκ τούτων· ἁγεμονικαὶ μὲν, οἷον ἁ φρόνασις, ἑπατικαὶ δὲ, οἷον ἀνδρεία καὶ σωφροσύνα, σύνθετοι δ' ἐκ τούτων, οἷον ἁ δικαιοσύνα. Τὰ δὲ πάθεα τᾶς ἀρετᾶς ὕλα, περὶ ταῦτα γὰρ καὶ ἐν τούτοις αἱ ἀρεταί. Τῶν δὲ παθέων τὸ μὲν ἑκούσιον, τὸ δ' ἀκούσιον. Καὶ ἑκούσιον μὲν ἁδονὰ, ἀκούσιον δὲ λύπα

habitus: iracundiae autem fortitudo, habitus enim est, quo obnitimur et toleramus res graves et pericula: cupiditatis vero temperantia, est enim moderatio quaedam et coercitio voluptatum, quae corpore percipiuntur: totius denique animi justitia. Improbi vero redduntur homines vel per malitiam, vel per incontinentiam, vel per feritatem; injuste autem agunt vel lucri, vel voluptatis, vel gloriae causa. Ac malitia quidem ad rationis participem animi partem refertur, quandoquidem ut prudentia cum arte, ita malitia cum corruptela aut depravatione artis confertur, quoniam ad injuriam dolos excogitat; incontinentia vero magis quadrat concupiscibili parti, nam in moderanda voluptate sita est continentia, et in laxando ei fraena incontinentia: feritas autem ad irascibilem partem animi refertur, quando enim quis cupiditati aliis nocendi, non ut homo, sed ut fera gratificatur, ea dicitur feritas. Sunt quoque harum affectionum effectus et fines consequentes: avaritia etenim ex malitia, malitia autem e rationali parte animi manat: similiter, ut ad iracundiam pertinet ambitio, sic ipsa modum excedens feritatem gignit: denique voluptas, ut cupiditatis est, ita nimium quaesita gignit incontinentiam. Cum ergo injuste agere per tot causas contingat, patet, quod et juste agere per totidem causas eveniat. Natura siquidem virtus bene merendi ac juvandi est studiosa, malitia contra malefaciendi laedendique cupida. Et quoniam de animi partibus alia imperat, alia paret, virtutes autem in his et vitia cernuntur, virtutes quoque partim imperantes, partim parentes, partim esse mixtas efficitur. Imperat quidem prudentia, parent autem fortitudo ac temperantia, mixta demum est justitia. Affectus porro sunt virtutis materia, quandoquidem in his illa cernitur. Affectuum autem hic quidem voluntarius, ille vero involuntarius: voluntarius quidem voluptas, involuntarius utem dolor. Atque haec et inten-

ταῦτα δὲ καὶ ἐπιτείνοντι καὶ ἀνίεντι τοὶ πολιτικοί, συναρμόζοντες τὰ ἄλλα μέρεα τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον. Ταύτας δὲ συναρμογᾶς ὅρος τὸ μήτε διὰ τὰν ἔνδειαν, μήτε διὰ τὰν ὑπερβολὰν ἀπείργεσθαι τὸν νόον τὸ ἴδιον ἔργον ἐπιτελὲν, συντέτακται γὰρ τὸ χέρηον ἕνεκα τῶ βελτίονος· ὡς μὲν ἐν τῷ κόσμῳ τὸ ἀειπαθὲς πᾶν μέρος ἕνεκα τῶ ἀεικινάτω, ἐν δὲ τᾷ συζυγίᾳ τῶν ζώων τὸ θᾶλυ ἕνεκα τῶ ἄῤῥενος, τὸ μὲν γὰρ σπείρει τὰν ψυχὰν γεννῶν, τὸ δὲ μόνον τὰν ὕλαν παρέχεται τῷ γεννωμένῳ, ἐν δέ γε τᾷ ψυχᾷ τὸ ἄλογον τῷ λογικῷ· συντέτακται γὰρ καὶ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ποτὶ τὸ πρᾶτον μέρος τᾶς ψυχᾶς, τὸ μὲν ὥσπερ δορυφόρος τὶς καὶ σωματοφύλαξ, τὸ δὲ ὡς οἰκονόμος καὶ οἰκουρὸς τῶν ἀναγκαίων· ὁ δὲ νόος ἐπ' ἄκρας τᾶς κορυφᾶς τῶ σώματος ἱδρυμένος, καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, μαστεύεται τὰν τῶν ἐόντων φρόνασιν, καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον καὶ κτασάμενον ἀκολουθῆσαι τοῖς βελτίοσιν αὐτῶ καὶ τιμιωτάτοις· ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανὼν ἐντὶ τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας ἁ τῶν θήων καὶ τιμιωτάτων ἐπίγνωσις.

Καθόλω μὲν ὦν ἀρετὰ συναρμογά τίς ἐντι τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον. γίνεται δὲ αὐτὰ τῷ τὸν κατὰ τὰν ἁδονὰν καὶ τὰν λύπαν ὅρον ἐπιδέξασθαι τὸν τῶ δέοντος, οὐδὲν γὰρ ἅτερον ἀλαθινὰ ἀρετὰ, εἰ μὴ ἕξις τῶ δέοντος. Αὐτὸ δὲ τὸ δέον ἐντὶ, ὅπερ δέει ἦμεν, τὸ δὲ μὴ δέον, ὅπερ οὐ δέει ἦμεν· τῶ δὲ μὴ δέοντος εἴδεα δύο, τὸ μὲν ὑπερβολὰ, τὸ δ' ἔλλειψις· καὶ ὑπερβολὰ μέν ἐντι τὸ πλέον τῶ δέοντος, ἔλλειψις δὲ τὸ ἔλαττον τῶ δέοντος· τὸ δὲ δέον αὐτὸ ἐὸν, ὅπερ δέει ἦμεν, καὶ ἄκρον ἂν ὑπάρχοι καὶ μέσον, ἄκρον μὲν, ὅτι οὔτ' ἀφαιρέσιος οὔτε προσθέσιος δέεται, μέσον δὲ, ὅτι μεταξύ ἐντι τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος. Ἔχει δὲ τὸ δέον καὶ μὴ δέον ποτ' ἄλλαλα οὕτως, ὥσπερ τὸ ἴσον καὶ ἄνισον, καὶ τὸ τεταγμένον καὶ ἄτακτον, ταῦτα δ' ἐντὶ ἀμφότερα τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, καὶ διὰ τοῦτο τῶ ἀνίσω τὰ μέρεα λέγεται ποτὶ τὸ μέσον, ἀλλ' οὐ ποτ'

dunt et remittunt homines civiles, dum reliquas animi partes cum rationis participe coaptant: hujus autem copulae limes atque terminus est, ne propter defectum, neve propter excessum prohibeatur mens suum opus exsequi. Quod enim deterius est, praestantioris causa creatum est: ut in mundo pars perpetuis passionibus subjecta propter eam, quae semper movetur, in animalibus foemina propter marem (hic enim seminat animum gignendo, illa duntaxat materiam ei, quod generatur, suppeditat), in ipso porro animo ratione carens pars propter rationis compotem. Nam et iracundia et cupiditas ad primam animi partem refertur, illa ceu satelles et stipator, haec ut dispensatoris et custodis domestici munus obeat. At vero mens (intellectus) in summo corporis vertice collocata, in pellucida undique specula eorum, quae sunt, scientiam investigat, et hoc a natura opus habet, ut post investigationem factam rerumque cognitionem comparatam sequatur ea, quae ipsi visa sunt optima atque excellentissima. Etenim rerum divinarum et praestantissimarum cognitio beatitudinis humanae principium, causa et regula est.

In universum itaque virtus est congruentia quaedam irrationalium partium animi ad partem rationis compotem. Ea existit, cum et voluptas et dolor decori norma reguntur. Nihil enim est aliud vera virtus quam decori habitus: decorum autem est, quod esse decet, indecorum, quod non decet. Indecori autem species duae sunt, excessus et defectus. Ille plus quam decet, hic minus habet. Decorum porro cum sit, quod esse decet, et supremum sit oportet, et medium, supremum, quoniam nec addi quidquam nec demi postulat, medium, quoniam inter excessum et defectum est. Sic porro se decorum et indecorum inter se habent, ut aequale et inaequale, dispositum et confusum, (quae quidem utraque in idem recidunt, finitum et infinitum). Jam inaequalis partes ad medium, non ad se invicem

ἄλλαλα· ἀμβλῆά τε γὰρ ὀνομάζεται γωνία ἁ μείζων ὀρθᾶς, ὀξῆα δὲ ἁ μείων ὀρθᾶς, καὶ μείζων μὲν εὐθῆα ἁ ὑπερέχευσα τὰν ἐκ τῶ κέντρω, καὶ μακρότερα μὲν ἁμέρα ἰσαμερινᾶς. Καί τε νόσοι τε γίνονται τῶ σώματος διὰ τὸ θερμότερον ἢ κρυμωδέστερον γίνεσθαι τὸ σῶμα, τὸ μὲν γὰρ θερμότερόν ἐντι τὸ πλέον τῶ μετρίω, τὸ δὲ κρυμωδέστερον ἔλασσον τούτω. Ἔχει δέ γε καὶ ἁ ψυχὰ (καὶ τὰ περὶ αὐτὰν) τὰν διάθεσιν καὶ τὰν ἀναλογίαν ταύταν. Ἁ μὲν ὦν θρασύτας ἐντὶ ὑπερβολὰ τῶ δέοντος ἐν ὑποστάσει δεινῶν, ἁ δὲ δειλότας ἔλλειψις τῶ αὐτῶ· καὶ ἁ μὲν ἀσωτία ὑπερβολὰ τῶ δέοντος ἐν δαπάνᾳ χραμάτων, ἁ δ' ἀνελευθερία ἔλλειψις τῶ αὐτῶ καὶ ἁ μὲν ὀργά ἐντι ὑπερβολὰ τῶ δέοντος ἐν ὁρμᾷ θυμῶ, ἁ δ' ἀναλγασία ἔλλειψις τούτω. Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τᾶν ἀλλᾶν διαθέσεων ἀντικειμένων. Δέει δ' ἕξιν τῶ δέοντος ὑπάρχοισαν τὰν ἀρετὰν καὶ μεσότατα τῶν παθέων μήτ' ἀπαθέα μήτ' ἐκπαθέα ἦμεν, ἁ μὲν γὰρ ἀπάθεια ἀπαρόρματον καὶ ἀνενθωσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν, ἁ δ' ἐκπάθεια συντεταραγμέναν καὶ ἀνεπιλόγιστον. δέει ὦν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ, ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν γραμμὰν ἐπὶ τᾶς γραφᾶς, τὸ γὰρ ἔμψυχον καὶ τὸ ἁπαλὸν καὶ τὸ μεμιμαμένον τὰν ἀλάθειαν σὺν τᾷ χραστότατι τῶν χρωμάτων μάλιστα γίνεται διὰ τούτων· ἔμψυχα δὲ ἐκ παρορμάσιος καὶ ἐνθωσιασμῶ ἀρετᾶς τᾶς κατὰ φύσιν τὰ πάθεα τᾶς ψυχᾶς· γίνεται γὰρ ἐκ τῶν παθέων ἁ ἀρετά, καὶ γενναθεῖσα πάλιν σὺν αὐτοῖς συνίσταται, ὥσπερ καὶ τὸ καλῶς ἁρμοσμένον ἐκ τῶ ὀξέως καὶ βαρέως, καὶ τὸ εὔκρατον ἐκ τῶ θερμῶ καὶ ψυχρῶ, καὶ τὸ ἰσόῤῥοπον ἐκ τῶ βαρέως καὶ κούφω. οὐκ ἀφελὲν ὦν δέει τὰ πάθεα τᾶς ψυχᾶς, οὔτε γὰρ ὠφέλιμον, ἀλλὰ συναρμόσασθαι ποτὶ τὸ λόγον ἔχον τῶ δέοντος καὶ τῶ μετρίω. [Στοβ. λόγ. ά. περὶ ἀρετῆς.]

referuntur. Nam et obtusus dicitur angulus, qui recto major est, et acutus, qui minor, et major linea recta, quae ductam e centro superat, et longior dies eo, quem dat aequinoctium. Morbi quoque gignuntur, quoniam vel calidius vel frigidius redditum est corpus: siquidem, quod calidius est, plus est mediocritate: quod frigidius, minus. Verum et animus et quae circa eum sunt, habet dispositionem et proportionem consimilem. Ut enim audacia plus decoro habet in gravibus perferendis, ita minus timiditas: ut prodigalitas in sumptu pecuniarum modum excedit, ita sordities in eadem re defectu peccat: ut ira plus decoro habet in concitatione animositatis, ita indolentia minus. Ac similis est alia affectionum oppositarum ratio. Debet autem virtus, cum decori sit habitus et perturbationem mediocritas, nec indolens esse nec nimis affectibus obnoxia. Ut enim indolentia immotum et languidum ad honesta quaevis reddit animum, ita confusum et imperitum immodica perturbatio. Oportet igitur affectum non aliter ostendi in virtute quasi latentem, quam umbram aut lineam in pictura. Quod enim vivum ac tenerum et veritatem exprimens ducitur, id per haec maxime, si boni sunt colores, efficitur. Sic et animi perturbationes naturalis virtutis impetu et instinctu animantur. Ut enim ex perturbationibus oritur virtus, ita rursum orta cum illis conjungitur: quemadmodum ex gravi et acuto concentus, ex calido et frigido temperies, ex gravi et levi aequilibrium. Non sunt igitur ex animo tollendae perturbationes, quandoquidem id non conducit, verum cum rationis compote animi parte per decorum et mediocritatem apte componendae. [*Stob. Serm. I. de virtute.*]

5.

ἘΚ ΤΩΝ ΜΕΤΩΠΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ἘΝ ΤΩι ΠΕΡΙ ἈΡΕΤΗΣ.

Ἀρετὰ ἐντὶ ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω, ἕκαστον γὰρ ἐόντων τέλειον καὶ ἄκρον γίνεται κατὰ τὰν οἰκείαν τᾶς ἀρετᾶς φύσιν· ἵππω τε γὰρ ἀρετά ἐντι ἅ ἐς τὸ ἄκρον ἄγουσα τὰν τῶ ἵππω φύσιν· καὶ ἐπὶ τῶν μερέων τῶν καθ' ἕκαστον ὁ αὐτὸς λόγος· ὀμμάτων τε γὰρ ἀρετὰ ὀξυδορκία, αὐτὰ δ' ἀκρότας ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος, καὶ ὠάτων ἀρετὰ ὀξυακοΐα, αὐτὰ δ' ἀκρότας ἐντὶ τᾶς ὠάτων φύσιος, καὶ ποδῶν ἀρετὰ ποδώκεια, καὶ αὐτὰ ἀκρότας ἐντὶ τᾶς ποδῶν φύσιος. Ἀνάγκα δ' ἀρετὰν πᾶσαν τρία ταῦτ' ἔχεν, λόγον καὶ δύναμιν καὶ προαίρεσιν· λόγον μὲν, ᾧ κρίνει καὶ θεωρεῖ, δύναμιν δὲ, ᾧ ἀντέχει καὶ κρατεῖ, προαίρεσιν δὲ, ᾧ στέργει καὶ ἀγαπᾷ. Τὸ μὲν ὦν κρίνεν καὶ θεωρὲν ἐντὶ τῶ διανοατικῶ μέρεος τᾶς ψυχᾶς, τὸ δ' ἀντέχεν καὶ κρατὲν ἴδιον τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς· συνέστακε γὰρ προαίρεσις ἐκ διανοίας καὶ ὀρέξιος· ἁ μὲν ὦν διάνοια ἀπὸ τῶ λογικῶ μέρεός ἐντι τᾷ ψυχᾷ, ἁ δ' ὄρεξις ἀπὸ τῶ ἀλόγω. Τὸ δὲ πλᾶθος τᾶν ἀρετᾶν ἁπασᾶν ἐκ τῶν μερέων τᾶς ψυχᾶς κατίδοιτο ἄν τις, ὡσαύτως δὲ καὶ τὰν γένεσιν καὶ τὰν σύστασιν τᾶς ἀρετᾶς· ἐπὶ γὰρ τῶν μερέων τᾶς ψυχᾶς δύο τὰ πρῶτα, τὸ μὲν λογιστικὸν, τὸ δ' ἄλογον, καὶ λογιστικὸν μὲν, ᾧ κρίνομες καὶ θεωροῦμες, ἄλογον δὲ, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα· ταῦτα δὲ ἀλλάλοις ἢ συμφωνοῦντι ἢ διαφωνοῦντι, ἁ δὲ μάχα καὶ διαφωνία γίνεται αὐτοῖς δι' ὑπερβολὰν καὶ ἔλλειψιν. Φανερὸν ὦν, ὅκκα μὲν τὸ λογιστικὸν μέρος τᾶς ψυχᾶς ἐγκρατῇ τῶ ἀλόγω, γίνεται καρτερία καὶ ἐγκράτεια, ὅκκα δὲ τὸ μὲν ἁγῆται, τὸ δὲ ἕπηται, καὶ ἀμφότερα συμφωνῇ ἀλλάλοις, τὸ τανικαῦτα ἀρετά. Ἁ μὲν ὦν καρτερία καὶ ἐγκράτεια γίνεται μετὰ λύπας, ἀλλ' ἁ μὲν καρτερία ἐν τῷ ἀντέχεν πόνῳ, ἁ δ' ἐγκράτεια ἐν τῷ ἀντέχεν ἁδονᾷ, ἁ δ' ἀκρατία καὶ μαλακία ἐν τῷ μὴ ἀντέχεν μηδὲ κρατέν· καὶ διὰ τοῦτο συμβαίνει φεύγεν τἀγαθὰ τὼς ἀνθρώπως διὰ λύπαν, ἀποβαλὲν δ' αὐτὰ διὰ ἁδονάν. Καὶ τοὶ ἔπαινοι δὲ

5.

EX METOPO PYTHAGOREO
IN LIBRO DE VIRTUTE.

HOMINIS virtus est humanae naturae perfectio. Etenim per propriam virtutis naturam perfectum quidque ac supremum redditur. Nam et equi virtus est ea, quae naturam equi ad supremum perducit, et in partibus singulis eodem modo se res habet. Nam et oculorum virtus est acumen visus, idemque supremum in oculorum natura, et aurium virtus acris auditus, idemque supremum in aurium natura, et pedum virtus velocitas, eademque supremum in pedum natura. Hominum autem virtuti haec tria sunt necessaria, ratio, facultas et consilium. Ratio judicat et contemplatur; facultas resistit et moderatur; consilium amat et amplectitur. Jam judicare et contemplari intelligentis animi partis est proprium; resistere et moderari ratione carentis; amare et amplecti utriusque, tam quae ratione caret, quam quae ea pollet: cum enim ex intelligentia et appetitu consistat consilium, illa ad rationis compotem animi partem, hic ad expertem refertur. Jam virtutum omnium numerum, nec non virtutis ortum ac constitutionem ex animi partibus licet cognoscere. Etenim animi partes principes sunt duae, altera compos rationis, expers altera: illa judicamus et contemplamur, hac ferimur et appetimus. Hae porro vel consentiunt inter se, vel dissentiunt, quae quidem pugna et discordia propter nimium vel parum existit. Cum igitur rationis compos pars moderatur expertem, tolerantia gignitur et continentia; quando vero altera imperat, paret altera, et inter se ambae consentiunt, virtus nascitur. Ac tolerantia quidem et continentia cum dolore gignuntur, dum labori illa, voluptati haec resistit: incontinentia vero ac mollities nec resistit, nec moderatur: quo fit, ut bona propter dolorem fugiamus, propter voluptatem amittamus. Quid quod laudationes,

καὶ ψόγοι καὶ τὰ καλὰ πάντα τὰ περὶ τὸν ἄνθρωπον γίνεται ἐν τούτοις τοῖς μέρεσι τᾶς ψυχᾶς, καὶ καθόλω μὲν ἁ τᾶς ἀρετᾶς σύστασις γίνεται τοῦτον τρόπον. Τὰ δὲ εἴδεα αὐτᾶς καὶ τὰ μέρεα οὕτως ἄν τις ἀθρήσαιτο. Ἐπεὶ γὰρ τᾶς ψυχᾶς δύο μέρεα, τὸ μὲν λογιστικὸν, τὸ δ' ἄλογον, καὶ τὸ μὲν λογιστικόν ἐντι, ᾧ κρίνομες καὶ θεωροῦμες, τὸ δ' ἄλογον, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα, καὶ τούτου τὸ μὲν (οἷον ἀμυντικὸν καὶ ὑπερμαχατικὸν ποττὼς πλασίον) θυμοειδὲς ὀνομάζεται, τὸ δὲ (οἷον ὀρεκτικὸν καὶ ποθατικὸν τᾶς οἰκήας τῶ σώματος συστάσιος) ἐπιθυματικόν· φανερὸν, ὡς κατὰ λόγον τοῖς μέρεσι τούτοις τᾶς ψυχᾶς καὶ τὸ πλᾶθος τᾶν ἀρετᾶν ἀκολούθακε, καὶ ταὶ διαφοραὶ καὶ ἰδιότατες αὐτᾶν. [Στοβ. λόγ. ά. περὶ ἀρετῆς.]

6.

ΕΚ ΤΩΝ ΚΛΕΙΝΙΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ.

ΠΑΣΑ μὲν ὦν ἀρετὰ τελεοῦται (καθάπερ ἐν ἀρχᾷ διώρισται) ἐκ λόγω καὶ προαιρέσιος καὶ δυνάμιος, τοῦτο δὲ καθ' ἑαυτὸ ἕκαστον οὐκ ἀρετᾶς μέρος ἐντὶ, ἀλλ' αἴτιον ἀρετᾶς. Ὅσοι μὲν ὦν ἔχοντι τὸ νοατικὸν καὶ γνωστικὸν μέρος αὐτᾶς, δεινοί τε καὶ συνετοὶ εὖ λέγονται, ὅσοι δὲ τὸ ἀθικὸν τε καὶ προαιρετικὸν, χράσιμοι καὶ ἐπιεικέες.

Ὁπόταν δ' ἐκ τῶ τὰς αἰτίας ἀναιρὲν, δι' ἃς ἀδικὲν πέφυκεν ἄνθρωπος, αὗται δὲ τρεῖς τυγχάνοντι, φιλαδονία μὲν ἐν ταῖς ἀπολαύσεσι ταῖς διὰ σώματος, πλεονεξία δὲ ἐν τῷ κερδαίνιν, φιλοδοξία δὲ ἐν τῷ καθυπερέχεν τε τῶν ἴσων καὶ ὁμοίων. Δεῖ τοιγαροῦν γνωρίζεν, ὅτι τούτοις ἀντιτιθέμεναι οἷόν τέ ἐντι, ἃ μὲν φόβον ἐμπαρασκευάζοντι τοῖς ἀνθρώποις, ἃ δ' αἰσχύναν, ἃ δὲ καὶ ἐπιθυμίαν, φόβον μὲν διὰ τὼς νόμως, αἰσχύναν δὲ διὰ τὼς θεὼς, ἐπιθυμίαν δὲ διὰ τὼς λόγως· διδάσκεν ὧν δεῖ τὼς νέως ἐξ ἀρχᾶς τάν τε θεῶν τιμὰν καὶ τὰν τῶν νόμων· ἐκ τῶνδε γὰρ φανερὸν ἂν εἴη, ὅτι πᾶν ἔργον ἀνθρώπινον (καὶ βίος) ὁσιότατός τε καὶ εὐσεβείας μεθέξει, αἴκ' ὀρθοπλοεῖ. [Στοβ. λόγ. ά. περὶ ἀρετῆς.]

2. Ἐμοὶ τὸ τοῦ Πυθαγορικοῦ Κλεινίου λίαν ἀρέσκει. Λέγεται

vituperia cunctaque humana bona in his animi partibus cernuntur. Et hoc quidem pacto virtus in universum constituitur. Species autem ejus et partes hoc modo sunt considerandae, quod, cum duae sint partes animi, altera rationalis, altera rationis expers, rationalis est, qua judicamus et contemplamur, ratione carens vero, qua movemur et appetimus: hujus porro qua parte tanquam ulciscimur nos et defendimus, vocatur iracundia; qua propriam corporis constitutionem tanquam appetimus ac desideramus, cupiditas. Liquet igitur, ex his animi partibus etiam virtutum numerum, discrimen ac proprietatem pro proportione consequi. [*Stob. Serm. I. de virtute.*]

6.

EX CLINIA PYTHAGOREO.

QUAEVIS virtus perficitur, ut initio definitum est, ratione, voluntate et facultate. Horum autem singula non virtutis partes, sed causae sunt. Itaque qui intelligente et cognoscente ejus parte valent, ii graves et prudentes recte dicuntur; qui vero moribus probatis et voluntate pollent, commodi et aequi.

Cumque ex eo, quod causae tolluntur, propter quas injuste agunt homines — — — — — — — illae autem tres sunt, intemperantia in corporis voluptatibus, avaritia in lucrando, ambitio autem in antecellendo pares aequalesque: sciendum est, his opponi posse, quae metum et quae pudorem et quae cupiditatem (boni) pariant: metum per leges, pudorem per deos, cupiditatem per sermonem (et persuasionem). Quocirca jam a teneris pueri sunt et deorum et legum veneratione imbuendi. Ex his enim manifestum esse possit, omnem actionem humanam (adeoque ipsam vitam) sanctimoniae pietatisque participatione bono successu usuram. [*Stob. Serm. I. de virtute.*]

2. Mihi Cliniae Pythagorici dictum admodum pro-

γὰρ ἐρωτηθεὶς, ὁπηνίκα δεῖ μάλιστα γυναικὶ προσιέναι, (εἰπεῖν·) Ὅταν μάλιστα τυγχάνῃς βλαβῆναι βουλόμενος. [Plutarch. Sympos. II. Opp. Tom. II. pag. 654.]

7.

ΕΚ ΤΩΝ ΚΡΙΤΩΝΟΣ Η ΔΑΜΑΣΙΠΠΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ

ΈΝ ΤΩι ΠΕΡΙ ΦΡΟΝΑΣΙΟΣ ΚΑΙ ΕΥΤΥΧΙΑΣ.

I. ΦΡΟΝΑΣΙΣ καὶ εὐτυχία ὧδε ἔχοντι ποτ' ἄλλαλα. Φρόνασις μὲν τὸ ῥητὸν καὶ λόγον ἔχον· τεταγμένον γάρ τι καὶ ὡρισμένον ἐντί· εὐτυχία δὲ τὸ ἄῤῥητον καὶ τὸ ἄλογον, ἄτακτον γάρ τι καὶ ἀόριστόν ἐντι. καὶ τὸ μὲν ἀρχᾷ καὶ δυνάμει πρᾶτον, τὸ δὲ ἀρχᾷ καὶ δυνάμει ὕστερον· τὸ μὲν γὰρ κυβερνῆν καὶ ὁρίζεν πέφυκε, τὸ δὲ κυβερνῆσθαι καὶ ὁρίζεσθαι. Λαμβάνοντι μάν τοί γε συναρμογὰν ἀμφότερα, φρονάσιος καὶ εὐτυχίας εἰς ταυτὸ συνδραμοίσας· ἀεὶ γὰρ δέει τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν ἔχειν, ὃ περανέει τε καὶ συντάξει, τὰν δ' ἄῤῥητον καὶ ἄλογον ἦμεν, ὑφ' ὧ περανθήσεταί τε καὶ συνταχθήσεται· ἔχει γὰρ οὕτως ὁ λόγος κατὰ πάντων, ὅ τε τᾶς ἀπείρου φύσεως καὶ τᾶς περαινοίσας. Τὰ μὲν γὰρ ἄπειρα φύσιν ἔχει περαίνεσθαί τε καὶ συντετάχθαι ὑπὸ τῶν λόγον ἐχόντων ἀεὶ καὶ φρόνασιν· ὕλας γὰρ καὶ οὐσίας ἔχοντι τάξιν· τὰ δὲ περαίνοντα ἐξ αὐτέων συντετάχθαι τε καὶ ὡρίσθαι, τέχνας γὰρ καὶ αἰτίας ἐνεργατικᾶς ἐπέχοντι τάξιν. [Στοβ. λόγ. γ. περὶ φρονήσεως.]

II. Ἁ δὲ συναρμογὰ ταύταν τᾶν φυσίων κατ' ἄλλα καὶ ἄλλα γινομένα μεγάλαν καὶ ποικίλαν πεποίηκε τὰν διαφορὰν τῶν συναρμοσμένων. ἔν τε γὰρ τᾷ τῶν ὅλων περιοχᾷ συναρμογὰ συναμφοτέρων τᾶν φυσίων (τᾶς τε ἀεικινάτω φύσεως καὶ τᾶς ἀειπαθέος) κόσμος ἐντί· ἄλλως γὰρ οὐκ ἐνεδέχετο σώζεσθαι τό τε ὅλον καὶ τὸ πᾶν, μὴ συναρμογὰν ἔχοντος τῶ γεννατῶ ποτὶ τὸ θεῖον, καὶ τῶ ἀειπαθέος ποτὶ τὸ ἀεικίνατον. Ἔν τε τῷ ἀνθρώπῳ ἁ συναρμογὰ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον ἀρετά. Οὔτε γὰρ ἐν

batur, qui interrogatus, quando res cum uxore esset habenda, respondit: Cum maxime laedi voles.

7.

EX CRITONE VEL DAMASIPPO PYTHAGOREO
IN LIBRO DE PRUDENTIA ET FELICITATE.

I. PRUDENTIA et bona fortuna sic se habent altera ad alteram, ut prudentia rationis ac sermonis sit particeps, quandoquidem ordinatum quiddam et definitum est, bona autem fortuna in rationem ac sermonem non cadat, quandoquidem et confusum et infinitum quiddam est. Illa prior est dignitate et potentia, haec utique posterior. Nam ut illa gubernare ac determinare, ita gubernari haec et terminari solet. Veruntamen componitur utrumque, cum prudentia ac bona fortuna eodem concurrunt. Semper etenim rationis ac sermonis particeps natura habere debet, quod definiat atque componat: rationis et sermonis expers, a quo definiatur atque componatur, habere. Sic enim et infinitae et finientis naturae ratio per omnia se habet, ut, quae quidem infinita sint, ab iis, quae rationem et prudentiam habeant; natura finiantur et componantur, quandoquidem materiae et substantiae locum tenent: quae autem finiunt (ordinant), a sese compositionem et finitionem nacta sunt, quandoquidem artis et efficientis causae locum gerunt. [*Stob. Serm. III. de prudentia.*]

II. Harum porro naturarum in variis rebus facta compositio magnam et variam peperit compositorum differentiam. In universo primum utriusque naturae compositio, tum quae semper movet, tum quae semper patitur, mundus est. Nec enim aliter rerum universitas posset salva manere, nisi et creatum cum divino, et quod semper patitur cum eo, quod semper movet, fuisset compositum. In homine vero partis animi ratione carentis cum rationis compote concordia fit virtus. Nequit enim heic (dissentientibus inter se partibus utris-

τούτοις ἐνδέχεται, στάσιος ἐοίσας ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ἀποτελεσθῆμεν ἀρετάν. Καὶ ἐν πόλει δὲ τῶν μὲν ἀρχομένων ποτὶ τὼς ἄρχοντας συναρμογὰ ἀποτελέει κράτος καὶ ὁμόνοιαν, τὸ μὲν γὰρ ἄρχεν ἴδιον τῶ κρείσσονος, τὸ δὲ ἄρχεσθαι ῥᾷον τῶ χείρονος, τὸ δὲ κρατὲν καὶ ὁμονοὲν κοινὸν ἀμφοτέρων. Ὁ δὲ αὐτὸς τρόπος τᾶς ἐφ' ὅλω καὶ τᾶς ἐπὶ τῶ οἴκω συναρμογᾶς· συντίθεται δὲ καὶ συντίθησιν ἐπῳδὰς καὶ παιδείας ποτὶ λόγον εἰς τὸ αὐτὸ συνδραμοίσας, καὶ λύπας δὲ καὶ ἡδονὰς, καὶ εὐτυχίας καὶ ἀτυχήματα. Χρήζει γὰρ ὁ βίος τυγχάνεν καὶ ἀνέσιος καὶ ἐπιτάσιος, καὶ σκυθρωπότατος καὶ διαχύσιος, καὶ εὐτυχίας δὲ καὶ ἀτυχίας· ἃ μὲν γὰρ συνέχεν καὶ συνάγεν δύναται τὸν νόον ἐς τὰν εὐμαχανίαν καὶ ἐς τὰν φρόνασιν, ἃ δὲ (ἀνάπαυσιν καὶ διάχυσιν παρεχόμενα) καινότερον καὶ εὔψυχον αὐτὸν παρασκευάζοντι ποτὶ τὰς πράξιας. Εἰ δὲ ἓν τούτων ἐνδυναστεύοι κατὰ τὸν βίον, ἑτερομερής τε καὶ ἑτεροκλινὴς γίνεται ὁ βίος, ὅκα μὲν ἐπὶ τὸ σκυθρωπόν τε καὶ χαλεπὸν καταφερόμενος, ὅκα δὲ ἐπὶ τὸ ἀνειμένον καὶ κοῦφον. Ἁ δὲ συναρμογὰ τούτων ἁπάντων ὀφείλει γίγνεσθαι ποτὶ τὰν φρόνασιν, αὐτὰ γὰρ ἁ διενεργοῖσα ἐντὶ τό τε ἄπειρον καὶ τὸ περαῖνον ἐν ταῖς πράξεσι· διόπερ καὶ τᾶν ἀλλᾶν ἀρετᾶν αὕτα ἂν ἁγεμὼν ἐντι καὶ μάτηρ, πᾶσαι γὰρ ποτὶ τὸν λόγον καὶ νόμον τὸν ταύτας συναρμοσμέναι τε καὶ συντεταγμέναι τυγχάνοντι. Περαίνεται δὴ ὁ λόγος ἤδη μοι κατ' εὐθεῖαν. Τὸ γὰρ ἄλογον καὶ τὸ ῥητὸν ἐν πᾶσιν ἔνι, καὶ τὸ μὲν ὁρίζει καὶ περαίνει, τὸ δὲ ὁρίζεται καὶ περαίνεται, τὸ δ' ἐξ ἀμφοτέρων αὐτέων συγκείμενον ἅ τε τῶ ὅλω καὶ τῶ παντὸς συναρμογά ἐντι. [*Idem ibid.*]

III. Ὁ γὰρ θεὸς οὕτω ἐτεχνάσατο τὸν ἄνθρωπον, δηλούμενος αὐτὸν μήτ' ἀδυνάτως ἔχεν ποτὶ τὰν τῶν καλῶν ὁρμὰν, μήτε μὰν πάλιν ἀπροαιρέτως. Ἀρχὰν γὰρ αὐτῷ ἐνεφύτευσε τοιαύταν, ἅτις καὶ τὸ δυνατὸν ἅμα περιέχει, καὶ τὸ προαίρετον, ἵνα τᾶς μὲν δυνάμιος καὶ κατοχᾶς τῶν ἀγαθῶν αὐτὸς αἴτιος ᾖ, τᾶς δ' ἐπὶ ταῦτα παρορμάσιος καὶ κατ' ὀρθὸν λόγον ὁπαδήσιος ὁ θεός. Καὶ διὰ τοῦτο ἀνα-

que) virtus existere. Similiter in urbe principum cum subjectis compositio prudentiam parit et concordiam. Ut enim imperium potioris, ita obtemperatio deterioris, potentia autem et concordia ex utrisque consistunt. Jam eadem in universo et in familia compositionis ratio: quam (*consensus*) et disciplina concordi ratione instituta conservant. Porro in vita hominum tristitiam et voluptatem, laetam fortunam et adversam misceri oportet. Requirit enim vita tum intentionem et remissionem, tum moestitiam et hilaritatem, tum prosperam fortunam et adversam. Nam illa (*quae nobis adversa sunt*) animum contrahunt ingeniique vim continent coguntque ad industriam aeque ac prudentiam, exoptata quiete permulcent et laetitia diffundunt, unde recentior et promptior ad actiones fit animus. Quodsi alterutrum solum in vita superet, nimium in alteram partem inclinabit, aut in tristitiam ac molestiam nimis vergens, aut ad negligentiam et levitatem. Ceterum horum omnium compositio ad prudentiae regulam debet institui: haec enim est, quae res definit et infinitum in actionibus disponit. Quapropter etiam reliquarum virtutum dux et mater recte dicatur, siquidem ad hujus rationem et legem cunctae sunt compositae. Ceterum mea oratio his recte finitur. Quod enim ratione caret quodque in sermonem cadit, in omnibus cernitur, illud finitur et determinatur, hoc finit et determinat. Quod autem ex utroque constituitur, totius est atque universi compositio. [*Idem ibid.*]

III. Etenim deus sic hominem fabricatus est, ut ostenderet, eum nec potestate nec voluntate ab appetitione eorum, quae honesta sunt, abhorrere. Tale namque insevit illi principium, quod et potestatem simul et voluntatem contineret, sic ut potestatis quidem et possessionis bonorum ipse causam praebeat, appetitus autem et secundam rectam rationem impetus deus. Eamque ob causam in coelum eum erexit — —

θρώσκοντα αὐτὸν ἐποίησεν εἰς τὸν οὐρανὸν, καὶ αὐτὸν νοατικὸν, καὶ ὄψιν αὐτῷ ἐνέφυσε τοιαύταν, τὸν προσαγορευόμενον νόον, ᾧ τὸν θεὸν ὄψηται. Οὔτε γὰρ ἄνευ θεῶ τὸ ἄριστον καὶ τὸ κάλλιστον ἦν εὑρεῖν, οὐδ' ἄνευ νόω ἰδεῖν τὸν θεὸν, ἐπειδὴ πᾶν θνατὸν φύσιν ἔχει μετ' ἀφροσύνας συγγενέος ῥιζοῦσθαι· καὶ ταύταν οὐχ ὁ θεός ἐντι ὁ δωρούμενος, ἀλλ' ἁ τᾶς γενέσιος ὡσία καὶ τᾶς αὐτῶν ψυχᾶς ἁ προαίρεσις. [Στοβ. Ἐκλογ. Βιβλ. β'. Κεφ. η'. περὶ τῶν ἐφ' ἡμῖν.]

8.

ΠΩΛΟΣ ΠΥΘΑΓΟΡΕΙΟΣ ΛΕΥΚΑΝΟΣ
ἘΝ ΤΩι ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

ΔΟΚΕΙ μοι τῶν ἀνδρῶν τὰν δικαιοσύναν ματέρα τε καὶ τιθήναν τᾶν ἀλλᾶν ἀρετᾶν προσειπὲν, ἄτερ γε ταύτας οὔτε σώφρονα, οὔτε ἀνδρῆον, οὔτε φρόνιμον οἷόν τε ἦμεν· ἁρμονία γάρ ἐντι καὶ εἰρήνα τᾶς ὅλας ψυχᾶς μετ' εὐρυθμίας. Δηλοφανέστερον δὲ καὶ γένοιτο τὸ ταύτας κράτος ἐτάζουσιν ἁμῖν τὰς ἄλλας ἕξιας· μερικὰν γὰρ ἔχοντι αὐταὶ τὰν ὠφέλειαν καὶ ποθ' ἕνα, ἁ δὲ ποθ' ὅλα τὰ συστάματα καὶ ἐν πλάθει. ἐν κόσμῳ μὲν ὦν αὐτὰ τὰν ὅλαν ἀρχὰν διαστραταγοῖσα πρόνοιά τε καὶ ἁρμονία, καὶ Δίκα καὶ Νοῦς τινος θεῶν οὕτω ψαφισαμένω, ἐν πόλει δὲ εἰρήνα τε καὶ εὐνομία δικαίως κέκληται· ἐν οἴκῳ δ' ἐντὶ ἀνδρὸς μὲν καὶ γυναικὸς ποτ' ἀλλάλως ὁμοφροσύνα, οἰκετᾶν δὲ ποτὶ δεσπότας εὔνοια, δεσποτᾶν δὲ ποτὶ θεράποντας καδεμονία· ἐν σώματι δὲ πρᾶτα μὲν καὶ ἅπασιν ἀγαπατότατα ζώοις ἅ τε ὑγίεια καὶ ἀρτιότας· ἐν δὲ ψυχᾷ σοφία ἁ ἐκ τᾶς ἐπιστάμας τε καὶ δικαιοσύνας γενομένα παρ' ἀνθρώποις. Ἁ δ' αὐτὰ τὸ ὅλον καὶ τὰ μέρεα οὕτω παιδαγωγέει τε καὶ σώζει, ὁμόφρονα καὶ ποτάγορα ἀλλάλοις ἀπεργαζομένα, πῶς οὐ μάτηρ καὶ τιθήνα πασᾶν τε καὶ πάντων παμψαφεὶ λέγοιτο; [Στοβ. λόγ. θ'. περὶ δικαιοσύνης.]

visumque talem indidit, mentem dictam, quo deum conspiceret. Sine deo enim nec licebat optimum consequi, nec absque mente deum conspicere, quandoquidem omne mortale natura imprudentiae est obnoxium; non tam dei dono, quam ortus proprietate et animi impetu. [*Stob. Eclog. Lib. II. Cap. VIII. de iis quae in nostra sunt potestate p.* 550. *seq. ed. Heeren.*]

8.

EX POLO LUCANO PYTHAGOREO
IN LIBRO DE JUSTITIA.

JUSTITIA inter homines videtur mihi reliquarum virtutum mater et nutrix appellanda, siquidem sine ea neque temperantem neque prudentem neque fortem quenquam fieri licet. Est enim animi totius cum concinnitate pax atque harmonia. Fiet autem ejus vis ac dignitas manifestior, si ceteros habitus consideraverimus. Ut enim horum usus ad unum aliquod refertur, ita illius ad coetus integros et multitudinem. Et in mundo quidem, quod ejus universitatem temperat, providentia et harmonia et dice et mens ejus dei vocatur, a quo haec omnia descripta sunt; quoad autem civitates gubernat, pax appellatur et eunomia. In familia autem mariti et uxoris inter ipsos concordia, famulorum erga dominos benevolentia, dominorum in famulis cura: in corpore vero, quae prima est et omnibus animalibus carissima, sanitas et membrorum perfectio: in animo denique sapientia, quae inter homines e scientia constat et justitia. Cum igitur haec virtus totum simul et partes singulas ita moderetur et in concordia conservet, quomodo non mater et nutrix cum virtutum, tum rerum omnium cunctorum calculis habeatur? [*Stob. Serm. IX. de justitia.*]

9.

ΔΙΟΣ ΠΥΘΑΓΟΡΕΙΟΣ
ἘΝ ΤΩι ΠΕΡΙ ΚΑΛΛΟΥΣ.

ΤΙΣ ἀγωγὰ βιοτᾶς ναμερτέως εὐδαίμων ζωά; καὶ τίνας ποτὲ χρὴ κρίνεν εὐδαίμονας; ἢ νὴ Δία τὼς σκάνεος καλλονὰν ἔχοντας, δώραμα φύσιος; τούτως γὰρ ὡς ἔνι μασσότερον οἱ πλεῦνες ὡς θεὼς ἢ θεῶν ἱδρύματα περιέχοντι καὶ θεραπεύοντι, θρησκείοντες οὐ καλὰν θρησκείαν. Καὶ ὄντως ἐμοίγε κατοπτίλλεται ἔχεν τι σεμνὸν καὶ θαυμασμῶ ἄξιον. τὼς μὲν γὰρ ἀτέρως τῶν ἀνθρώπων χάριν ἀπαιτεῦντι οἱ εὖ ἔρξαντες, τοῖς δ᾽ εὐμόρφοις τοὐναντίον οἱ εὐεργετήσαντες, ὅτι καὶ ὑπέμειναν εὖ παθεῖν ὑπ᾽ αὐτῶν. Τούτως τέως ὦν εὐδαίμονας οἶδα, ἕως ἔμμεν δοκοῦντι τοῖς τὰν ὥραν αὐτῶν βολλομένοις ὀπωρίξασθαι· ποθ᾽ ὧς ὑπὸ νομοθέτα τοιόςδε ἀπαντάσεῖται λόγος οὐκ ἀσυφάλως μυθεύμενος· Τάδε ἐγὼν, ὦ κράτιστοι ἀνδρῶν, ποτιβλέπων, ἅπαντα τὰ νέα φυλακᾶς τε καὶ ἐπιμελείας δεόμενα, ὥσπερ τὰ ζώφυτα περὶ τὸν πρᾶτον καιρὸν τᾶς αὐξήσεως, τῶ ἀκροσφαλῶς ἔχεν ποτὶ σωτηρίαν, ὑπέλαβον μὴ παρέργως δεῖν αὐτῶν με φυλάσσεν τὰν ἀσθένειαν. Ὑμεῖς δέ γα, οἱ ὀριγνᾶσθε σωματικᾶς ἀδονᾶς, τέλος ποιεύμενοι, καθάπερ κνώδαλα, τὸν κόρον τῶ πλατιασμῶ, οὐχ ὅτι χάριτος καὶ τιμᾶς, ἀλλὰ καὶ μέμψιος ποτὶ κολάσει δικαίως ἐστὲ ἄξιοι τυγχάνεν, διὰ τᾶς αὐτῶν ἀκολασίας ἐμβαλλόμενοι ῥύπον ἐς ζωὰν ἐλευθέρων παίδων.

(Ἐν ταυτῷ.) Ἁ δέ γα εὐμορφία τοῖς ποτοπτίλλουσιν ἀδονὰς παρέχει ποθερπύζοισα καθάπερ ἄγαλμα, ἢ γραφὰ, ἢ ἄτερον χειρόκμητον ἐπίτευγμα. Διὸ κἂν θέλοιμι ἔγωγε ἄτερον ἔχεν, ἢ αὐτὸς ἦμεν εὔμορφος, ὥσπερ καὶ οἶνον πιεῖν ἀδὺν καὶ πολύωρον, ἢ αὐτὸς ἦμεν βουνὸς, καὶ χιλὸν ποτιφέρεσθαι ἀδὺν, καὶ ἀμπέχεσθαι ἀμπεχόναν καλὰν, ἢ ἦμεν αὐτὸς χιλὸς ἢ ἀμπεχόνα. Ἀλλ᾽ ὑποδραμών τις σχεδὸν φάσει· Ἀλλ᾽ ἐγὼ χαίρω ἐπὶ τᾷ ἐμαυτῶ εὐμορφίᾳ, τῷ καὶ ἀτέρως ἀγάλ-

9.

DII PYTHAGOREI

IN LIBRO DE PULCHRITUDINE.

QUAENAM vitae agendae ratio vita dicenda est vere beata? et quinam mortalium beati praedicandi, quam per Jovem ii, qui corporis pulchritudine praediti sunt, naturae dono? Illos enim plurimi ceu deos aut deorum statuas colunt et venerantur, obsequia iis praestantes haud sane laudanda. Et revera mihi videtur pulchritudo nescio quid reverendum et admiratione dignum continere. A ceteris enim hominibus, qui eis benefecerunt, gratiam reposcunt, formosis vero contra ipsi agunt gratias, quod accipere ab eis sustinuerunt. Hos tamdiu beatos scio, quamdiu iis videntur (formosi), qui ipsorum pulchritudine frui cupiunt. Ad quos a summo legislatore, posito arbitro, talis occurret oratio haud sane absurda. „Itaque ego videns, optimi viri, „omnem aetatem pueritiae et adolescentiae custodia et „diligentia indigere, quemadmodum animalium pulli „primo incrementi tempore, eo quod tum maxime pe„riculum de salute sit, existimavi non levem infirmi„tatis ipsorum mihi curam habendam esse. Vos au„tem, qui corpoream voluptatem desideratis, finem bo„norum proponentes, ut belluae, libidinis satietatem, „nedum nulla gratia et honore, sed praeter poenam et„iam vituperio merito digni estis affici, quoniam sor„des liberorum puerorum in vitam introducitis."

(*In eodem libro.*) Pulchritudo quippe voluptatem affert adspicientibus in animum quasi irrepens statuae aut picturae aut alius operis affabre facti adspectus. Quamobrem malim equidem formosum habere, quam ipse talis esse, et vinum suave et vetustum bibere, quam ipse esse vinea, et suavem proferre succum et veste indui pulchra, quam ipse vel succus palmitis vel vestis esse. Sed aliquis forte objiciet: At

λεσθαι. ποθ' ὃν ὑποβλήδαν φατίζω πάλιν· Ἀγάλλευ, μειράκιον, εὐδαίμονα μὲν γὰρ οὐκ ἔχω ὅπως σε φατίζω ναμερτέως μυθεύμενος. [Στοβ. λόγ. ξγ΄. περὶ κάλλους.]

10.

ΒΡΥΣΩΝΟΣ
ἘΝ ΤΩι ὈΙΚΟΝΟΜΙΚΩι.

ὉΥΤΩΣ ἔχει ποτ' ἄλλαλα τἀνθρώπινα πράγματα, καθάπερ καὶ τᾶς ἁλύσιος τοὶ κρίκοι. Τῆνοί τε γὰρ ἐξ ἀλλάλων ἄρτηνται, ἀλλάλοις τ' ἀκολουθέοντι, καὶ ἑνὸς ἐξ αὐτῶν ἑλκυσθέντος, ὁποίου δή ποκα, τό τε ὅλον καὶ τὰ ἐξ ἀρχᾶς ἀκολουθεῖ· καὶ τῶν τῶ βίω δὲ πραγμάτων ὁποῖον ἂν βούλῃ ἑλέσθαι, εὑρήσεις καὶ τὰ λοιπὰ ἐξ ἀνάγκας κατὰ τὸ ἑξῆς ἀλλάλοις ἑπόμενα. Αὐτίκα γὰρ, εἰ κατὰ γεωργίαν τὶς ἐπιτηδεύοι, ἆρ' οὐ πρᾶτον ἧμεν δεῖ τεκτονικὰν, εἰ τεκτονικὰν, δεῖ δὴ χαλκευτικὰν, εἰ χαλκευτικὰν, δεῖ δὴ μεταλλευτικάν. Ἀλλ' ἵνα ἀγραυλεῖν δυνατοὶ ὦντι, δεῖ σκέπαν ἧμεν τὰν περὶ τὸ σῶμα· τοιγαροῦν ὑφαντικᾶς καὶ οἰκοδομικᾶς ἐντὶ χρεία. καὶ τἆλλα μὲν πάντα μαστευόμενος καὶ ἀνερευνῶν οὕτως εὑρήσεις ἔχοντα ποτ' ἄλλαλα.

Οὕτω δὴ πᾶσιν ἡμῖν ἄγρα τριχῶς. Ὁ μὲν γάρ τις δοῦλος κατὰ νόμον γίγνεται· ὁ δὲ κατὰ τὸν τρόπον τᾶς ψυχᾶς, ὁ κρατούμενος ὑπὸ τῶν ἰδίων παθημάτων τᾶς ψυχᾶς. Ὁ δὲ τοιοῦτος οὐχ ἁπλῶς δοῦλος, οὐδ' ὁ τᾷ φύσει δοῦλος, ἀλλὰ τῶν παθῶν δοῦλος, καὶ ἐν καταχρήσει δοῦλος, καὶ μᾶλλον μοχθηρὸς ἄνθρωπος, ἢ δοῦλος κατὰ φύσιν. Κατὰ φύσιν δὲ δοῦλος ὁ δυνάμενος αὐταρκῶς τὰς διὰ τῶ σώματος ὑπηρεσίας παρέχεσθαι τοῖς δεσπόταις, καὶ ἐν τᾷ ὁδοὺς πορευθῆναι, καὶ φορτία βαστάξαι, καὶ κακοπαθείας, καὶ διακονίας ὑπομένεν, μήτε δὲ ἀρετὰν, μήτε κακίαν ἐπιδεχόμενος ψυχικάν. [Στοβ. λόγ. πγ΄. Οἰκονομικός.]

mihi perjucunda est pulchritudo mea, quod alii ea delectantur. Cui equidem responderim: Exulta tu quidem, adolescens: non possum tamen te beatum praedicare, verum si dicendum est. [*Stob. Serm. LXIII. de pulchritudine.*]

10.

BRYSONIS FRAGMENTUM
EX OECONOMICO.

EODEM modo humanae res invicem se habent, quo catenae circuli, qui mutuo complexu haerent, seque invicem sequuntur: quod si unum ex iis, quemcunque tandem, attrahas, tota catena cum suo principio consequetur. Ita etiam quidquid in vitae negotiis tibi sumas, reliqua necessario sequi ordine continuo succedentia deprehendes. Verbi gratia, si quis agriculturae studeat, annon prius oportet haberi artem fabrorum lignariorum, et ante illam aerariorum? quam rursus metalla fodientium ars praecedat necesse est. Item ut, qui fodinis vacant, ruri degere possint, corpore tegantur necesse est, ad quod textores ac domus structores requiruntur. Similiter et alia omnia, si quaeras et scruteris, inter se connecti reperies.

Conditio autem vitae servilis et captivae quodammodo triplex est. Alius enim jussu legis servus fit, alius propter animi sui habitum, qui a proprii animi affectibus vincitur. Neque enim talis servus est simpliciter, neque ille, qui natura est servus, sed affectuum servus et per abusum sermonis servus est, et improbus magis homo, quam servus natura. Est autem natura servus, qui corporis functiones dominis praestare sufficienter potest, itinera conficiendo, onera bajulando, labores ac ministeria tolerando, interim neque virtutem animi neque vitiositatem suscipiens. [*Stob. Serm. LXXXIII. Oeconomicus.*]

11.

ΚΑΛΛΙΚΡΑΤΙΔΟΥ ΛΑΚΩΝΟΣ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ 'ΕΝ ΤΩι ΠΕΡΙ ΤΑΣ ΤΩΝ 'ΟΙΚΗΙΩΝ ΕΥΔΑΙΜΟΝΙΑΣ.

I. Τὸ μὲν ὦν ὅλον ὑπολαπτέον ἦμεν σύσταμα κοινωνίας συγγενικᾶς. σύσταμα δὲ πᾶν ἔκ τινων ἐναντίων καὶ ἀνομοίων σύγκειται, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται. "Ο, τε γὰρ ὀνυμαινόμενος χορὸς σύσταμά τι ἐντὶ κοινωνίας ᾠδικᾶς, καὶ ποτὶ ἕν τι κοινὸν ἐμπαμφέρεται, τὰν συνῳδίαν· ἐν τᾷ ναῒ τὸ σύσταμα τῶ σώματος περὶ τὰν νᾶν ἔκ τινων ἀνομοίων καὶ ἐναντίων συνέστακε, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, τὸν κυβερνάταν, καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται, τὰν εὔπλοιαν. Οὕτω καὶ ὁ οἶκος σύσταμα κοινωνίας συγγενικᾶς ὑπάρχων, ἔκ τινων ἀνομοίων συνέστακε τῶν ἰδίων μερέων, καὶ ποτὶ ἓν τὸ ἄριστον συντέτακται, τὸν οἰκοδεσπόταν, καὶ ποτὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται, τὰν ὁμοφροσύναν. ὡς δ' ἁπλῶς εἰπεῖν, πᾶς ὁ οἶκος καθάπερ ψαλτήριον τριῶν τούτων χρῄζει τυχὲν, ἐξαρτύσιος, συναρμογᾶς, ἀφᾶς τινος καὶ χρήσιος μωσικᾶς. 'Εξάρτυσις μὲν ὦν ἐντι ἁ σύνθεσις τῶν αὐτᾶς μερῶν ἁπάντων, ἐξ ὧν συμπλαροῦται τό, τε ὅλον καὶ τὸ πᾶν σύσταμα τᾶς συγγενικᾶς κοινωνίας. τῶν δὲ μερέων αὐτᾶς δύο πρᾶτα καὶ μέγιστα· ἄνθρωπος καὶ κτᾶσις, τὸ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαρεχέμενον. "Ωσπερ δὲ καὶ ζώω τὰ πρᾶτα μέρεα καὶ μέγιστα ψυχὰ καὶ σῶμα· καὶ ψυχὰ μὲν ἐντι τὸ κυβερνῶν καὶ χρεώμενον, σῶμα δὲ τὸ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον· καὶ ὁ μὲν βίος ὄργανον ἐπίκτατον ζωᾶς τᾶς ἀνθρωπίνας, τὸ δὲ σῶμα ὄργανον σύμφυτον καὶ συγγενὲς τᾶς ψυχᾶς· τῶν δὲ συμπλαρούντων τὸν οἶκον ἀνθρώπων τοὶ μὲν συγγενέες, τοὶ δὲ οἰκῆοι· καὶ συγγενέες μὲν ἀπὸ τοῦ αὐτοῦ αἵματος γενόμενοι, ἢ τὰν αὐτὰν ἀρχὰν ἔχοντες ἐκ τῶν κατασπειράντων πράτων τὸ γένος, οἰκῆοι δὲ ἐπίκτατοι συγγενέες, ἀπὸ τᾶς τῶ γάμω κοινωνίας λαμβάνοντες τὰν καταρχάν. Οὗτοι δὲ τυγχάνοντι ἤτοι πατέρες, ἢ ἀδελφοὶ, ἢ μητροπάτορες, ἢ πατροπάτορες,

11.

CALLICRATIDAE LACONIS PYTHAGOREI
EX LIBRO DE FAMILIARUM FELICITATE.

I. Hoc igitur universum existimandum est constitutionem (*systema*) esse communionis cognatae atque naturalis. Omne autem systema ex dissimilibus quibusdam contrariis conflatur, et ad unum aliquid, quod sit optimum, componitur, et ad communem utilitatem refertur. Qui enim chorus appellatur, constitutio quaedam est musicae communis et ad commune aliquid refertur, nempe concentum. Porro in navi societas hominum circa navem ex quibusdam dissimilibus et contrariis constituitur, et ad unum aliquod, quod sit optimum, composita est, nempe gubernatorem, et ad communem utilitatem refertur, nempe felicem navigationem. Sic etiam familia, cum sit constitutio naturalis communionis, ex quibusdam dissimilibus constituta est, quae sunt propriae ejus partes, et ad unum aliquod optimum composita est, nimirum patremfamilias, ac ad communem utilitatem refertur, nempe concordiam. Et ut paucis dicam, omnis familia, non secus ac psalterium, his tribus indiget, instructione, concinnitate et contrectatione quadam ac usu musico. Instructio igitur est compositio omnium ejus partium, ex quibus completur universa ac tota constitutio naturalis communionis: partium autem illius duae sunt primae et maximae: homo et ipsa possessio, nempe id quod regitur et usum praebet. Ut ipsius animalis primae et maximae partes sunt, anima et corpus: et anima quidem est ea, quae moderatur ac utitur, corpus vero id, quod moderationem et usum sui exhibet et concedit. Et opes quidem ac facultates instrumentum sunt ascititium vitae humanae; corpus vero nativum et cognatum animae instrumentum. Porro hominum familiam constituentium alii quidem sunt cognati, alii affines: et cognati quidem sunt ex eodem sanguine pro-

ἢ ἕν γε τι τούτων ἔχοντες τῶν εἰς τὸν γάμον συνελθόντων. Εἰ δὲ καὶ τὸ τῶν φίλων ἀγαθὸν ἐπὶ τὸν οἶκον ἐπαμφέρεται (μέζων γὰρ οὕτως γίνεται καὶ μεγαλοπρεπέστερος, οὐ μόνον ὠσίᾳ καὶ συγγενείᾳ πολήριθμος γενόμενος, ἀλλὰ καὶ φίλων πολυπλαθίᾳ), φανερὸν ὡς καὶ τοῦτο μέζονα ποιεῖ τὸν οἶκον, τὸ ἑταιρικὸν εἶδος τᾶς φιλίας, συγκαταριθματέον ἐν τᾷ συμπλαρώσει τῶ οἴκω. Τᾶς δὲ κτάσιος ἁ μὲν ἐντι ἀναγκαία, ἁ δὲ ἐλευθέριος· ἀναγκαία μὲν, ἁ ποτταύτας ἐξυπηρετοῦσα τὰς τῶ βίω χρήας, ἐλευθέριος δὲ, ἁ ποτὶ κόσμαν καὶ διαγωγὰν ἄγοισα τὸν ἄνθρωπον, ὥστε μὴ ἑτέρων δέεσθαι· ἁ δ' ὑπερβάλλοισα κόσμον ἐλευθέριον καὶ διαγωγὰν, καταρχὰ ὕβριος καὶ ὀλέθρου ῥιζοῦται τοῖς ἀνθρώποις. Ἀνάγκα γὰρ τὼς πολλὰ ἔχοντας τετυφῶσθαι πρᾶτον, τετυφωμένως δὲ ἀλαζόνας γίνεσθαι, ἀλαζόνας δὲ γενομένως, ὑπερηφάνως ἦμεν, καὶ μήτε ὁμοίως μήτε ἴσως ὑπολαμβάνεν τὼς συγγενέας καὶ ὁμοφύλως καὶ φυλέτας· ὑπερηφάνως δὲ γενομένως, ὑβριστὰς ἦμεν· ὕβριος δὲ πάσης ἔσχατον καὶ πέρας ὄλεθρος. Ὄκα ὦν ἐν οἴκῳ καὶ πόλει περιουσιάζῃ τὰ περισσὰ, τὸν νομοθέταν δεῖ περικόπτειν καὶ περιτάμνειν, ὡς ἀγαθὸν γεωργὸν τὰ φύλλα, μὴ ἀνιέντα τᾶς κτήσιος. Τῶ δὲ συγγενικῶ καὶ οἰκειακῶ μέρεος τῶ ἀνθρώπω τριττὸν εἶδος, τὸ μὲν γάρ ἐντι ἄρχον, τὸ δ' ἀρχόμενον, τὸ δ' ἐπίκουρον τῶ οἴκω καὶ τᾶς συγγενείας· καὶ ἄρχον μὲν ὁ ἀνὴρ, ἀρχόμενον δὲ ἁ γυνὰ, ἐπίκουρον δὲ τὸ γεννατὸν ἐκ τούτων. [Στοβ. λόγ. πγ', Οἰκονομικός.]

II. Ἔχει δὲ τὸ ἴχνος τοῦτο τᾶς διακοσμάσιος πρᾶτον καὶ αὐτὸς ὁ ἄνθρωπος ἐν τᾷ διαιρέσει τᾶς ψυχᾶς ταύτας. Ὁ μέν τι ἐντὶ λογισμὸς, ὁ δὲ θυμὸς, ὁ δὲ ἐπιθυμία. Ὁ μὲν ὦν λογισμὸς οἰκοδεσπότᾳ καὶ ἄρχοντι ποτεμφερής ἐντι,

gnati et ex iisdem, qui primi genus illud disseminarunt, originem ducentes: affines vero cognati ascititii, ex conjugii communione principium ducentes. Hi vero sunt vel patres, vel fratres, vel avi aut materni aut paterni, vel qui saltem aliquid eorum habent, qui nuptiis conjunguntur.. Si vero etiam amicorum bonum ad familiam refertur (hoc enim pacto major fit et magnificentior, non solum substantia et cognatione adaucta, sed etiam amicorum numerosa multitudine) manifestum est ex hoc ipso familiam ampliorem fieri et sociale genus amicitiae ad amplitudinem et perfectionem familiae esse connumerandum. Possessionis vero alia est necessaria, alia liberalis: necessaria quidem, quae vitae necessitatibus subministrat, liberalis vero, quae ornat et oblectat hominem, ita ut aliis non indigeat. Quae autem ornatum liberalem et oblectamentum excedit, contumeliae et exitii radix inter homines pullulat. Necesse est enim eos, qui multa possident, primo inflari, inflatos vero arrogantes fieri, arrogantes factos superbire, et cognatos, gentiles ac contribules suos non amplius sibi similes existimare, superbos denique factos etiam contumeliosos ac protervos fieri. Contumeliae autem ac protervíae omnis extremum est ac finis exitium. Cum ergo in familia aeque ac civitate facultatum superfluitas extiterit, oportet legislatorem superflua resecare et exscindere instar periti agricolae frondes nimium luxuriantes. Cognati vero ac domestici hominum ordinis tres sunt species. Prima enim imperat, altera paret, tertia auxiliaris est familiae et cognationi: et imperat quidem maritus, paret uxor, auxiliatur vero, quod ex utroque progenitum est. [*Stob. Serm. LXXXIII. Oeconomicus.*]

II. Habet enim hoc primum dispositionis vestigium etiam ipse homo in animae suae partibus. Sunt enim animae partes: ratio, animositas et cupiditas. Ratio quidem patrifamilias et principi consimilis est, utpote

πρεσβύτερός τε γάρ ἐντι τᾷ φύσει, καὶ τᾷ γενέσει διανοητικώτατος καὶ διακριτικώτατος· ἁ δ' ἐπιθυμία θῆλυ, καὶ νεαρὸν, καὶ ὑργὸν πάθος ὑπάρχοισα ψυχᾷ, τᾷ γυναικὶ ποτιφερὴς ἐντι· ὁ δὲ θυμὸς ὁρμᾶς καὶ ζέσιος μεστὸς ἐὼν, καὶ συνακούων καὶ συνεπακολουθῶν πολλάκις τῷ λογισμῷ, ἢ τῷ νῷ, καὶ νεανίᾳ ποθωμοίωται. Ἁ μὲν γὰρ μονάς ἐντι, τὸ γεννῶν καὶ ὁρίζον· ἁ δὲ δυὰς, τὸ ὁριστὸν καὶ ὁριζόμενον· καὶ τὸ μὲν περιττὸν ἐκ τᾶς καθ' αὐτὸ φύσιος, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι. διότι τὸ μὲν (ἐκ τᾶς) περαίνει, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι, καὶ τὸ μὲν κατὰ περισσὰς χώρας συντάσσον, ἐξομοιάζει αὐτῷ, τὸ δὲ μόνον, ὥσπερ ὕλα καὶ ὑποκείμενον. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ γραμμᾶν καὶ χωρίων. Τὸ μὲν γὰρ τετράγωνον ὁρίζει καὶ συντάσσει, τὸ δ' ἑτερόμακες ὥσπερ ὕλα ὑποκειμένα ὁρίζεται καὶ συντάσσεται, τετραγωνιζόμενον καὶ ἐξισούμενον. Δεῖ δὲ τὸν μωσικὸν μιμέεσθαι τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθόντα, οὕτω πειρᾶσθαι τὰν μέσαν καθιστάνειν, ὅκως καὶ ἐπὶ τὰ βαρέα καὶ ἐπὶ τὰ ὀξέα διαρκέσαι δύναται, καὶ μήτε ῥήξῃ μήτ' ἀπολλύῃ τὴν τάσιν. Οὕτω δεῖ καὶ γάμον συναρμόζεσθαι κατὰ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅκως μὴ μόνον ἐν εὐτυχίαις συνεκτρέχειν ἀλλάλοις δυνατοὶ ὦντι, ἀλλὰ καὶ ἐν δυστυχίαις. Καὶ γὰρ αὐλὼς ὁ αὐλατὰς ποτὶ τὸν ἴδιον τόνον διαρκέσαι δυναμένως λαμβάνει, καὶ πηδάλια ὁ κυβερνάτας ποτὶ τὸ μέγεθος τᾶς ναός. [Στοβ. λόγ. ξή. περὶ μαντείας ἔτι καὶ περὶ γάμου.]

III. Γαμησόοντα δὲ δεῖ γαμὲν ποτὶ τὰν αὐτῶ τύχαν, ἵνα μήτε ὑπὲρ τὰν δύναμιν, μήτε μήονα τᾶς δυνάμιος τὸν γάμον ἐπάγηται, ἀλλὰ ποτὶ λόγον τᾶς ἰδίας δυνάμιος. Οἱ μὲν γὰρ ὑπὲρ τὰν δύναμιν ἐπάγοντες στασιάζοντι διὰ τὰν ἀγεμονίαν. Ἁ μὲν γὰρ τῷ πλούτῳ καὶ τῷ γένει καθυπερέχοισα τἀνδρὸς ἄρχειν προαιρεῖται, ὁ δὲ ἀνάξιον ἀγεῖται καὶ παρὰ φύσιν συγχωρέν. Οἱ δὲ μήονα τᾶς δυνάμιος, τὸ ἀξίωμα καὶ τὸ μέγεθος τῶ οἴκω συναιροῦντι. Δεῖ δὲ τὸν μωσικὸν μιμεῖσθαι, ὃς τὰν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμα-

natura senior, et generatione sua ad cogitandum dijudicandumque maxime apta. Cupiditas vero cum sit muliebris, tenera ac mollis animi affectus, mulierem repraesentat. Animositas autem, impetu ac fervore plena, et rationi aut menti saepius parens et obsequens, juvenem refert. Altera enim (*illarum animae partium*) unitas (*monas*) est, quae generat et definit, altera vero binarius numerus (*dyas*), quae finitur et terminatur: illa suapte natura impar est, haec vero par et aliunde pendens: propterea illa per se perficitur, ista ab alio. Et illa per locos impares disponens res sibi assimilat, haec enim materiae solum et subjecti rationem implet. Itidem res se habet in lineis et spatiis. Figura quadrata finit et determinat: quae vero in alteram partem longior est, instar materiae subjectae terminatur, conformatur, ad figuram quadratam et aequalitatem redigitur. Oportet autem imitari musicum, qui postquam proprium vocis tonum didicit, tum demum conatur mediam constituere vocem, qualis neque abrumpatur, neque citra relinquatur: eodem modo nuptiae concinnandae sunt juxta proprium animi tenorem, ut non solum in laeta fortuna invicem unanimes degere possint (verum etiam in adversa). Nam et tibicen deligit tibias, quae ad proprium tenorem sufficiant, et nauclerus gubernaculum pro magnitudine navis. [*Stob. Serm. LXVIII. de uxoris petitione, et amplius de nuptiis.*]

III. Qui autem uxorem ducere cupit, ducat eam oportet pro ratione suae sortis: ut neque facultate sua majores neque minores nuptias contrahat, sed juxta facultatis conditionisque suae modum. Qui enim supra suam facultatem nuptias ineunt, illis de principatu dissensio nascitur. Ea siquidem, quae divitiis et genere superat maritum, regere cupit, ille vero indignum censet praeterque naturam, mulieri imperium concedi. At qui facultatibus suis inferiorem ducunt

θῶν, οὕτως πειρᾶται τὰν μέσαν καθιστάμεν, ὅπως καὶ ἐπὶ τὰ ὀξέα καὶ ἐπὶ τὰ βαρέα διαρκέσαι δύναται, καὶ μήτε ῥήξῃ, μήτε ἀπολίπῃ τὴν τάσιν. Οὕτως ὦν δεῖ καὶ τὸν γάμον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅπως μὴ μόνον ἐν εὐτυχίᾳ συνεκτρέχειν ἀλλάλοις δυνατοὶ ὦντι (ἀλλὰ καὶ ἐν δυστυχίᾳ). Ποτὶ λόγον δὲ μαστευόμενον τὸν γάμον δεῖ καὶ ἐπίτροπον καὶ κύριον καὶ ἐπιστάταν τᾶς αὐτῶ γυναικὸς ἦμεν· ἐπίτροπον μὲν τῷ φροντίζειν τῶν ἐκείνας· κύριον δὲ τῷ ἄρχεν καὶ κυριεύεν· διδάσκαλον δὲ τῷ διδάσκειν τὰ δέοντα. Τοῦτο δὲ ἐσεῖται μάλιστα, αἴκα τις ἀγαθῶν προγόνων σκοπιασάμενος παιδίον ἀκμάζουσαν γαμίσκῃ. Καὶ γὰρ εὔπλαστοι καὶ εὐάγωγοι τυγχάνοντι πρωτονύμφευτοι, καὶ ποτὶ τὸ μαθὲν εὐφυῶς ἔχοντι, καὶ ποτὶ τὸ φοβηθῆμεν καὶ ἀγαπάξαι τὸν αὐτῶν ἄνδρα. [Στοβ. λόγ. πγ'. Οἰκονομικός.]

IV. Ἔπειτα τᾶς πρακτικᾶς καὶ κατα λογισμὸν ἀρχᾶς ἃ μὲν ἐντι δεσποτικά, ἃ δὲ ἐπιστατικά, ἃ δὲ πολιτικά. Καὶ δεσποτικὰ μὲν ἐντι ἃ τῶ ἰδίω συμφέροντος ἄρχοισα, ἀλλ' οὐ τῶν ἀρχομένων· ταύταν γὰρ ἄρχει τὰν ἀρχὰν ὁ μὲν δεσπότας τῶν δούλων, ὁ δὲ τύραννος τῶν ὑποτεταγμένων. Ἐπιστατικὰ δ' ἕνεκα τῶν ἀρχομένων, ἀλλ' οὐχ αὐτᾶς. Ταύταν δ' ἄρχοντι τὰν ἀρχὰν τοὶ μὲν ἀλεῖπται τῶν ἀθλητῶν, καὶ τοὶ ἰατροὶ τῶν νοσεόντων, καὶ τοὶ διδάσκοντες τῶν διδασκομένων· οὐ γὰρ αὐτοῖς τὸ συμφέρον, ἀλλὰ τοῖς ἀρχομένοις ποτιποιοῦντι· τοῖς μὲν καμνόντεσιν τοὶ ἰατροί, τοῖς δὲ σωμασκεῦσιν τοὶ ἀλεῖπται, τοῖς δὲ ἀνεπιστάμοσιν τοὶ ἐπιστάμονες. Πολιτικὰ δέ ἐντι ἀρχά, ἅτις τέλος ἔχει τὸ κοινᾶ συμφέρον καὶ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων. Κατὰ γὰρ ταύταν τὰν ἀρχὰν ἐν μὲν τοῖς ἀνθρώποις ὅ, τε οἶκος καὶ ἁ πόλις σύνήρμοσται· ἐν δὲ τοῖς θήοις ὁ κόσμος· μίμαμα δ' οἶκος καὶ πόλις καττὰν ἀναλογίαν τᾶς τῶ κόσμω διοικάσεως. Ἀρχὰ μὲν γὰρ τὸ θῆϊον τᾶς φύσεως, οὔτε τὸ ἐκείνας συμφέρον σκοπεύμενον, οὔτε μὰν τὸ ἴδιον ἀπολελυμένως, ἀλλὰ τὸ κοινᾶ. Καὶ διὰ τοῦτο ποταγορεύεται ὁ κόσμος ἀπὸ τᾶς τῶν πάντων διακοσμάσιος, καθ' ἓν τὸ ἄριστον συντεταγμένος. Τὸ δ' ἓν ἐντιν ἄριστον αὐτός, ὅπερ

uxorem, dignitatem et amplitudinem familiae simul tollunt. Musicum autem imitari oportet, qui cum proprium tonum vocis noscat, ita conatur mediam constituere, quae et acui et gravari possit, cum opus est, et neque rumpatur, nec citra intensionem relinquatur. Pari ratione oportet nuptias contrahere ad proprium tenorem animae, ut conjuges non solum in secunda, sed etiam in adversa fortuna consentiant. Porro in conjugio, ut par est et ratio exigit, contracto maritum uxoris suae tutorem, dominum ac praeceptorem esse convenit; ac tutorem quidem in illius rebus diligenter curandis, dominum vero in regendo ac dominando, praeceptorem denique docendo, quae ejus sunt officii. Hoc autem maxime continget, si quis, probitate parentum explorata, puellam florentem annis duxerit. Quae enim in flore aetatis nubunt, facilius informari ac inflecti possunt, et ad discendum promptae sunt, et ad timendos amandosque maritos suos. [*Stob. Serm. LXXXIII. Oeconomicus.*]

IV. Ad haec activi et rationalis imperii aliud est herile, aliud praefectorium, aliud civile. Ac herile quidem est, quod ad suum, non ad subditorum commodum imperat: ista enim ratione dominus quidem servis, tyrannus vero subditis imperat. Praefectorium vero subditorum, non vero propriam utilitatem spectat. Et eo genere imperii imperant aliptae athletis, medici aegrotis, praeceptores discipulis. Neque enim sibi, sed subditis utilitatem quaerunt, aegrotis quidem medici, athletis autem aliptae, indoctis denique docti. Civile autem imperium est, cui finis est praepositus communis utilitas, tam eorum qui imperant, quam qui subditi sunt imperio. Quippe juxta hoc genus imperii in rebus humanis tum familia, tum civitas concinnatur: in divinis autem mundus. Imitatur autem familia et civitas analogia quadam totius mundi dispensationem. In mundo enim Numen naturae imperat, ne-

ἀντὶ καττὰν ἔννοιαν ζῶον οὐράνιον, ἄφθαρτον, ἀρχά τε καὶ αἰτία τᾶς τῶν ὅλων διακοσμάσιος. Ἐπεὶ ὦν καὶ ὁ ἀνὴρ ἄρχει τᾶς γυναικὸς, ἤτοι τὰν δεσποτικὰν ἄρχῃ ἀρχὰν, ἢ τὰν ἐπιστατικὰν, ἢ, τό γε ἔσχατον, τὰν πολιτικὰν ἄρχῃ· οὔτε δὲ τὰν δεσποτικὰν ἀρχὰν, κάδεται γὰρ καὶ ἐπιμέλεται τᾶς αὐτῶ γυναικός· οὔτε τὰν ἐπιστατικὰν καθάπαξ· καὶ αὐτὸς γὰρ μέρος ἀντὶ τᾶς κοινωνίας. Ἀπολείπεται ὦν, τὰν πολιτικὰν, καθ' ἂν τίθεται δὲ ὁ ἄρχων καὶ ὁ ἀρχόμενος τὸ κοινᾶ συμφέρον, διόπερ καὶ ὁ γάμος ἐπὶ βίου κοινωνίᾳ συνίσταται. Οἱ μὲν ὦν τὰν δεσποτικὰν ἄρχοντες ἀρχὰν τῶν ἀνδρῶν μισεῦνται ὑπὸ τῶν γυναικῶν, οἱ δὲ τὰν ἐπιστατικὰν καταφρονέονται· προσθῆκαι γὰρ ἂν φαίνοιντο τῶν γυναικῶν καὶ κόλακες· οἱ δὲ τὰν πολιτικὰν καὶ θαυμαίνονται καὶ φιλέονται. Ἀμφότερα δὲ ταῦτα ἐσεῖται, αἴκα ἀδονᾷ καὶ σεμνότατι κεκραμέναν ποτιφέρηταί τις τὰν ἀρχὰν, τὰν μὲν ἀδονὰν ἐν τῷ ἀγαπῆν ποτιφερόμενος, τὰν δὲ σεμνότατα ἐν τῷ μηδὲν εὐτελὲς μηδὲ ταπεινὸν πράττειν. [Στοβ. ἐν τῷ αὐτῷ.]

12.

ΠΕΜΠΕΛΟΥ

ἘΚ ΤΟΥ ΠΕΡΙ ΓΟΝΕΩΝ.

ΓΟΝΕΩΝ ἀμελὲν οὔτε δαίμων, οὔτε ἄνθρωπος σύμβουλος ἄμποκα γένοιτό τινι, σύμμετρον ψυχᾶς κεκτημένος ἐπιστάμαν. Διόπερ οὐθὲν ἂν θεῶ ξόανον ἢ ἱερὸν ἔχοιμεν ἐν χρημάτων κτήσει πατέρος ἢ καὶ προπάτορος γήρᾳ παρειμένων, ἢ καὶ ματέρων τὴν ἰδίαν δύναμιν ἐχουσῶν. Ὁκόταν γὰρ ἀγάλλῃ τις γέρασι καὶ τιμαῖς τὼς γενέτορας, ἀγαθὰ τίθητι θεός. Καὶ γὰρ οὐδ' ἂν ἐπάκοος ἔπελεν αὐτῶν. Σεμνὸν γάρ τι καὶ θείας φύσιος πεπαμένον ἁμῖν τὸ τῶν

que naturalium rerum utilitatem, neque suam absolute spectans, verum communem utriusque. Et idcirco appellatur κόσμος (i. e. *mundus*) a concinna omnium rerum dispositione ad unum aliquod bonum conformatus. Illud autem ipsum bonum est ipse deus, qui secundum cogitationem nostram est animal coeleste, corruptionis expers, principium et causa concinnae omnium rerum dispositionis. Cum igitur vir regat mulierem, nimirum aut herili regit imperio, aut praefectorio, aut denique civili. Atqui herili imperio non imperat, curam enim eamque sedulam suae uxoris gerit: neque omnino praefectorio, nam et ipse pars est communionis. Reliquum est ergo, ut civili utatur imperio, in quo imperio communis regenti obedientique utilitas requiritur. Itaque et nuptiae ad vitae communionem ineundam contrahuntur. Qui ergo ex viris herili utuntur imperio, odium uxorum sibi conciliant; qui praefectorio, contemnuntur, videntur enim quasi uxorum appendices vel asseclae et adulatores. Qui vero civili, et admirationi sunt et diliguntur. Horum autem utrumque continget, si quis imperium gerat voluptate simul gravitateque temperatum, voluptatem quidem amando, gravitatem vero nihil vile aut humile faciendo repraesentans. [*Stob. ibid.*]

12.

PEMPELI

EX LIBRO DE PARENTIBUS.

PARENTES negligere neque daemon, neque hominum quispiam, qui vel mediocriter sapiat, unquam cuiquam consuluerit. Quapropter existimandum est, nullum nec simulacrum nec delubrum aut sacellum in nostris possessionibus habere nos posse sanctius et pretiosius, quam patres aut avos senio confectos matresque et ipsas suo honore ac veneratione dignas. Cum enim quispiam muneribus et honoribus parentes exornaverit,

φυτησάντων ἵδρυμά ἐντι, καὶ ζωόντων πολὺ μαλλότερον ἢ τῶν ἀνεμψύχων ἱδρυμάτων. τὰ μὲν γὰρ καλλυνόμενα καὶ λαμπυριζόμενα ὑφ᾽ ἁμέων ἑκάστοτε συνεύχεται ἡμῖν δωτίνας ἀγαθάς· σκυβαλιζόμενα δὲ τοὐναντίον· τὰ δὲ οὐδ᾽ ὁκότερα τῶνδε ἔρδει. Ὥστε, αἴκα δεόντως τις χρῆται πατέρι καὶ ματέρι καὶ προπάτορσι καὶ ὅλως τοῖς ὁμοιορύσμοις, πάντων ποτὶ θεοφιλῆ μοῖραν πεπάσεται ἀγαλμάτων κυριώτατα. Πᾶς δὴ νόον ἔχων τιμήτω καὶ σεβέτω καὶ δεδιέτω γονέων εὐχὰς ἢ κατάρας, εἰδὼς πλεύνεσι πλεονάκις ἐπιτελέας συμβεβηκυίας. Τούτων ὦν οὕτως φύσει διεκοσμαμένων, τοῖς μὲν ἔμφροσι καὶ κοσμίοις τῶν βροτῶν ἕρμαιον προγενέτορες γηραλέοι ζῶντες μέχρι τᾶς ἐσχάτας βιοτᾶς, καὶ ἀφέρποντες αἴζηιοῖς συνετοῖς ποθεινοί, ῥωμαλέοι ψυχᾷ (σφόδρα ποθεινοί) ἐόντες διὰ τὸ πολλὰ εἰδέμεν. Τοῖς δὲ φλαύροις καὶ ἀσυνέτοις εὖ μάλα καὶ ζοφοειδέες, φοβεροί. Εἰ δέ τινα φάμα ἀμύητον ὤτων ποτὶ κώφωσιν κατίσχει τοιῶνδε λόγων, εἰδύλλεται, ὡς καὶ δαίμοσιν ἐχθρὸς πέλει καὶ ἀνδράσιν τοῖς ποτὶ συνέσιος ἑρπύξασιν ἀτραπόν. [Στοβ. λόγ. οζ΄. ὅτι χρὴ τοὺς γονεῖς τῆς καθηκούσης τιμῆς καταξιοῦσθαι παρὰ τῶν τέκνων.]

15.

ΠΕΡΙΚΤΙΟΝΗΣ ΤΗΣ ΠΥΘΑΓΟΡΕΙΑΣ ΤΑ ΛΕΙΨΑΝΑ.

ἘΚ ΤΟΥ ΠΕΡΙ ΣΟΦΙΑΣ.

I. ΓΕΓΟΝΕ καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆσαι τὸν λόγον τᾶς τῶν ὅλων φύσιος καὶ τᾶς σοφίας· ἔργον ἐντὶν αὐτῷ τούτῳ κτήσασθαι καὶ θεωρῆσαι τὰν τῶν ἐόντων φρόνασιν.

Γαμετρία μὲν ὦν καὶ ἀριθμητικὰ καὶ τἆλλα τὰ θεωρητικὰ καὶ ἐπισταμονικὰ περί τινα τῶν ἐόντων κατασχολέοντι·

vicissim deus bona rependit: alioqui eos non exaudiret. Venerandum enim et divinae naturae particeps nobis est considerandum parentum simulacrum, et viventium quidem magis quam vita carentium. Illa enim si ornentur a nobis et colantur assidue, optima dona nobis comprecantur; si vero contemnantur, contra: haec autem neutrum horum faciunt. Itaque si quis decenter se in parentes et avos ceterosque ejusdem generis gesserit, is ad deos sibi conciliandos simulacrorum omnium pretiosissima possidet. Quisquis igitur sana mente est praeditus, colat et revereatur ac reformidet parentum preces vel execrationes, sciens multas illarum saepe eventu comprobatas. Cum haec igitur ita sint a natura disposita, prudentibus et modestis mortalium seniores parentes et avi pro magno quaestu habentur, et cum vel ad extremum vitae finem pervenerint vel etiam e vita decesserint, liberis, qui sapiunt, sunt acceptissimi, multo autem acceptiores, quamdiu vegeto sunt animo, quod multa sint praediti scientia: improbis vero et insipientibus etiam mortui valde terribiles. Ceterum si quis mente profana ad hos sermones obsurduerit, constat, illum et diis et hominibus esse odiosum apud omnes prudentiae ac virtutis semitam ingressos. [*Stob. Serm. LXXVII. quod liberos honorem debitum praestare parentibus oporteat.*]

13.

PERICTIONES PYTHAGOREAE QUAE SUPERSUNT.

EX LIBRO DE SAPIENTIA.

I. CONDITUS et compositus est homo in hoc, ut contempletur naturae rerum ipsiusque sapientiae rationem: eidemque labor est injunctus comparandi contemplandique rerum, quae exstant, sapientiam.

Geometria quidem et arithmetica reliquaque in speculatione sita et scientia circa nonnulla rerum exi-

α δὲ σοφία περὶ πάντα τὰ γένη τῶν ἐόντων. Οὐ γὰρ ἔχει σοφία περὶ πάντα τὰ ἐόντα, ὡς ὄψις περὶ πάντα τὰ ὁρατὰ, καὶ ἀκοὰ περὶ πάντα τὰ ἀκουστά; τὰ δὲ συμβεβακότα τοῖς ἐοῖσιν ἃ μὲν καθόλω πᾶσι συμβέβακεν, ἃ δὲ πλείστοις αὐτῶν, ἃ δὲ παρ' ἑνὶ ἑκάστῳ. Τὰ μὲν ὦν καθόλω πᾶσι συμβεβακότα συνιδὲν καὶ θεωρῆσαι τᾶς σοφίας οἰκῆον, τὰ δὲ τοῖς πλείστοις τᾶς περὶ φύσιν ἐπιστάμας, τὰ δ' ἴδια καθέκαστον τᾶς περί τι ἀφωρισμένον ἐπιστάμας· καὶ διὰ τοῦτο σοφία μὲν τὰς τῶν ἐόντων ἀρχὰς ἀνευρίσκει, φυσικὰ δὲ τὰς τῶν φύσει γιγνομένων, γαμετρία δὲ καὶ ἀριθμητικὰ καὶ μωσικὰ τὰς περὶ τὸ πόσον καὶ τὸ ἐμμελές. Ὅστις ὦν ἀναλῦσαι οἷός ἐντι πάντα γένη ὑπὸ μίαν καὶ τὰν αὐτὰν ἀρχὰν, καὶ πάλιν ἐκ ταύτας συνθεῖναι καὶ εὖ ῥυθμίσασθαι, οὗτος δοκεῖ καὶ σοφώτατος εἶναι καὶ ἀλαθέστατος, ἔτι δὲ καὶ καλὰν σκοπιὰν ἀνευρηκέναι, ἐφ' ἃς δυνατὸς ἐσεῖται τόν τε θεὸν κατόψεσθαι καὶ πάντα τὰ ἐν συστοιχίᾳ τε καὶ τάξει τὰ ἐκείνου κατακεχωρισμένα. [Στοβ. λόγ. ά. περὶ ἀρετῆς.]

ΤΗΣ ΑΥΤΗΣ

ἘΚ ΤΟΥ ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ῾ΑΡΜΟΝΙΗΣ.

II. ὌΥΤΕ λέξαι δεῖ κακὸν γονέας οὔτε ἔρξαι, πείθεσθαι δὲ ἐν μικροῖσί τε καὶ μεγάλοισι τοῖσι γονεῦσιν, ἐν πάσῃ δὲ ψυχῆς τε καὶ σώματος τύχῃ καὶ τῶν ἔξωθεν καὶ ἔν τε εἰρήνῃ, ἢ πολέμῳ, καὶ ὑγιείῃ, καὶ πλούτῳ, καὶ ἀπορίῃ, καὶ δόξῃ, καὶ ἀδοξίῃ, καὶ ἰδιώτῃσι καὶ ἄρχουσιν ὁμουρέειν δεῖ, καὶ φεύγειν μηδέποτε, πείθεσθαι δὲ μονονουχὶ καὶ μανίῃ· πεπνυμένα γὰρ ταῦτα καὶ κρήγυα τοῖσιν εὐσεβέεσιν. Εἰ δέ τις γονέας ὑπερφρονέοι, ἢ λέγοι κακῶς, ταύτῃ καὶ ζώσῃ καὶ θανούσῃ ἁμαρτία παρὰ θεοῖσι γράφεται, ὑπό τε ἀνθρώπων μισέεται, καὶ ὑπὸ γῆν μετὰ τῶν ἀσεβῶν ἐν τουτέῳ τῷ χώρῳ δι' αἰῶνος (διάξει) κακοῖσιν ἁπτομένη ὑπὸ Δίκης καὶ τῶν ἔνερθεν θεῶν, οἳ τούτων ἐπίσκοποι ἐτάγησαν τῶν πρηγμάτων. Θείη γὰρ καὶ καλὴ

stentium versantur: at sapientia circa omnia illarum genera. Nonne enim sapientia occupata est circa omnia quae sunt, ceu visus circa omnia visibilia et auditus circa omnia audibilia? Eorum vero, quae rebus existentibus accidunt, alia quidem in universum omnibus accidunt, alia vero earum pluribus, alia vero singulis. Ea itaque, quae in universum omnibus accidunt, cognovisse et perspexisse sapientiae munus est, ea vero, quae pluribus, physicae est scientiae. Propria vero cuique rei accidentia nosse est circa quid separatum scientiae. Ideoque sapientia omnium, quae sunt, principia indagat; physica vero eorum, quae natura produxit; geometria vero et arithmetica et musica quantitatis et consonantiae. Quisquis igitur resolvere potis est omnia genera ad unum idemque principium, iterumque ex eo componere et apte conjungere, hic et sapientissimus et verissimus esse videtur, quin et pulchram speculam invenisse, in qua poterit et deum contemplari, omniaque, quae in eadem serie sunt et ordine, ab ipso sejuncta. [*Stob. Serm. I. de virtute.*]

EIUSDEM
EX LIBRO DE MULIERIS CONCINNITATE.

II. MALI quidquam parentibus nec dicto neque facto exhibere oportet, sed obedire illis in maximis rebus minimisque, item in quacunque corporis, animi rerumque externarum fortuna, in pace, bello, sanitate, morbo, divitiis, paupertate, gloria, infamia, sive privatis, sive in magistratu constitutis parentibus adesse ipsis oportet, nec unquam deserere eos, obediendumque tantum non etiam insanis. Haec enim sapienter et recte fieri a piis hominibus existimantur. Quae vero mulier parentes contemserit, sive male dixerit illis, ei et vivae et defunctae peccati (hujus gravissimi) poena ab immortalibus diis irrogabitur: ab hominibus scil., dum vivit, odio habetur, et sub terra in loco impiorum cum

ὄψις γονέων· καὶ ἡ τουτέων ἄψις καὶ θεραπείη, ὁκόση οὐδὲ ἡλίου, οὐδὲ πάντων ἄστρων, τὰ οὐρανὸς ἐναψάμενος ἀμφιχορεύει, καὶ εἴ τι ἄλλο δοκέει τις χρῆμα μεῖζον εἶναι καὶ θειώτερον τῶν ἐόντων. Δοκέω δὲ μὴ θεοὺς φρονέειν, ὁκότε τοῦτο ὁρέωσι γιγνόμενον. Καὶ ζῶντας οὖν καὶ ἀποιχομένους σέβειν χρὴ, καὶ μηδέποτε ἀντιλεσχαίνειν· ἀλλ' ἢν καὶ ἀγνοῶσι νόσῳ ἢ ἀπάτῃ, παρηγορεῖν καὶ διδάσκειν· ἐχθρεύειν δὲ μηδαμῇ. Μεῖζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων οὐκ ἂν γένοιτο, ἢ εἰς πατέρας ἀσεβεῖν. [Στοβ. λόγ. οζ'. ὅτι χρὴ τοὺς γονέας τῆς καθηκούσης τιμῆς καταξιοῦσθαι etc.]

III. Τὴν ἁρμονίην γυναῖκα νώσασθαι δεῖ φρονήσιός τε καὶ σωφροσύνης πλείην· κάρτα γὰρ ψυχὴν πεπνῦσθαι δεῖ εἰς ἀρετὴν, ὡς ἔσται καὶ δικαίη καὶ ἀνδρήη, καὶ φρονέουσα, καὶ αὐταρκήῃ καλλυνομένη, καὶ κενὴν δόξαν μισέουσα. Ἐκ τούτων γὰρ ἔργματα καλὰ γίνεται γυναικὶ εἴς αὐτήν τε καὶ ἄνδρα καὶ τέκνα, καὶ οἶκον, πολλάκις δὲ καὶ πόλιας, εἴγε πόλιας ἢ ἔθνεα ἡ τοίη γε κρατύνοι, ὡς ἐπὶ βασιλήης ὁρέομεν. Κρατέουσα οὖν ἐπιθυμίης καὶ θυμοῦ, θείη καὶ ἁρμονίη γίγνεται· ὥστε οὐδὲ ἔρωτες αὐτὴν ἄνομοι διώξουσιν, ἀλλ' ἐς ἄνδρα τε καὶ τέκεα καὶ τὸν οἶκον ξύμπαντα φιλίην ἕξει. Ὁκόσαι γὰρ ἐράστριαι τελέθουσιν ἀλλοτρίων λεχέων, αὗται δὲ πολέμιαι γίγνονται πάντων τῶν ἐν τῇ οἰκίῃ ἐλευθέρων τε καὶ οἰκετέων, καὶ συντίθεται δόλους ἀνδρὶ, καὶ ψεύδεα κατὰ πάντων μυθίζεται πρὸς τοῦτον, ἵνα μούνη δοκέῃ διαφέρειν εὐνοίῃ καὶ τῆς οἰκίης κρατῇ ἀργίην φιλέουσα· ἐκ τούτων γὰρ φθορὴ γίνεται συμπάντων, ὁκόσα αὐτῇ τε καὶ τῷ ἀνδρὶ ξυνά ἐστι. Καὶ ταῦτα μὲν ἄχρι τῶνδε λελέχθω. Σκῆνος δὲ ἄγειν χρὴ πρὸς μέτρα φύσιος, τροφῆς τε πέρι καὶ ἱματίων, καὶ λουτρῶν, καὶ ἀλείψιων,

reliquis improbis perpetuis furiis vexatur a Nemesi diisque infernalibus, qui ad has actiones inspiciendas sunt constituti. Honestissima enim est, imo divina parentum facies et eorum contrectatio et observantia tanta, quanta neque solis neque omnium astrorum fulgentium, quae coelum aptum illis in choreae modum circumvolvit, et si qua alia existentium rerum major et divinior esse videtur: neque deos ipsos hoc pietatis spectaculum contemnere arbitror. Quamobrem et vivos et mortuos colere par est, nec unquam eis contradicere: verum si quid ignorent morbi aut animi deceptionis vitio, consolari atque docere oportet, odisse nequaquam. Majus enim inter homines peccatum admitti nequit, quam erga parentes impietas. [*Stob. Serm. LXXVII. quod liberos honorem debitum praestare parentibus oporteat.*]

III. Harmoniam nosse oportet mulierem prudentia et modestia plenam. Omnino enim opus est, ut ingenium ejus ad virtutem sapiat: quocirca erit et justa, et fortis, et prudens, et frugalitate decorata, et gloriae inanis inimica. Ex his enim actiones honestae oriuntur uxori, tum erga se ipsam, tum erga maritum, liberos et familiam; quid quod haud raro erga civitates, siquidem civitates vel gentes talis regat, ut in imperio regio videmus. Si ergo cupiditatem et iracundiam vicerit, divina etiam fiet illa harmonia. Itaque neque amores illegitimi ipsam sollicitabunt, sed marito, proli totique familiae amica erit. Nam quae lectos alienos amant, ipsae omnes, qui in familia sunt, tum liberos tum servos odio prosequuntur: hujusmodi mulier dolos marito struit et ei mendacia adversus omnes confingit, ut sola videatur illi maxime benevola esse et familiam regat, quamvis ipsa sit otii amans. Ex his autem vitiis exitium rebus omnibus nascitur, quas ipsa et maritus communes habent. Sed de his hactenus. Ceterum corpus ad naturae modulum instituendum est circa vi-

καὶ τριχῶν θέσεως, καὶ τῶν ὁκόσα ἐς κόσμον ἐστὶ χρυσοῦ καὶ λίθων· ὁκόσαι γὰρ πολυτελέα πάντα ἐσθίουσι καὶ πίνουσι καὶ ἀμπέχονται καὶ φορέουσι γυναῖκες, ἐς ἁμαρτίην ἕτοιμαι κακίης συμπάσης, ἔς τε λέχεα καὶ ἐς τὰ ἄλλα ἀδικοπρηγέες. Λιμὸν ὦν καὶ δίψαν ἐξακέσασθαι δεῖ μοῦνον, κῆν ᾖ ἐκ τῶν εὐτελέων, καὶ ῥῖγος, κῆν ᾖ νάκος, κῆν σισύρη. Βρωτῆρας δὲ εἶναι τῶν τηλόθεν, ἢ τῶν πολλοῦ πωλεομένων, ἢ τῶν ἐνδόξων, κακίη οὐχὶ μικρὰ πέφαται, ἢ ἠμφιάσθαι εἵματα εἰκότα λίην καὶ ποικίλα ἀπὸ θαλασσίης βάψιος τοῦ κόχλου, ἢ ἄλλης χρόης πολυτελέος, μωρίη πολλή. Σκῆνος γὰρ ἐθέλει μηδὲ ῥιγέειν, μηδὲ γυμνὸν εἶναι χάριν εὐπρεπείης, ἄλλου δὲ οὐδενὸς χρήζει· δόξα δὲ ἀνθρώπων μετὰ ἀμαθίας ἐς τὰ κενεά τε καὶ περισσὰ ἵεται. Ὥστ' οὔτε χρυσὸν ἀμφιθήσεται, ἢ λίθον Ἰνδικὸν, ἢ χώρης ἐόντα ἄλλης· οὐδὲ πλέξεται πολυτεχνίῃσι τρίχας, οὐδὲ ἀλείψεται Ἀραβίης ὀδμῆς ἐμπνέοντα, οὐδὲ χρίσεται πρόσωπον λευκαίνουσα ἢ ἐρυθραίνουσα τοῦτο, ἢ μελαίνουσα ὀφρύας τε καὶ ὀφθαλμοὺς, καὶ τὴν πολιὴν τρίχα βαφαῖσι τεχνωμένη, οὐδὲ λούσεται θαμινά· ἡ γὰρ ταῦτα ζητέουσα θηρητῆρα ζητέει ἀκρασίης γυναικήης. Κάλλος γὰρ τὸ ἐκ φρονήσιος, οὐχὶ δὲ τὸ ἐκ τούτων ἀνδάνει ταῖς γιγνομένῃσιν εὖ. Ἀναγκαῖα δὲ μὴ ἡγείσθω εὐγενίην καὶ πλοῦτον, καὶ μεγάλης πόλιος πάντως μετέχειν, καὶ δόξαν, καὶ φιλίην ἐνδόξων καὶ βασιληΐων ἀνδρῶν. Ἢν μὲν γὰρ ἔῃ, οὐ λυπέει· ἢν δὲ μὴ ἔῃ, ἐπιζητέειν οὐ ποιέει. Τούτων γὰρ δίχα φρονίμη γυνὴ ζῆν οὐ κωλύεται· κῆν μὴ ἔῃ δὲ ταῦτα, ἅπερ λελάχαται, τὰ μεγάλα καὶ θαυμαζόμενα, μήποτε διζέσθω ψυχή· ἀλλὰ καὶ ἀπ' αὐτῶν βαδιζέτω· βλάπτει γὰρ μᾶλλον ἐς ἀτυχίην ἕλκοντα, ἢ ὠφελέει· τούτοις γὰρ ἐπιβουλίη καὶ φθόνος καὶ βασκανίη παραμένουσι, ὥστε ἐν ἀταραξίῃ οὐκ ἂν γένοιτο ἡ τοιήδε. Θεοὺς δὲ σέβειν δεῖ ἐς εὐελπιστίην εὐδαιμονίης, νόμοισί τε καὶ θεσμοῖσι πειθομέ-

ctum, vestes, balnea, unctiones, capillorum dispositionem et omnia, quae ornatus gratia ex auro gemmisque comparantur. Quotquot enim mulieres sumptuosa omnia edunt, bibunt, induunt ac gestant, ad omnis nequitiae crimen proclives, et circa matrimonium et alia injustae sunt. Quare famem sitimque solam amoliri oportet utcunque vilibus subsidiis, item frigus sat fuerit diphthera vel penula arcere. At opsoniis procul accersitis, pretiosis aut delicatis vesci, non exiguum esse vitium videtur, item vestibus indui admodum splendidis, et ostri marini cruore aut alio pretioso colore tinctis, insignis est stultitia. Corpus enim vult frigus propellere et tegi decoris causa, caeterum nulla alia re indiget. At hominum opinio imperitiae conjuncta ad inania et supervacua fertur. Itaque uxor non se ornabit auro, non Indica aut quavis peregrina gemma; neque vario artificio crines innectet, nec ungetur Arabicum odorem spirantibus unguentis, nec faciem cerussa aut fuco illinet, nec supercilia e[illegible]ulos colore nigro pinget, neque canos alio colore in[illegible]que non frequenter balneis utetur. Quae e[illegible]rit, spectatorem muliebris suae inconti[illegible] Nam pulchritudo, quam prudentia pa[illegible] ext[illegible]s accersita ornamentis, mulieribus hon[illegible]t. Non debet autem necessaria putare [illegible]vitias, in ampla civitate nasci, gloria[illegible] ac regiorum virorum amicitiam. Haec [illegible]unt, non sunt molesta, si absunt, sui n[illegible] mo[illegible]siderium. Quippe prudens mulier sine [illegible] vivere non impeditur. Quare si absint [illegible] admiranda, quae sorte obtingunt, ha[illegible]mo appetenda fuerint, sed absque iis p[illegible] obsunt enim magis quam prosunt ad ca[illegible]ahentia: nam sibi comites habent insidias, [illegible]em, invidiam: quamobrem mulier eis fruens tra[illegible]uilla degere vix poterit. Caeterum oportet, ut colat deos bona feli-

νην πατρίοισι. Μετὰ δὲ τούτους μυθέομαι τοὺς θεοὺς, γονέας τιμῆν καὶ σέβειν· οὗτοι γὰρ ἶσα θεοῖσι πάντα τελέουσι καὶ πρήσσουσι τοῖς ἐγγόνοισι. Πρὸς δὲ τὸν ἄνδρα τὸν ἑαυτῆς ζώειν ὧδε δεῖ νομίμως καὶ κρηγύως μηδὲν ἐννενοημένην ἰδίῃ, ἀλλ' εὐνὴν τηρεῦσαν καὶ φυλάττουσαν· ἐν τούτῳ γάρ ἐστι τὰ ξύμπαντα. Φέρειν δὲ χρὴ τῶ ἀνδρὸς πάντα, κἢν ἀτυχῇ, κἢν ἁμάρτῃ κατ' ἄγνοιαν, ἢ μέθην, ἢ ἄλλῃσι γυναιξὶ συγγίνηται. Ἀνδράσι μὲν γὰρ ἐπιχωρέεται ἁμαρτίη αὕτη· γυναιξὶ δὲ οὐκέτι, τιμωρίη δ' ἐφέστηκεν. Νώσασθαι οὖν τὸν νόμον δεῖ, καὶ μὴ ζηλοτυπέειν, φέρειν δὲ καὶ ὀργὴν, καὶ φειδωλίην, καὶ μεμψιμοιρίην, καὶ ζηλοτυπίην, καὶ κατηγορίην, καὶ ἤν τι ἄλλο ἔχῃ ἐκ φύσιος, καὶ τοῦτο ὀήσεται, πάντα, ὅκως φίλον ἐστὶν αὐτέῳ, σωφρονέουσα. Γυνὴ γὰρ ἀνδρὶ φίλη οὖσα καὶ τἀνδρὸς πρήσσουσα κρηγύως, ἁρμονίη ὑπάρχει, καὶ οἶκον τὸν ξύμπαντα φιλέει, καὶ τοὺς θύρηθεν εὐνόους τῇ οἰκίῃ ποιέει. Ἐπὴν δὲ μὴ φιλέῃ οὔτε οἶκον οὔτε παῖδας τοὺς ἑωυτῆς, οὐδὲ θεράποντας, οὔτε οὐσίην ἡντιναοῦν ἐθέλει σώαν ἐσιδέειν, φθορὴν δὲ πᾶσαν ἀγέεται, καὶ εὔχεται εἶναι ὡς πολεμίη ἐοῦσα, καὶ τὸν ἄνδρα εὔχεται τεθνάναι ὡς ἐχθρὸν, ὅπως ἄλλοισιν ὁμουρέῃ, καὶ ὁκόσοι ἁνδάνουσι τουτέῳ, ἐχθαίρει. Ὁρῆν δὲ αὐτὴν ὧδε δοκέω, εἰ πλείως τελέθει φρονήσιός τε καὶ σωφροσύνης· οὐ γὰρ μοῦνον ἐθελήσει τὸν ἄνδρα, ἀλλὰ καὶ παῖδας, καὶ συγγενέας, καὶ δούλους, καὶ τὴν οἰκίην ξύμπασαν. [σώαν]· ἐν ᾗ καὶ κτήματα καὶ φίλοι, πολιῆταί τε καὶ ξένοι εἰσί· καὶ ἀπεριεργίῃ τὸ σκῆνος διάξει τουτέων, λεσχαίνουσά τε καὶ ἀκούουσα καλὰ, καὶ ἀκολουθέουσά τε αὐτέῳ, καθ' ὁμοδοξίην τῆς ξυνῆς βιοτῆς, καὶ οἷς ἐκεῖνος ἀξιοῖ συγγενέσι τε καὶ φίλοισι ξυνομαρτέουσα, καὶ ταὐτὰ ἡγεομένη γλυκέα τε καὶ πικρὰ τἀνδρὶ, ἢν μὴ ἀναρμόνιος εἰς τὸ πᾶν ἔῃ. [Στοβ. λόγ. πγ΄. Οἰκονομικός.]

citatis spe freta, utque legibus ac ritibus patriae obtemperet. Proximo a diis loco honorandi colendique parentes sunt, illi quippe diis per omnia similes sunt, et similia liberis suis exhibent. Porro erga maritum suum ita eam vivere oportet legitime ac sincere, ut nihil reputet proprium, sed lectum conjugalem servet atque custodiat. In hoc enim sunt sita omnia. Omnia autem, quae marito contingunt, ferre patienter oportet, sive infeliciter rem gerat, sive delinquat imprudenter, aut per morbum, aut per ebrietatem, aut cum aliis mulieribus rem habuerit. Viris enim hoc delictum indulgetur, mulieribus vero minime, sed poena eis est imposita. Nosse itaque legem oportet et zelotypiam omnem exuere. Ferenda insuper in marito iracundia, parcitas, quaerimonia, zelotypia, insimulatio, et si quid aliud vitium naturae insitum habet: illi se mulier accommodet, per omnia juxta desiderium ejus se attemperans. Uxor enim, quae viro cara est, ejusque res recte administrat, harmoniam constituit, et totam familiam amat, et externorum quoque ei benevolentiam conciliat. Quod si vero neque domum, neque liberos suos, neque famulos amaverit, neque ullius rem prosperam videre cupit, sed omne perditionis genus adducit atque imprecatur, utpote inimica, et mariti mortem exoptat, tanquam hostis, ut scil. aliorum fruatur commercio, et quaecunque illi accepta sunt, odio habet. At bonam et harmonicam esse judico, quae prudentiae modestiaeque plena sit. Talis non solum marito erit benevola, verum etiam liberis, cognatis, famulis, totique domui, in qua possessiones, amici, cives hospitesque sunt, et eorum corpora sine luxu ornabit, honesta et loquens et audiens. Haec se viro sociam communis vitae praebebit, et acquiescet cognatis et amicis, quibus maritus favet. Denique eadem dulcia et amara existimabit, quae maritus suus, nisi plane inconcinna mulier sit. [*Stob. Serm. LXXXIII. Oeconomicus.*]

14.

ΦΙΝΤΥΟΣ ΤΗΣ ΚΑΛΛΙΚΡΑΤΕΟΣ ΘΥΓΑΤΡΟΣ ΠΥΘΑΓΟΡΕΙΑΣ.

ΈΚ ΤΟΥ ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ΣΩΦΡΟΣΥΝΗΣ.

ΤΟ μὲν ὅλον ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν· ἄνευ γὰρ ἀρετᾶς οὐδέποκα γένοιτό τις τοιαύτα. Ἑκάστη γὰρ ἀρετὰ περὶ ἕκαστον γενομένα τὸ αὐτᾶς δεκτικὸν ἀποδίδωσι σπουδαῖον· ἁ μὲν τῶν ὀπτίλων τὼς ὀπτίλως, ἁ δὲ τᾶς ἀκοᾶς τὰν ἀκοάν· καὶ ἁ μὲν ἵππω, τὸν ἵππον, ἁ δ' ἀνδρὸς, τὸν ἄνδρα· οὕτω δὲ καὶ γυναικὸς, τὰν γυναῖκα. Γυναικὸς δὲ μάλιστα ἀρετὰ σωφροσύνα· διὰ γὰρ ταύτας τὸν ἴδιον ἄνδρα καὶ τιμᾶν καὶ ἀγαπᾶν δυνασεῖται. Πολλοὶ μὲν ἴσως δοξάζοντι, ὅτι οὐκ εὐάρμοστον γυναικὶ φιλοσοφὲν, ὥσπερ οὐδ' ἱππεύεν οὐδὲ δαμαγορέν. Ἐγὼ δὲ τὰ μέν τινα νομίζω ἀνδρὸς ἦμεν ἴδια, τὰ δὲ γυναικὸς, τὰ δὲ κοινὰ ἀνδρὸς καὶ γυναικός· τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικὸς, τὰ δὲ μᾶλλον γυναικὸς ἢ ἀνδρός. Ἴδιον μὲν ἀνδρὸς, τὸ στραταγὲν καὶ πολιτεύεσθαι καὶ δαμαγορέν· ἴδια δὲ γυναικὸς, τὸ οἰκουρὲν καὶ ἔνδον μένεν καὶ ἐκδέχεσθαι καὶ θεραπεύεν τὸν ἄνδρα. Κοινὰ δὲ φαμὶ, ἀνδρείαν, δικαιοσύναν καὶ φρόνασιν. Καὶ γὰρ τὰς τῶ σώματος ἀρετὰς ἔχεν πρέπον καὶ ἀνδρὶ καὶ γυναικὶ, καὶ τᾶς ψυχᾶς ὁμοίως. Καὶ ὡς ὑγιαίνεν τῷ σώματι ἀμφοτέροις ὠφέλιμον, οὕτως ὑγιαίνεν τᾷ ψυχᾷ· σώματος δ' ἦμεν ἀρετὰς, ὑγείαν, ἰσχὺν, εὐαισθησίαν, κάλλος· τὰ δὲ μᾶλλον ἀνδρὶ καὶ ἀσκὲν, καὶ ἔχεν οἰκεῖον ἐντὶ, τὰ δὲ μᾶλλον γυναικί. Ἀνδρόταται μὲν γὰρ καὶ φρόνασιν μᾶλλον ἀνδρὶ, καὶ διὰ τὰν ἕξιν τῶ σώματος, καὶ διὰ τὰν δύναμιν τᾶς ψυχᾶς· σωφροσύναν δὲ γυναικί. Διὸ δεῖ περὶ σωφροσύνας παιδευομέναν γνωρίζεν, ἐκ πόσων τινῶν καὶ ποίων τοῦτο τἀγαθὸν τᾷ γυναικὶ παραγίνεται. Φαμὶ δὴ ἐκ πέντε τούτων· πρᾶτον μὲν ἐκ τᾶς περὶ τὰν εὐνὰν ὁσιότατός τε καὶ εὐσεβείας, δεύτερον δὲ ἐκ τῶ κόσμω τῶ περὶ τὸ σῶμα, τρίτον ἐκ τᾶν ἐξόδων τᾶν ἐκ τᾶς ἰδίας οἰκίας, τέταρτον ἐκ τῶ μὴ χρέεσθαι τοῖς ὀργια-

14.

PHINTYOS FILIAE CALLICRATIS PYTHAGOREAE.

EX LIBRO DE TEMPERANTIA MULIERIS.

Omnino bonam et modestam esse oportet. Sine virtute autem nunquam talis evaserit. Singulae autem virtutes singulis adhaerentes id, quod eas suscipit, probatum et laudabile reddunt, et virtus quidem oculorum oculos, auditus auditum, equi equum, viri virum, sic etiam mulieris mulierem. Est autem prima virtus mulieris temperantia: hujus enim beneficio virum suum et colere et amare poterit. Multi fortassis existimant, philosophari non decere mulierem, ut nec equitare neque concionari. Ego vero existimo, opera quaedam propria viri esse, quaedam mulieris, quaedam utrique communia, item alia potius ad virum quam mulierem pertinere, alia contra. Viri propria sunt exercitum ducere, civitatem regere et concionari: mulieri autem peculiare est aedes custodire, domi inclusam manere, excipere virum et ei ministrare. Communia autem dico fortitudinem, justitiam et prudentiam. Quippe tum corporis virtutes et virum et mulierem possidere decet, tum animae similiter. Et ut corpus habere sanum utrisque prodest, sic etiam animae sanitas. Corporis virtutes appello, sanitatem, robur, sensuum integritatem, pulchritudinem. Caeterum sunt ex virtutibus, quas magis virum et exercere et habere conveniat, aliae mulierem magis decent. Virum magis decent fortitudo ac prudentia cum propter habitum corporis, tum propter animae facultatem. Mulierem vero temperantia. Quocirca hac virtute instituendam scire opus est, ex quot quibusque rebus hoc bonum mulieri confletur. Constat igitur ex istis quinque; primum ex sanctitate et pietate circa torum conjugalem, deinde ex ornatu corporis, tertio ex egressibus e domo propria (rarissimis), quarto abstinendo

σμοῖς καὶ ματρωασμοῖς, πέμπτον δὲ ἐν τᾷ θυσίᾳ τᾷ πρὸς τὸ θεῖον εὐλαβέα ἦμεν καὶ μετρίαν. Τούτων τὸ μέγιστον αἴτιον καὶ συνεκτικώτατον τᾶς σωφροσύνας, τὸ περὶ τὰν εὐνὰν ἦμεν ἀδιάφθορον καὶ ἄμικτον θυραίω ἀνδρός. Πρᾶτον μὲν γὰρ εἰς τοῦτο παρανομοῖσα ἀδικεῖ γενεθλίους θεούς, οἴκῳ καὶ συγγενείᾳ οὐ γνασίους ἐπικούρους, ἀλλὰ νόθους παρεχομένα. Ἀδικεῖ δὲ τοὺς φύσει θεούς, οὕσπερ ἐπομόσασα μετὰ τῶν αὐτᾶς πατέρων τε καὶ συγγενῶν, συνελεύσεσθαι ἐπὶ κοινανίᾳ βίω τε καὶ τέκνων γενέσει τε κατὰ νόμον. Ἀδικεῖ δὲ καὶ τὰν αὐτᾶς πατρίδα, μὴ ἐμμένουσα τοῖς ἐνδιατεταγμένοις. Ἔπειτα ἐπὶ τούτοις ἀμπλακίσκεν, ἐφ' οἷς τὸ μέγιστον τῶν προστίμων ὥρισται θάνατος, διὰ τὰν ὑπερβολὰν τῶ ἀδικήματος, ἔκθεσμον, καὶ ἀσυγγνωμονέστατον ἦμεν ἁδονᾶς ἕνεκεν ἁμαρτάνεν καὶ ὑβρίζεν· ὕβριος δὲ πάσας πέρας, ὄλεθρος. Κἀκεῖνο δὲ χρὴ διαλογίζεσθαι, ὡς οὐδὲν καθάρσιον εὑρήσει τᾶς ἀμπλακίας ταύτας ἄκος, ὥστε ἐς ἱερὰ θεῶν καὶ βωμὼς ποτερχομέναν ἦμεν ἁγνὰν καὶ θεοφιλατάν· ἐπὶ γὰρ ταύτᾳ τᾷ ἀδικίᾳ μάλιστα καὶ τὸ δαιμόνιον ἀσυγγνωμόνητον γίνεται. Κάλλιστος δὲ κόσμος γυναικὸς ἐλευθέρας πράττεν, εὖτ' εἶδος τὸ διὰ τῶν αὐτᾶς τέκνων ἐπιμαρτύρασθαι τὰν σωφροσύναν τὰν ποτὶ τὸν ἄνδρα, αἴκα τὸν τύπον τᾶς ὁμοιότατος ἐπιφέροντι τῶ κατασπείραντος αὐτὼς πατρός. Καὶ περὶ μὲν εὐνᾶς οὕτως ἔχει. Περὶ δὲ τῶ κόσμω τῶ περὶ σῶμα δοκεῖ μοι οὕτως. Δεῖ λευχείμονα ἦμεν καὶ ἁπλοϊκὰν καὶ ἀπερίσσευτον. Ἐσεῖται δὲ τοῦτο, αἴκα μὴ διαφανέεσι, μηδὲ διαποικίλοις, μηδ' ἀπὸ βόμβυκος ὑφασμένοις χρᾶται τοῖς περὶ τὸ σῶμα, ἀλλὰ μετρίοις καὶ λευκοχρωμάτοις. Οὕτω γὰρ τὸ μᾶλλον κοσμεῖσθαι καὶ τρυφῆν καὶ καλλωπισμὸν φεύξεται, καὶ ζᾶλον οὐκ ἐμποιήσει μοχθηρὸν ταῖς ἄλλαις. Χρυσὸν δὲ καὶ σμάραγδον ἁπλῶς μὴ περιτίθεσθαι· καὶ γὰρ πολυχρήματον καὶ ὑπεραφανίαν ἐμφαῖνον ποττὰς δαμοτικάς. Δεῖ δὲ τὰν εὐνομουμέναν πόλιν ὅλαν αὐτὰν δι' ὅλας τεταγμέναν συμπαθέα τε καὶ ὁμοιόνομον ἦμεν, ἀπερύκεν δὲ καὶ δαμιουργὼς ἐκ τᾶς πόλεος τὼς ἐργαζομένως τὰ τοιαῦτα. Χρώματι δὲ φαιδρύνεσθαι τὰν ποτώπαν μὴ ἐπι-

Bacchanalibus et matris deûm festis, quinto, ut in sacrificiis, quae numini fiunt, cauta sit et moderata. Ex his autem illud maxime temperantiam producit et continet, ut circa conjugium intemerata sit uxor, nec alieno viro commisceatur. Principio enim, hac parte si peccet, offendit natalitios deos, utpote quae familiae et cognationi non germanos auxiliatores, sed spurios praebeat: quin etiam perfida est adversus deos generationis, per quos juraverat una cum parentibus et cognatis suis, se convicturam legitime cum marito ad vitae communionem et liberorum procreationem. Sed et patriam suam offendit, ut quae ejus statuta non observet. Deinde in hisce rebus delinquere, quibus maxima poena constituta est, mors ipsa, propter magnitudinem sceleris, quod voluptatis causa et petulantiae committitur, omnino nefarium, omnique venia prorsus indignum est. Omnis autem petulantiae et injuriae finis pernicies est. Considerandum porro et istud, talem mulierem nullum remedium purgatorium delicti inventuram, ut, cum ad templa et aras deorum accesserit, sancta sit et deo accepta. Nam huic sceleri maxime et deus ipse infensissimus est, minimeque ignoscit. Inprimis vero honestum est matronae pudicitiam suam erga maritum per formam liberorum suorum testari, quod fit, si liberi referant typum similitudinis sui genitoris. Et hactenus de ipso conjugio. Caeterum quod ad corporis ornatum attinet, illum probo, qui candidus, simplex et minime superfluus fuerit. Quod fiet, si non translucidas, neque variegatas, neque ex bombyce contextas vestes ad tegendum corpus adhibuerit, sed moderatas et coloris albi. Sic enim nimium ornatum, luxum et cultum superfluum vitabit, et pravam aemulationem aliis non injiciet. Aurum vero et smaragdum omnino non ferat corpore, nam et nimio constat, et superbiam erga populares arguit. Civitatem autem bene institutam per omnes sui partes ex aequo

κηρῷ καὶ ἀλλοτρίῳ, τῷ δ' οἰκήῳ τῶ σώματος δι' αὐτῶ τῶ ὕδατος ἀπολουομέναν· κοσμεῖν δὲ μᾶλλον αὐτὰν αἰσχύνᾳ. Καὶ γὰρ τὸν συμβιῶντα καὶ αὐτὰν ἔντιμον παρέξεται. Τὰς δὲ ἐξόδους ἐκ τᾶς οἰκίας ποιεῖσθαι τὰς γυναῖκας τὰς δαμοτελέας θυηπολούσας τῷ ἀρχαγέτᾳ θεῷ τᾶς πόλιος ὑπὲρ αὐτᾶς καὶ τῶ ἀνδρὸς καὶ τῶ παντὸς οἴκω· ἔπειτα μήτε ὀρφνᾶς ἀνισταμένας, μήτε ἑσπέρας, ἀλλὰ πλαθούσας ἀγορᾶς καταφανέα γινομέναν τὰν ἔξοδον ποιεῖσθαι θεωρίας ἕνεκά τινος, ἢ ἀγορασμῶ οἰκήω μετὰ θεραπαίνας μιᾶς, ἢ καττὰ πλεῖστον δύο εὐκόσμως χειραγωγουμέναν. Τὰς δὲ θυσίας λιτὰς παριστάμεν τοῖς θεοῖς, καὶ καττὰν δύναμιν. Ὀργιασμῶν τε καὶ ματρῳασμῶν τῶν κατ' οἶκον ἀπέχεσθαι. Καὶ γὰρ ὁ κοινὸς νόμος ἀπερύκει τᾶς πόλιος ταύτας τὰς γυναῖκας ἐπιτελέν· καὶ ἄλλως, καὶ ποτὶ μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεύσιες αὗται. Τὰν δ' οἰκοδέσποιναν καὶ προκαθεζομέναν οἴκω δεῖ σώφρονα καὶ ἀνέπαφον (ποτὶ πάντα) ἦμεν. [Στοβ. λόγ. οβ΄. Γαμικὰ παραγγέλματα.]

---

recte constitui, afficique mutuo consensu et iisdem uti legibus oportet. Itaque hujusmodi rerum artifices arceantur. Facies vero non ascititio et alieno colore decoretur, sed genuino et proprio corporis, solaque aqua abluatur, et pudore potissimum ornetur. Nam hac ratione et convictorem suum (maritum) et se ipsam venerabilem exhibebit. Egrediantur autem domo matronae populares, sacra facturae deo civitatis principi et custodi pro se et maritis suis totaque familia. Verum nec instante nocte neque vespera, sed foro hominibus pleno palam exeat mulier, vel ad spectandum aliquid, vel emendum, ab unà ancilla, aut ad summum duabus honeste deducta. Ceterum Bacchi et matris deûm sacris domi abstineat. Etenim civitatis publica lege constitutum est, ne festis hujusmodi intersint mulieres, tum alias, tum quia inducunt ebrietates mentemque alienant istae caerimoniae. Matremfamilias autem, quae domui administrandae praefecta est, temperantem et intemeratam esse oportet. [*Stob. Serm. LXXII. Praecepta conjugalia.*]

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ
ΤΑ ΛΕΙΨΑΝΑ.

1. Ἄνθρωποι πολυμαθίης ἔχειν δόξαν, ἢ τοῦ ἀληθίζεσθαι ἔρωτα πλεῦνα ἐκτέαται. Πολλοὶ γοῦν τοῖς πρὸ ἑωυτῶν (ἐναντίας δόξας συστησάμενοι) τὴν γνῶσιν τοῦ ἀληθέος περὶ τῶν ἀναγκαιοτάτων ἀφείλοντο, [τῷ] τὴν πίστιν αὐτῶν μὴ ἐν βεβαίῳ ἑστάναι, ὑπὸ δὲ τοῦ ἀπὸ τῆς προτέρης δόξης περιτρέψαι εἰς τοὐναντίον λόγον παρασκευάσαντας ἐν τῷ ἀσταθμητοτάτῳ αἰωρέεσθαι.

2. Πολλοὶ τῶν ἀνθρώπων ἐν ταῖς συζητήσεσι τῶν πραγμάτων ὁμοίως τοῖς ἀλόγοις τῶν ζώων, ὥσπερ ἐκεῖνα μαχόμενα, οὕτω καὶ αὐτοὶ μούνου τοῦ νικᾶν μεταποιέονται, ὅκως δὲ (τοὔπερ χρὴ πάντα ἄνδρα προμηθέεσθαι καὶ λέγοντα καὶ πρήσσοντα) μὴ παρὰ τὸ ξυμφέρον καὶ σφέων αὐτῶν καὶ τῶν παρεόντων, καὶ ὥστε μὴ τὸ ἀληθὲς αὐτὸ βλάψαι, οὐκέτι λόγον τούτου ποιέονται.

3. Ἀνθρώποισιν ἔριδες προσφιλέες, καὶ τοῦ περὶ παντὸς τοῦ προτεθέντος ἀντιλέγοντας ἐθέλειν κρατέειν ἄπλετος καὶ ἄλογος ἐπιθυμίη· ὁπότε πολλοὶ οὐκ αἰδέονται καὶ κατὰ τῶν σπουδαιεστάτων καὶ τῶν οὐ χρὴ τῷ χείρονι λόγῳ νικᾶν, νικῶντες ἀξίην κεκλῆσθαι νίκην Καδμηΐην.

4. Ἄνθρωποι τοὺς μὲν παρὰ φύσιν καὶ ἐν τεράτων λόγῳ ἐόντας ἀσπάζονται, καὶ μεγάλων χρημάτων ὠνεόμενοι,

EUSEBII PHILOSOPHI
FRAGMENTA QUAE SUPERSUNT.
EX IO. STOBAEO COLLECTA.
(Conrado Gefsnero interprete.)

1. Homines multa potius scire videri, quam verum dicendi desiderio tenentur. Proinde multi, dum contrarias veteribus opiniones probant, veri cognitionem de rebus maxime necessariis dubiam efficiunt: ita ut non amplius solidam fidem assequatur, sed tanquam ab antiqua persuasione in contrariam, ad hoc compositis illorum verbis, instabilissime pendeat.

2. Multi homines in disputando de rebus haud secus ac animantes brutae pugnantes solam sibi victoriam proponunt. Ut autem nihil (quod unumquemque in dicendis et faciundis pariter praemeditari decet) praeter utilitatem suam et (rerum) praesentium agatur, ac ne rerum veritas offendatur, ejus nullam plane rationem habent.

5. Gratae sunt contentiones hominibus et contradicendo quacunque re proposita vincendi desiderium inexplebile. Itaque multi non verentur in rebus gravissimis, in quibus deteriorem sententiam superare non convenit, victoriam, ut dicitur, auferre vere Cadmeam.

4. Homines eos, qui praeter naturam et monstrosi sunt, amplectuntur, iisque multa pecunia redemptis,

ὡς ἐπὶ μεγίστῳ κτήματι, χαίρουσι καὶ μεγαλοφρονέονται, περὶ δὲ τὰ σπουδαιότατα καὶ τὰ σμικρὰ ἄχθονται ἀναλίσκοντες.

5. Οἱ πλεῦνες τῶν ἀνθρώπων περὶ πάντα τὰ λοιπὰ φειδωλοὺς σφέας παρεχόμενοι, καὶ εἰ δαπανοῖεν, ἀσχάλλοντες, ὑπὲρ τοῦ παρὰ τῶν δήμων κροτηθῆναι καὶ τὰ ἐόντα σφὶ πάντα ἡδέως προΐενται.

6. Οἱ μάταιοι τῶν ἀνθρώπων τοὺς μὲν μεγάλα χρήματα ἔχοντας, καὶ φαύλους ἐόντας, τιμῶσί τε καὶ τεθωυμάκασι· τῶν δὲ σπουδαίων, ἐπειδὰν ἀχρηματίην καταγνῶσιν, ὑπερφρονέουσιν. [1—6. Στοβ. λόγ. δ΄. περὶ ἀφροσύνης.]

7. Τῶν ταῖς αἰσχραῖς ἐπιθυμίαις ἐπιχειρεόντων ἐλεύθερον μηδένα νόμιζε· τῶν γὰρ τοὺς τῇ τύχῃ δούλους κεκτημένων πολὺ βαρυτέροις οὗτοι δεσπόταις (τοῖς καταναγκάζουσι ταῦτα) δουλεύουσιν.

8. Γαστριμαργίη σῶμα πιαίνει, ἀλογίην ἀείρει, ψυχῆς δὲ τὸν κάλλιστον λογισμὸν κοιμίζει.

9. Ψυχῇ σῶμα ἀνθρώπου ἔδοσαν οἱ θεοί, ὥστε τῇ ψυχῇ τὸ σῶμα ὑπηρετέεσθαι· οἱ δὲ πολλοὶ τὸ ἔμπαλιν ποιέουσι, σώματι πρὸς πάντα καὶ ἐς μοῦνα τὰ ἐκείνου ὑπουργήματα (τὸ κρέσσον τῷ χείρονι, καὶ θνητῷ ἀθάνατον) ψυχὴν καταδουλευόμενοι.

10. Ἀκολασίη ψυχὴν λυμαίνεται καὶ σῶμα διαφθείρει, τόπερ ἕνεκα τῆς ἡδονῆς, καὶ ὥστε αὐτῷ χαρίζεσθαι, τὸν ἔχοντά μιν καταναγκάσει τὰ αἴσχιστα πάντα ποιέειν.

11. Ὥσπερ νῆα ἄνεμοι ὑπολαβόντες, τῇ καὶ τῇ φορέοντες, συγκλονέουσι καὶ ἀπειθέα ποιέουσι τῷ κυβερνήτῃ, οὕτω καὶ ἀκολασίη ψυχὴν δονέουσα, καὶ ἀπειθέα νόῳ εἶναι καταναγκάζουσα, εἰρηνεύειν καὶ ἐν τῷ εὐδίῳ καὶ ἀσφαλεστάτῳ ὁρμέειν οὐ ξυγχωρέει. [7—11. Στοβ. λόγ. ς΄. περὶ ἀκολασίας.]

12. Φιλοχρηματίη τοῦ κτήσασθαι εὑρεῖν ἀρκέοντα οὖρον οὐκ οἶδε.

13. Φιλοχρηματίην ἐφ᾽ ἡμέρῃ ἑκάστῃ ἐπιῤῥέων πλοῦ-

tanquam maxima possessione gaudent, et sibi placent magnopere; in rebus autem seriis et plurimo studio comparandis quamvis exiguum sumptum facere gravantur.

5. Permulti sunt, qui in reliquis rebus admodum parci et, si quidquam insumserint, aegre ferentes, ad plausum vero popularem eliciendum vel omnia sua libenter exponunt.

6. Homines vani et stulti praedivites quidem utcunque malos colunt et admirantur: bonos vero, ut primum inopes esse intelligunt, contemptui habent. [1—6. *Stob. Serm. IV. de imprudentia.*]

7. Eorum, qui foedis voluptatibus dediti sunt, nullum tu liberum ducas. Hi enim multo saevioribus dominis, quam sint, qui natura servos comparant possidentque, (cogentibus ea) serviunt.

8. Voracitas corpus pinguefacit, stuporem inducit, animi vero, quod optimum est, rationem sopit.

9. Animae corpus hominis dii dederunt mancipio, ut anima corporis servitio uteretur: plerique autem contra faciunt, corpori ad omnia, atque adeo sola ejus obsequia (id quod potius est deteriori et mortali immortale) animam subjicientes.

10. Intemperantia animam corrumpit et corpus perdit, quod sane voluptatis gratia, utque ipsi gratum fiat, coget illum, a quo habetur, turpissima quaeque patrare.

11. Veluti venti navem correptam huc illuc ferentes quassant, et inobedientem efficiunt gubernatori: itidem animam agitans et menti immorigeram esse cogens intemperantia, tranquillam esse et in tranquillo ac tutissimo ceu portu quiescere non permittit. [7—11. *Stob. Serm. VI. de intemperantia.*]

12. Avaritia opes conquirendi sufficientem terminum non habet.

13. Avaritiam quotidie confluentes divitiae non si-

τος οὐχ ἵστησιν, ὥσπερ οὐδὲ πυρκαϊὴν ὕλη ἐπιβαλλομένη, ἐπιγιγνόμενος δ' ἀεὶ ἐς τοῦ πλεῦνος τὴν ἐπιθυμίαν ἐξάπτει μειζόνως· νόος δὲ μοῦνος παραστὰς καὶ τοῦτο οἶδεν ἀκέσασθαι.

14. Φιλοχρηματίην ἄλογον τὰ κτώμενα ἀποβαλλόμενα μᾶλλον ἀνύσειεν, ἢ ὁ ἐφ' ἑκάστῃ ἡμέρᾳ πλοῦτος ἄπλετος ἐπιγιγνόμενος.

15. Τὸ οἰκονομέειν τὰ παρεόντα ἀνδρὸς προνόου, τὸ δὲ μηδ' ὅλως ἐθέλειν ἐστὶ τῶν δεόντων χρέεσθαι.

16. Οὐδέποτ' τῶν κτηθέντων, καταδεδουλωμένου δὲ ἑωϋτὸν τῶν χρημάτων ἔτι τῇ κτήσει.

17. Οἱ πλεῦνες τῶν ἀνθρώπων παρὰ λόγον φειδεύμενοι ἀξιεῦσι (πολυχρήματοι πεπιστευμένοι) ἠλίθιοι καὶ σκαιοὶ νομίζεσθαι, ἢ περὶ τὰ δεῖ ἀναλίσκοντες δεξιοὶ κεκλῆσθαι.

18. Πλούσιον χρὴ νομίζειν τὸν ἡγεόμενον ἔχειν τὰ ἀρκέοντα· τὸν δὲ ἀεὶ ἐπιθυμέοντα προσκτήσασθαι, καὶ πληθώρην μηδέποτε τοῦ πλούτου λαμβάνοντα, καὶ εἰ Μίδου πλουτέοι μᾶλλον, πένητα καλέω, καὶ Ἴρου (ἣν ἐκεῖνος ἐξ ἀνάγκης εἶχε) ψυχὴν κεκτῆσθαι. [12—18. Στοβ. λόγ. ι. περὶ ἀδικίας.]

19. Ἀληθείην νόος ἀσπάζεται καὶ ἀεὶ αὐτῇ συνοικέει, ἐὼν δὲ ἐν τοῖς ἑωϋτοῦ ἀψευδέστατος, ὅμως ἔστιν ὅτε καὶ ψεῦδος ἀγαθῷ κεράσας παρέχεται ἐπ' ὠφελείῃ ἀνθρώπων τῶν τούτου χρηζόντων, καὶ ἐπὶ χρηστῷ τῷ σφετέρῳ παραλογισθησομένων πρὸς αὐτοῦ· τότε γὰρ δὴ μοῦνον. καὶ οὔποτε ἄλλοτε νόος, καὶ ἐν καιρῷ τῷ αὐτὸς οἶδε, πάντ τἄλλα ψεύδεα ἀποστυγέων, ψεῦδος τοῖον εἰσφέρεται, ἀπὸ τῆς τῶν λοιπῶν ἁπάντων ψευδέων φύσιος εἰς ἄλλο εἶδος μεταληφθὲν χρησιμώτατον τέχνῃ καὶ σοφίῃ αὐτοῦ τοῦ νόου, τοῦ φαῦλον πρῆγμα εἰς τοῦτο μετακοσμήσαντος.

20. Ψεύδεσθαι ἐν πόλει μηδὲ εἷς νόμος ξυγχωρεέτω· μηδενὸς πλὴν τοῦ φιλαλήθεος καὶ νοήμονος ἐπισταμένου

stunt, non magis ac struem ardentem injecta materia. Quin accedentes semper opes ad majorum cupiditatem animum magis accendunt. Sola vero mens (et ratio) si praesens fuerit, huic quoque vitio mederi potest.

14. Avaritiam ratione carentem citius consument abjectae (perditae) res partae, quam crescentes quotidie immensae opes.

15. Praesentibus rite uti viri est providi, prorsus autem id facere nolle est rebus necessariis indigere.

16. Nullus earum rerum, quae possidentur, usus aut fructus accedere potest illi, qui pecuniae servus fuerit.

17. Plurimi eorum, qui rei praeter rationem parcunt, modo divites appellentur, stulti judicari malunt, quam suo loco sumptus facientes prudentes ac commodi nominari.

18. Ille dives existimandus est, qui se satis possidere sibi persuasit. Eum vero, qui partis semper adjicere properat, divitiarumque acquirendarum saturitate nulla capitur, etsi Mida fuerit opulentior, pauperem esse dico, et Iri (qualem ille necessario habebat) animo praeditum. [12 — 18. *Stob. Serm. X. de injustitia.*]

19. Mens veritatem amplectitur, et semper cum ipsa versatur. Sed quamvis in rebus suis alienissima sit a mendacio, interdum tamen commiscens bono mendacium ad hominum hoc indigentium utilitatem profert, qui quidem suae ipsorum commoditatis causa decipiendi sunt ab eo. Tunc enim solum, nec unquam alias, quo novit opportunum esse tempore mens, abhorrens interim ab omnibus aliis mendaciis, tale quoddam mendacium introducit, in diversam et utilissimam speciem immutatum arte sapientiaque mentis rem malam commode usurpantis.

20. Nulla prorsus in civitate lege mentiri liceat: cum nemo nisi vir veritatis studiosus ac prudens scire

τε ὁκότε καὶ ὅκως ὠφελείη ψεύδεος· τῆς δὲ ἀπὸ τούτου γιγνομένης χρείης ἀναγκαίης, καὶ τοῦτο ποιέειν. [19 et 20. Στοβ. λόγ. ιά. περὶ ἀληθείας.]

21. Παῤῥησίη ἀπὸ γνώμης ἐλευθέρης καὶ ἀληθείην ἀσπαζομένης προέρχεται. Παρέξεαι δὲ αὐτὴν ἀμώμητον, οὐ τὸ πᾶσι καὶ ὡς ἔτυχεν ἐπιτιμᾷν καὶ λοιδορέεσθαι, νομίζων τοῦτο εἶναι τὴν παῤῥησίην, ἀλλ' εἰ πρὸς οὓς δεῖ, καὶ ὑπὲρ τίνων χρημάτων καὶ ἐν ᾧ χρὴ μετὰ τοῦ χρησίμου περὶ τῶν παρισταμένων ξὺν νόῳ προσδιαλέγοιο. [Στοβ. λόγ. ιγ. περὶ παῤῥησίας.]

21. a. Ἐχθρὸς τἀληθῆ εἰπὼν τοῦ προσποιευμένου φίλου πρὸς χάριν εἰπόντος πάντως αἱρετώτερος. [Ἐν τῷ αὐτῷ.]

22. Ἀνὴρ μεγάλα ἔχων χρήματα ἀποτεθησαυρισμένα, ἔπειτα γνώμῃ τῇ ἑωϋτοῦ ἐς μηδὲν τῶν δεόντων οἷός τε ἐὼν αὐτοῖς χρέεσθαι, ἔοικε τῷ τὰ ἐν τοῖς δημοσίοις ἀποκείμενα πεπιστευκότι ἑωϋτοῦ εἶναι· δόξῃ μὲν γὰρ ὁμοίῃ πλουτέουσι, τόπερ δὲ τοῦ κεκτῆσθαί ἐστιν οἰκήϊον, τοῦ αὐτοῖς χρέεσθαι ἀποστερέαται ὁμοίως ἀμφότεροι. [Στοβ. λόγ. ις. περὶ φειδωλίας.]

23. Ἄνδρα χρήματα μεγάλα ἔχοντα ἀποτεθησαυρισμένα καὶ τοῦ θησαυρίζειν αὐτοῦ τούτου εἵνεκα ἐπικτώμενον, καὶ ὅκως ἀεί τι τοῖς παρεοῦσι προσθείη, χρήματα μὲν ἔχοντα, μήτε δὲ εἰς ἑωϋτὸν μήτε εἰς ἄλλο τι τῶν χρησίμων ἀναλίσκοντα, μήκοτε πλουτέειν ἀποφήνειε, φύλακα δὲ καὶ κοριστὴν εἶναι ἀλλοτρίων χρημάτων, καὶ πόνους ἔχειν αἱρέεσθαι πολλάκις καὶ τοῖς ἑωϋτῷ μηδὲν προσήκουσιν ἐπικτώμενον. [22. 23. Στοβ. λόγ. ις. περὶ φειδωλίας.]

24. Γνώμης ἀνδρὸς ἀρίστου ἀπόδεξις ἥδε· μὴ ἐπὶ τῷ σιτέεσθαι ἑωϋτὸν νομίζειν γεγονέναι, μηδὲ ἐν τούτῳ τὴν ζωὴν ἡγέεσθαι, μόνου δὲ αὐτοῦ τοῦ ζώειν ἕνεκα ἀνθρώποις τροφὴν νομίζειν εὑρῆσθαι.

25. Ἐγκράτεια καὶ σώματι ἀγαθὸν, πρὸς γὰρ ὑγείην αὐτῷ ξυμμάχεται, καὶ σωφροσύνην ἐν ψυχῇ τίκτει. σωφρο-

queat, quando et quomodo mentiri expediat, et necessariae commoditatis causa mendacium sequuturae id faciat. [19 *et* 20. *Stob. Serm. XI. de veritate.*]

21. Oratio libera ex animo ingenuo et veritatis studioso procedit. Uteris autem ipsa citra culpam, non existimando, ipsam esse reprehensionem et convicium in quemvis absque delectu, sed illos, quorum refert, quibusque de rebus, idque suo tempore et loco non sine utilitate de iis, quae videntur dicenda, alloquendo. [*Stob. Serm. XIII. de fiducia dicendi.*]

21. a. Inimicus, qui vera loquitur, cuivis amicitiae simulatori ad gratiam loquenti praeferendus est longe. [*Ibid.*]

22. Vir, cui magnae opes sunt reconditae, quibus pro suo arbitrio ad res necessarias uti non audeat, similis est aerario quaestori publicum thesaurum suum esse persuaso. Quantum etenim ad opinionem, ex aequo uterque dives est. Usum vero divitiarum, qui proprius est possidenti, non hic magis quam ille habet.

23. Virum, qui magnas opes reconditas habuerit, nec aliam ob causam, quam ut reponat, conquirentem, quo semper aliquid praesentibus addat, etsi locupletem, nihil tamen neque sui neque alterius utilitatis gratia insumentem, nequaquam divitem esse dixerim, sed custodem et alienis pecuniis comparandis natum, qui saepenumero sibi labores creet, et res nihil ad se pertinentes augeat. [22 *et* 23. *Stob. Serm. XVI. de parcitate.*]

24. Optime constituti animi hoc argumentum est, non ad epulandum se natum existimare, neque in eo vitam reponere, sed vivendi tantum gratia nobis alimenta dari judicare.

25. Continentia et corpori bona est, ad secundam valetudinem ipsum promovens, et in anima temperantiam parit, quae quidem virtus tranquillam, serenam

σύνη δὲ ἀστασίαστον καὶ εὔδιον καὶ βίον εἰρηναῖον ψυχῇ παρασκευάζει. [24. 25. Στοβ. λόγ. ιζ΄. περὶ ἐγκρατείας.]

26. Ὀργῆς κρατέειν ἄριστον ἐθίζειν ἑωϋτὸν, μάλιστα μὲν καὶ πρὸς τὸ μὴ εὐπετέως πρὸς αὐτῆς ξυγκινέεσθαι· εἰ δὲ μὴ, ἀλλ' ὥστε γε πάντως μὴ τὸ καταναγκαζόμενον ὑπ' αὐτῆς αὐτίκα σε καὶ ἐν τῷ ἀλογίστῳ ἀποπιμπλάναι. [Στοβ. λόγ. ιθ΄. περὶ ἀνεξικακίας.]

27. Πολλοὶ δοκέοντες ἑωϋτοὺς φιλέειν, οὐ φιλέουσιν ἀληθέως· πάντα γοῦν αὐτοῦ τούτου ἕνεκα εἴκοντες ἑωϋτοῖς, καὶ παρὰ τὸ ἀτρεκὲς χαριζόμενοι αὐτοῖς, τοῖς ἐναντιωτάτοις περιπίπτουσι.

28. Πολλοὶ βουλόμενοι δοκέειν εἶναι εὐβουλότατοι, πρὸς τῶν οἰκειοτάτων καὶ εὖ φρονεόντων ἀναποδιζόμενοι, οὐκ ἀξιεῦσιν ἀπὸ τῶν δοξάντων ἅπαξ ἀναχωρέειν, ἀλλ', ὅκως μὴ ἐλεγχοίατο ὡς ἀπὸ ἡμαρτημένης ἀφιστάμενοι, ἐμμένουσι τῇ γνώμῃ, ἐς ὃ δὴ καὶ τοῖς ἀπ' αὐτῆς κακοῖς ἐγκυρήσωσι. [27. 28. Στοβ. λόγ. κγ΄. περὶ φιλαυτίας.]

29. Οἱ πολλοὶ τοῖς ἀνθρώποις τὸ εὐόρκους εἶναι αὐτοῖς παραινέουσιν· ἐγὼ δὲ καὶ τὸ ἀρχὴν μηδ' εὐπετέως ὀμνύναι ὅσιον ἀποφαίνομαι. [Στοβ. λόγ. κζ΄. περὶ ὅρκου.]

30. Φημὶ πάντα τὸν προαίρεσιν τοῦ ἐπιορκῆσαι ἀναδεξάμενον καὶ ἐπορμήσαντα ἐπὶ τὸν ὅρκον, εἰ καὶ μὴ πελάσει τὸ ἔργον τῆς ἐπιορκίης τύχῃ τινὶ, ἢ καὶ τῷ μὴ βουληθῆναι τὸν ἀπαιτέοντα, ὅμως αὐτὸν ἔχειν γνώμην τὴν τοῦ ψευδόρκου, καὶ εἶναι τῆς ἐπὶ τῇ ἐπιορκίῃ ἁμαρτάδος τῆς ὀφειλευμένης κατὰ τὸν καὶ ἔργῳ ἐπιορκήσαντα ἔνοχον τιμωρίης. [Στοβ. λόγ. κη΄. περὶ ἐπιορκίας.]

31. Πόνοι οἱ ἑκούσιοι πόνοισι τοῖς μετὰ ταῦτα ἀναγκαίοις, ὥστε αὐτοὺς εὐπετεστέρους παρασκευασθῆναι, προπονέονται. [Στοβ. λόγ. κθ΄. περὶ φιλοπονίας καὶ μελέτης.]

32. Σῶμα ἀργίῃ τήκει, ψυχὴν δ' ἀμελετησίῃ ἀσκήσιος

et compositam animae vitam adornat. [24 *et* 25. *Stob. Serm. XVII. de temperantia.*]

26. Optimum quidem est ita assuescere domare iracundiam, ne facile ad ipsam accendaris: sin minus, saltem, ne, quod ipsa imperat, statim irrationalis animae pars ad finem perducat. [*Stob. Serm. XIX. de patientia.*]

27. Multi, cum se ipsos amare videantur, non vere amant. Quare sibimet ubique indulgentes, perperamque gratificantes, in maxime contraria desideratis incidunt.

28. Plurimi, quum velint haberi quam consultissimi, si qua in re familiarissimi et benevoli ipsis homines eos dehortentur, nolunt a confirmato semel intra se proposito recedere: sed ne redarguantur a consilio suo tanquam pravo desistere, permanent in proposito, donec tandem inde profecta incommoda sentiant. [27 *et* 28. *Stob. Serm. XXIII. de amore sui.*]

29. Multi homines adhortantur, ut in jurejurando probi sint et fideles. Ego vero prorsus non facile jurare religiosi viri officium existimo. [*Stob. Serm. XXVII. de jurejurando.*]

30. Ajo, unumquemque, qui pejerandi consilium cepit, promptumque se et paratum ad perjurium praebuit, etiamsi perjurium ipsum non contingat, sive forte quadam, sive quod noluerit ille, cujus erat perjurium postulare, nihilo secius perjurum esse animo, et non minus meritum esse poenam perjuris praescriptam, quam ille, qui re ipsa pejeravit. [*Stob. Cap. XXVIII. de perjurio.*]

31. Voluntarii labores praeparant eos, quos postea necessitate suscipere cogimur; quandoquidem hi, illis praecurrentibus, melius faciliusque procedunt. [*Stob. Cap. XXIX. de assiduitate et studio.*]

32. Corpus tabefacit desidia, animam vero negle-

τῶν αὐτὴν ἀειρόντων πρὸς τὸ θεοδέστατον. [Στοβ. λόγ. λ'. περὶ ἀργίας.]

33. Ἄνθρωποι λόγων κούφων μέγα ὀδόντων ἕρκος ἐκτέαται· ἀλλὰ γὰρ ἐπὶ παντὶ νόου χρήζομεν· ἐπεὶ, ἂν οὗτος μὴ κατιθύνῃ αὐτὰ τὰ ἔπεα, πρὶν βουλευθῆναι, ἐκφεύγει πολλάκις, καὶ καταλογίσαντα τοσούτου ἕρκεος ἄκριτα προεκτρώσκει. [Στοβ. λόγ. λς'. περὶ ἀδολεσχίας.]

34. Ἀνδρὶ ἀγαθῷ εὖ πρήσσοντι φθονέων τὶς καὶ πατρίδι καὶ παντὶ τῷ κοινῷ καὶ ἑωϋτῷ φθονέει. ἀνὴρ ἀγαθὸς γὰρ εὖ πρήσσων πόλιος καὶ παντὸς τοῦ δυναμένου τῆς εὐμοιρίης αὐτοῦ μεταλαγχάνειν κοινὴ εὐδαιμονίη.

35. Φθόνος ὁ κατὰ τῶν εὐδοκιμεόντων ἐπὶ τοῖς καλλίστοις ἀργῶν καὶ ἀπρακτῶν, τῶν δὲ ἀγαθῶν καὶ οἵων τι ποιέειν τι παρ' ἑωϋτῶν χρηστὸν οὐχ ἅπτεται.

36. Ἀνὴρ πολλὰ ἔχων χρηστὰ μαθήματα, ἔπειτα γνώμῃ πονηρῇ διαχρεόμενος, καὶ μὴ βουλόμενος τοῖς μεταποιευμένοις ὑπὸ φθόνου μεταδιδόναι, ἔοικεν ἀγγείῳ πονηρῷ, πολλὰ καὶ χρηστὰ ἔχοντι ἐν ἑωϋτῷ ἀποκείμενα, καὶ τὰ ἐνεόντα, πρὶν φανῆναι, διαφθείροντι. [34—36. Στοβ. λόγ. λη'. περὶ φθόνου.]

37. Πατράσι παῖδας ἐπιζώειν εὐτυχὲς, καὶ χρὴ τοῦτο παρὰ τῆς τύχης αἰτέειν, καὶ τοὺς μετὰ ταῦτα διαδεξομένους, καὶ ὅκως καὶ αὐτῶν ἕκαστοι τάξει τῇ εἰρημένῃ τοὺς πρὸ ἑωϋτῶν διαδεχοίατο. Κοινὴ δὲ εὐχὴ δικαιοτάτη αὕτη, ἂν περὶ πάντων φυλαχθείη ἐπιτηδεία μονὴ τοῦ μηκίστου τὴν ἀποδεχομένην ἑκάστοτε καὶ ἐκτρέφουσαν πάντας πατρίδα, καὶ δοῦσαν τοὺς προηγησαμένους, αὐτήν τε καὶ θεῶν τῶν ἐγχωρίων τὰς καθεστώσας τιμὰς τῷ πλεῦνι ἀεὶ ὑπερβάλλειν. [Στοβ. λόγ. λθ'. περὶ πατρίδος.]

38. Ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνατοῖσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

39. Τὰ κατὰ τὴν πόλιν χρεῶν τῶν λοιπῶν μέγιστα

cta exercitatio earum rerum, quae eam ad divinam similitudinem extollunt. [*Stob. Serm. XXX. de otio.*]

33. Homines magnum possident vallum dentium ad coercendos leves sermones. Verum enim vero in omni re judicio mentis indigemus, quae si verba non direxerit, saepius ante consultationem effugiunt; et tanto vallo neglecto citra judicium ante tempus foras ruunt. [*Stob. Serm. XXXVI. de garrulitate.*]

34. Si quis invidet bono viro fortunato, is etiam patriae ac toti reipublicae, denique sibi ipsi invidet. Nam vir bonus feliciter agens communis est prosperitas et civitatis, et uniuscujusque, qui felicitatis ejus particeps fieri potest.

35. Invidia adversus homines pulcherrimis rebus claros vitium est hominum otiosorum et inertium: probos vero et aliquid ex se ipsis boni producere idoneos non attingit.

36. Vir multis quidem scientiis eruditus, sed ob animi malitiam invidiamque nolens eas aliis desiderantibus communicare, similis est malo vasi, quod in se multa quidem et bona recondit, sed, antequam in conspectum veniant (usumque sui praebeant), corrumpit. [34—36. *Stob. Serm. XXXVIII. de invidia.*]

37. A morte patrum filios esse superstites, fortunatum et a fortuna petendum est, itemque ut ipsorum liberorum singuli eodem ordine naturae, minores natu majoribus succedant. Communis haec petitio justissima est, et summo omnium studio suscipi digna, ut patria, quae semper suscipit et alit omnes, et quae nobis majores nostros exhibuit, tum ipsa, tum deorum indigetum honores magis ac magis semper augeantur. [*Stob. Serm. XXXIX. de patria.*]

38. Paupertas in populari imperio tantum praestat felicitati sic dictae inter potentes, quantum servituti libertas.

39. Negotia publica civitatis omnium existimare

ἡγέεσθαι, ὅκως αὔξεται εὖ, μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικὲς, μήτε ἰσχὺν ἑωυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ κοινοῦ· πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι· καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σωζομένου πάντα σώζεται, καὶ τούτου φθειρομένου τὰ πάντα διαφθείρεται.

40. Τοῖς χρηστοῖς οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς ἂν ἔσχεν· εἰ δὲ ἀμελέοιτο τῶν δημοσίων τι, κακῶς ἀκούειν γίγνεται, καὶ ἢν μηδὲν (τις) μήτε κλέπτῃ μήτε ἀδικῇ· ἐπεὶ καὶ ἀμελέοντι ἢ ἀδικέοντι κίνδυνος κακῶς ἀκούειν, καὶ δὴ καὶ παθεῖν τι. Ἀνάγκη δὲ ἁμαρτάνειν, συγγινώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

41. Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς, ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἂν ἀκηδέες γίγνονται, καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται.

42. Ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμέωσι, καὶ ὑπουργεῖν, καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτείρειν ἔνεστι, καὶ μὴ ἐρήμους εἶναι, καὶ τὸ ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι, καὶ τοὺς πολίτας ὁμονόους εἶναι, καὶ ἄλλα ἀγαθὰ, ὅσσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

43. Πλοῦτος ἐν πόλει τῇ μελλούσῃ εὐδαιμονέειν ἀρετῆς μήποτε προτιμηθείη, ὅκως μὴ διὰ τοῦτο, ἐς τὴν ἐκείνου ἐπιθυμίην πάντων συῤῥεόντων, ὀλιγωρίη καὶ ἀνασκησίη ἀγετῆς ψυχαῖς ταῖς κατὰ πόλιν ἐμφυῇ· ἀρετῆς γὰρ ἀτιμαζομένης, πλοῦτος μοῦνος σπουδαζόμενος καὶ ἐνδυναστεύσας, ὕβριός τε καὶ ὑπερηφανίας ὑπηρέτης καὶ πάντων κακῶν (ὑπ' ἐξουσίης τε καὶ τοῦ ἀνεπιλήπτου .... τα..... ἀπεστώσης ἀρετῆς οὐδεὶς ἀνακαλέσαι) χορηγὸς γίγνεται.

44. Ἄρχουσιν ἡ ὀφειλομένη αἰδὼς καὶ τιμὴ φυλασσομένη κόσμον σώζει πόλιος καὶ διατηρέει. [38—44. Στοβ. λόγ. μά. περὶ πολιτείας.]

45. Τὸν τοῖς ἄλλοις ἐπιστατεύοντα καὶ ἐπιτάσσοντα χρὴ

oportet maxima, ut feliciter augeantur, neque praeter aequum contendere, neque potentiam sibi comparare privatam praeter publicum bonum. Civitas enim prospere agens felicitas est maxima. In hac insunt omnia, hac salva cuncta salvantur, hac pereunte nihil non pessum it.

40. Bonis non expedit, rebus suis neglectis, alias agere: propriae enim interim male haberent. Si quid autem publicum negligatur, infamia accedit, etsi quis neque furtum, neque injuriam ullam committat. Etenim negligenti non minus quam injuriam facienti periculum est cum male audiendi, tum etiam patiendi. Fieri quidem non potest, quin peccata admittantur, veniam autem impetrare homines non facile fieri potest.

41. Improbi ad honores promoti, quo fuerint indigniores, hoc et negligentiores fiunt impudentiaque magis et audacia pleni.

42. Ubi potentes pro tenuioris fortunae hominibus sumptum facere sustinent, eisque ministrare et gratificari, ibi misericordiae locus est, nullus civium deseritur, mutua societas, defensio et concordia nascuntur, atque alia bona tot tantaque, ut nemo verbis exprimere possit.

43. In civitate studiosa felicitatis numquam opes anteponi debent virtuti, ne hanc ob causam omnibus divitiarum desiderio captis, contemptus et neglectio virtutis innascatur animis in republica. Nam ubi virtus spernitur, unicum supererest divitiarum studium ac praepollet, quod contumeliae et superbiae subservit, (quod et potentes sunt et metuunt neminem, abeunteque virtute nemo eorum delicta revocare potest) omne malorum genus producit.

44. Civitatis decus custoditur et conservatur, cum magistratui reverentia et honores debiti integri manent. [38—44. *Stob. Serm. XLI. de republica.*]

45. Illum, qui aliis praeest et praecipit, non pote-

οὐ τῇ ἐξουσίῃ μούνῃ τοῦ ἐπιστατέειν τε καὶ ἐπιτάσσειν, ἀλλὰ ἀξίῃ καὶ γνώμῃ προέχειν τῶν ἐπιτασσομένων.

46. Πρὸς τοὺς παρὰ δίκην ζῶντας, ἔπειτα ἀξιεῦντας ἄλλων ἡγέεσθαι, ἀπειθέες ἄνθρωποι· εὐπειθίην δὲ εὐπετέα ἐπὶ τὰ παραγγελλόμενα ἑωϋτῷ καὶ ἄλλῳ παρὰ τῶν ἀρχομένων παρασκευάζει ἅπας, ὅγε παρ' ἑωϋτοῦ τὰ δέοντα σπουδῇ ποιέειν ἐπιστάμενος, καὶ παράδειγμα τῶνπερ χρὴ πρήσσειν τοῖς ὑποτεταγμένοις ἑωϋτὸν παρεχόμενος.

47. Ἄρχοντος ἀγαθοῦ κέρδος μοῦνον τοῦτο οἰκήϊον καὶ μυρίων κερδέων ἀντάξιον, πάντα μὴν πρήσσειν, ὥστε καὶ παρὰ τὸν καιρὸν τῆς ἀρχῆς καὶ παυσάμενον πάντα χρηστὰ καὶ δικαιοσύνην παρὰ τῶν ἀρχθέντων μαρτυρέεσθαι.

48. Ἀνὴρ ἄρχων καὶ ἰδιώτης δὲ ἅπας ἴστω ἀπὸ τῆς φύσιος τῶν πρηγμάτων, ὁκοῖα ἂν αὐτὰ παρέχηται, τοιαύτης καὶ τῆς ἐπ' αὐτοῖς μνήμης, ἤτοι ἀγαθῆς ἢ πονηρῆς τευξόμενος. Καὶ τοῦτο ἐπιφρασθεὶς, οὕτω κυρεέτω ἐφ' ὁκοτέραν τῶν ὁδῶν, καὶ τὴν ἐφ' ὁκοτέραν τῶν μνημέων ἄγουσαν τρέπηται, καὶ κοίην αὐτέων τῶν μνημέων αὐτῷ ἄμεινον προτιμῆσθαι.

49. Ἀρχὴν ἔχων μὴ ἀπομνησικάκεε πρὸς τοὺς ἐν διχοστασίῃ σοι πρότερον γεγενημένους. Οὐ γὰρ ὅπως ἀμύνης ἔχθρην ἐπὶ τὴν ἀρχὴν ἀρηρημένος, ἀλλ' ὅπως καὶ τῆς παρ' ἄλλων ἐπιβουλῆς ἀσφαλέας καὶ ἀνεπιβουλεύτους φυλάξῃς τοὺς ὑπὸ σοὶ τεταγμένους, καὶ ὅπως τοῦ ὀρθοῦ φύλαξ εἴης, καὶ θεοῦ μεγάλης Δικαιοσύνης ὑπηρέτης τε καὶ ἐξηγητής· ὥστε παρὰ τὰ αὐτῇ δοκέοντα ποιέων, καὶ αὐτῆς καταψευδόμενος, ὡς ἐς θεὸν μεγίστην ἁμαρτάνων, καὶ παρ' αὐτῆς καὶ τῶν περὶ αὐτὴν τεταγμένων δαιμόνων ἐφόρων τε καὶ τιμωρῶν εἶναι τῶν ποιουμένων μῆνιν, προσδέχεο.

50. Μεταξὺ ἐχθρῶν δικάζων τοῦ δικαίου γίνου ἐξεταστής; καὶ πρὸς τοῦτο ῥέπε τῇ κρίσει. Δικαιοσύνη γὰρ καὶ δαίμων ὁ τούτων ἔφορος τοῦ ἔχθρῃ χαρίζεσθαι προτετιμῆσθαι δικαιότεροι.

51. Ἐν ἀρχῇ ἐὼν, ἔπειτα ἔχθρης μεμνημένος, τῇ χει-

state solum regendi et imperandi, sed dignitate prudentiaque subditis antecellere convenit.

46. Homines inobedientes sunt illis, qui cum injuste vivant, aliis praeesse volunt. Obedientiam autem facilem ad ea, quae princeps vel ipse vel per alium praecipit, apud subditos efficiet quivis, qui, quae ipsum facere docet, diligenter exsequitur, et eorum, quae agere convenit, subditis sese exemplum praebet.

47. Boni principis hoc unum proprium est lucrum et instar infinitorum aliorum, omnia sic facere, ut et in ipso imperii tempore, et post id, justitiae ac virtutum omnium a subjectis testimonium habeat.

48. Vir princeps et privatus quilibet intelligat, quod, qualis fuerit ipsarum rerum actionumve, quas agit, natura, talem quoque ex ipsis memoriam et famam, vel bonam, vel malam, consecuturus sit. His consideratis ita demum decernat, utram ambarum viarum ingrediatur, utrum eam, quae perducit ad infamiam, an quae ad memoriae splendorem, et utram illarum famarum alteri anteponere ipsi melius sit.

49. Principatum gerens ne reminiscaris inimicitiarum et dissensionum, si quae tibi prius cum aliquibus intercesserunt. Non enim ad principatum elatus es, ut te ipsum ulciscereris, verum ut imperio tuo subditos etiam ab aliorum insidiis securos atque tutos custodires, et ut custos esses recti et magnae deae Justitiae minister ac interpres. Itaque si quid admiseris praeter ejus sententiam, et deceperis ipsam, velut in deam maximam delinquens, tum ab ipsa, tum a constitutis circa eam geniis custodibus et ultoribus pro factis vindictam exspectato.

50. Inter inimicos judex constitutus, jus examina et sententiam ad ejus momentum inclina. Justitia enim et praefectus ei genius digniores sunt, majorisque haberi merentur, quam ut inimicitiae gratificeris.

51. Si constitutus in magistratu inimicitias me-

ρονι μοίρᾳ σεαυτὸν νεμέεις, καὶ τῆς ἀπαιτεομένης ἐν τῷ ἄρχοντι σεμνότητος ἑωϋτὸν ἀποστερήσεαι παρὰ τῶν ξυνεπισταμένων, ὅτι ἔχθρῃ διδοῖς, ἀντὶ τῶν σεμνοτάτων οὐνομάτων, ἀντὶ δικαστοῦ καὶ ἄρχοντος τὸ εὐδιαβλητότατον οὔνομα ἀντιλαβὼν, τῶν δικαζομένων ἐχθρὸς κεκλήσεαι.

52. Τοῦ ἐπιτιμᾷν τινι θανάτου ζημίην τὴν ἐξουσίαν εἶναι ἡγέομαι οὐκ ἐν τῷ κύριόν τινα εἶναι τοῦ τοῦτο καταψηφίσασθαι, ἀλλ' ἐν τῷ οἷόν τε εἶναι τὸν ἔχοντα τὴν ἐξουσίην ἑωϋτοῦ κρατέειν, ἐν οὕτω ἀσφαλεστάτῃ ὀφειλεούσῃ εἶναι κρίσει· καὶ ἐς ὁμογενίας, εἴ τι ἁμαρτηθείη, οὐχ οἷόν τέ ἐστιν ἔτι ἀνακαλέσασθαι γιγνομένης τῆς ἁμαρτάδος.

53. Ἃ τοῖς ἄλλοισιν ὡς φαῦλα ἐπιτιμᾷς, ταῦτα πρότερον αὐτὸς ποιέειν φυλάσσεο.

54. Ἄνθρωποι ἀνθρώπων ἐπὶ κατηγορίας ἀφικνέονται· οἱ μὲν ἐκ συγκειμένων ψευδῶν ἐγκλημάτων· οἱ δὲ ἀληθέα κατηγορέοντες· οἱ δ' αὖ ἐπαινέουσιν, οἱ μὲν τὰ ἐόντα μαρτυρέοντες, οἱ δὲ παρὰ τὸ ἀληθὲς χαριζόμενοι. Ἄριστον οὖν ἐν τοῖς τοιούτοις καὶ ἰδιώτῃ καὶ ἄρχοντι, μήτε αὐτὸν πιστεύειν αὐτόθεν, μήτε ἀπιστέειν παντελῶς, ἐκ δὲ τῶν πραγμάτων ἐξεταζομένων, ὅκως χρὴ περὶ αὐτῶν διανοέεσθαι, καὶ τὸ ἀτρεκὲς αὐτῶν μανθάνειν.

55. Ἀρχὴν ἔχων κόσμεε· αὐτὸς δὲ μὴ μεταβάλλεο· οὐδὲ γὰρ προσελάβηκάς τι οὐκ ὤν, οὐδὲ παυόμενος ἔλασσόν τι τῶν πρὶν καὶ λαβεῖν εἶχες, εἰ γενόμενος τὴν ἀρχὴν καταθήσεαι.

56. Ἀρχὴν λαβὼν μὴ ἐπαίρεο, αὐτὸς δὲ διατέλεε· οὕτω γὰρ καὶ ἀποθέμενος οὐκ ἀφῃρῆσθαι τοῦ σεμνύνοντός σε νομισθήσεαι.

57. Ἀνὴρ ἀγαθὸς ἔθνεός τευ ἢ πόλιος ἀρχὴν εἰληφὼς, οὐχ ἕνεκά γε τῶν δημοσίων χρημάτων, καὶ τοῦ δωροδοκέεσθαι, καὶ τοῦ παρὰ τῶν πλουσίων χρηματίζεσθαι, ἔοικε τῷ ἀνδρὶ παρακαταθήκην εἰληφότι μεγάλων χρημάτων. Ὥσπερ γὰρ καὶ ἐκεῖνος οὐκ ἐπὶ τὸ κατασχεῖν λαμβάνει, οὐδὲ κτῆμα ἴδιον ποιήσασθαι τὰ δοθέντα, ἀλλ' ὥστε φυλάξαι καὶ ἀποδοῦναι σῶα τῷ αὐτὰ παραθεμένῳ, ἐπεὰν ἀπαιτέηται, οὕτω

mor fueris, in deteriorem conditionem te ipsum das: et gravitate ac sanctitate, quae requiritur in principe, te ipsum privabis apud conscios tibi, quod inimicitiae indulgeas, et pro sanctissimis nominibus, pro judice inquam ac principe, turpissimo nomine inimici causam agentium appellandus sis.

52. Morte damnandi potestatem in eo sitam esse puto, quod quis dominus sit sententiam contra aliquem ferendi, sed in hoc, quod, qui potestatem habet, sibi ipsi imperet. In judicio certe tali, quod in ejusdem naturae nobiscum homines fit, nisi maxime circumspectus fuerit judex, si quid peccatum fuerit, non revocare nec emendare licet.

53. Quae in aliis ut mala reprehendis, ea tumet facere cave.

54. Homines se mutuo accusant, aliqui composito falsis criminibus, alii vera incusantes. Contra aliqui laudant, aliqui, ut res est, testantes, nonnulli veritate neglecta gratificantes. Optimum igitur fuerit, ut sive privatus quispiam, sive princeps hujusmodi verbis non facile aut statim credat, nec omnino non credat: sed rebus ipsis examinatis, quid de ipsis sentiendum sit, ac veritatem ipsam scrutetur.

55. Principatum, quem geris, ornes: te ipsum vero non immutes. Neque enim per magistratum tibi quicquam accessit, neque eo deposito decedet.

56. Magistratum nactus ne extollaris, sed idem permaneas, qui ante: sic enim deposito quoque magistratu non privatus existimaberis eo, quod te illustraverit.

57. Vir bonus, qui gentis alicujus aut civitatis imperium suscepit, non propter fiscum aut dona capiendi, aut a divitibus pecuniam comparandi causa, similis est homini, qui pretiosum aliquod depositum accepit: ut hic enim, quod datur, non retinendi, aut sibi vindicandi gratia sumit, sed ut custodiat et integrum reddat ei, qui deposuit, quandocumque repetiverit; ita principem

δὲ καὶ αὐτὸν χρή, οὐκ ἐπὶ κέρδεσιν οἰκείοις, ἀλλ' ἐπὶ σωτηρίῃ καὶ φυλακῇ πάντα πρήσσειν τῶν ἀρχομένων, ὥστε αὐτούς, τὸ εἰς ἑαυτὸν ἧκον, ἀσινέας καὶ εὐθηνέοντας ἀποδοῦναι τῷ καταπεπιστευκότι.

58. Ἀνὴρ ἀνυποίστους καὶ ἀγρίας καὶ ἀμέτρους ζητέων τὰς τιμωρίας, καὶ ταῖς κατὰ νόμον οὐκ ἀρκεύμενος, θυμῷ ἀλόγῳ ξυγχωρέων, καὶ γυναικείως ἐμπικραινόμενος, οὐκ αἰσθάνεται ἔξω τῆς δίκης ἐς τὸ ὁμογενὲς ἐξυβρίζων, ἀγνοεῖ δὲ τὸ μέγιστον (καί τοί περ χρὴ εἰδέναι πάντα τὸν μέλλοντα ἀνθρώπου καταδικᾷν), ὅτι καὶ ὁ θάνατος αὐτὸς παρὰ τῶν πρώτως δικαιωσάντων οὐχ ὥς τι κακὸν ἐπετιμήθη, ἀλλ' ὡς ἔσχατον, καὶ ἐν φαρμάκου λόγῳ κατὰ τῶν οὐ δυναμένων τῆς κακίης ἐλευθερωθῆναι, ὅπως, ἐπειδὴ οὐχ οἷά τε ἦν ἄλλως, τούτῳ γε οὖν τῷ τρόπῳ ἀπολυθέντες τοῦ ἐνθαῦτα δεσμοῦ αὐτῆς πορίσωνται φυγήν. [45—58. Στοβ. λόγ. μδ'. περὶ ἀρχῆς.]

59. Ἄνθρωποι ἰσχὺν καὶ ῥώμην καὶ τάχος μοῦνα ἀσκέοντες, καὶ ὅκως, ταῦτα ἔχοντες, ἀπὸ τούτων μούνων εὐδοκιμέωσιν ἐσπουδακότες. Τοῦ δὲ τῆς ψυχῆς ἐπιμέλεσθαι, οὗ ἕκατι γιγνόμενοί ἀγνοεῦσι. Καὶ τούτων μὲν ὁκόσα κοινὰ πρὸς θηρία ἔχουσι καὶ τῶν πολλῶν ἀσθενέστερον, τούτων μὲν ἐπιμελόμενοι, τοῦ δὲ ἐν ἑωϋτοῖσι θειοτάτου, καὶ καθότι αὐτοῖς ἐστιν, εἰ οἷόν τε, τοῖς θεοῖς ἐξομοιόεσθαι, ἀμελέοντες.

60. Θάρσος τὸ πρὸς τὰ φοβερὰ σὺν λόγῳ αἴνει· ἀνδρηΐα γάρ· τὴν δὲ μετὰ ἀλογίης ἐπ' αὐτὰ ὁρμὴν θράσος νόμιζε καὶ ἀποστύγεε. [59. 60. Στοβ. λόγ. να'. περὶ στρατείας καὶ ἰσχύος.]

61. Γάμου ἀρίστη ξυμφωνίη, ἀμφοτέρους σωφροσύνην ἀσκέειν. [Στοβ. λόγ. οβ'. γαμικὰ παραγγέλματα.]

62. Θεοὶ ὅτι ἔασιν, οὐ χρὴ διζέεσθαι, αὐτόθεν δὲ ἄρεστον πεπιστευκέναι. ζητήσιος γὰρ προσθείσης καὶ ὁ τῷ

quoque non ad quaestum privatum, sed salutem custodiamque subditorum, omnia facere oportet; sic ut ipsos, quoad efficere potest, illaesos et in felici statu ei, qui credidit, restituat.

58. Quisquis intolerabiles, crudeles et immoderatas poenas exquirit, legitimis non contentus ac belluinae iracundiae locum dans, instarque mulierum exacerbatus, non intelligit, se praeter fas in ejusdem naturae genus contumeliosum esse. Ignorat etiam, quod maximum est (et quod quemvis adversus reos pronuntiaturum scire oportebat), nempe quod mors ipsa ab iis, qui primitus leges juraque constituerunt, non ceu malum aliquod sontibus impositum sit, sed tanquam extremum praesidium, et loco medicamenti pro illis, qui a malitia liberari nequeunt, ut hoc saltem modo, quoniam aliter fieri non potest, in praesentia liberati malitiae vinculo, ipsam effugiant. [45—58. *Stob. Serm. XLIV. de magistratu.*]

59. Homines viribus tantum, robori et velocitati augendis student, et quo pacto haec habentes ex ipsis solis clari fiant: animum vero, per quem existunt, negligunt, ignorantes, se illa solum excolere, quae cum brutis communia habent, et quidem imbecilliora, quam multa ex brutis: divinissimam vero sui partem, et secundum quam diis aliquo modo similes reddi possent, neglectui habere.

60. Animi fiduciam in periculis cum ratione conjunctam laudato, impetum vero ad ea sine ratione audaciam (temeritatem) vocato et odio habeas. [59. 60. *Stob. Serm. LI. de militia et viribus.*]

61. Optimus consensus est nuptiarum, si uterque conjux temperantiam exerceat. [*Stob. Serm. LXXII. Nuptialia praecepta.*]

62. Non quaerendum est, an dii sint, sed protinus credere praestat. Nam quaestione proposita, etiam ille, qui impiissimam opinionem defendit, nempe deos non

ἀνοσιωτάτῳ τῶν λόγων, τῷ μὴ εἶναι αὐτοὺς, συνιστάμενος ἐθέλει κρατέειν. [Στοβ. λόγ. οη΄. περὶ Θεῶν κ. τ. λ.]

63. Πολλοὶ τῶν ἀνθρώπων, ἐπειδὰν δοκέωσι παρ᾽ ἀξίαν πρήσσειν, δυσανασχετέοντες, ἔπειτα δεινολογεόμενοι πρὸς ἑωϋτοὺς καὶ τοὺς πλησιάζοντας, τοιάδε διαλέγονται· Ὁ μὲν γαμέει, καὶ ἐξ οἴκων τῶν εὐδαιμόνων· ἐγὼ δὲ ἄγαμος· καὶ ὁ μὲν οἰκίην ἔχει μεγάλην, καὶ οἰκοδομέει μεγαλοπρεπῶς, καὶ ἀγροὺς κέκτηται πολλούς· ἐγὼ δὲ ἀνέστιος καὶ ἀκτήμων· καὶ τῷ μὲν πάρα πολλὰ χρήματα· ἐμὲ δὲ ἀχρηματίη πᾶσα ἔχει· καὶ ὅδε μὲν καὶ ὅδε ἄρχουσι καὶ τετιμέαται· τὸ δ᾽ ἐμὸν ἐν ἰδιώτεω λόγῳ καὶ ἀτίμῳ. Πρὸς οὓς χρὴ παραμυθεύμενον τάδε λέγειν, ὡς οὐ χρὴ ἐπ᾽ ἄλλων εὐτυχίῃ ἄχθεσθαι, ἀλλὰ ἥδεσθαι διὰ τὸ ὁμογενές· εἰδέναι δὲ, ὅτι καὶ αὐτοὶ πολλῶν, ἔς τε τὰ ἑαυτῶν ἐγκύψαντες, καὶ τὰ ἐκείνοις παρεόντα ἐπιφρασάμενοι, εὑρίσκουσιν ἑωϋτοὺς ἄμεινον πρήσσοντας, καὶ ὅτι οὐδεὶς ὑπὸ τῆς τοῦ πέλας εὐτυχίης τῆς ὀφειλευμένης ἑωϋτῷ εὐπρηγίης ἀποστερέεται. [Στοβ. λόγ. ρε΄. περὶ τῶν παρ᾽ ἀξίαν δυστυχούντων.]

64. Ἀνιηροῦ τευ προσπεσόντος, ἔπειτα χαλεπαίνειν τοῖς θεοῖς, μεῖζον κακόν ἐστι ζητέειν.

65. Ἀνιηροῦ τευ προσπεσόντος, εἴ τι τοῦ παρεστεῶτος ἐστὶν εὑρεῖν μεῖζον, ἐπιλέγεο, καὶ εὑρὼν, ὅτι μὴ ἐκεῖνο, ἀλλὰ τὸ μεῖον ἔχεις, ἀσπάζεο. [64 et 65. Στοβ. λόγ. ρκγ΄. Παρηγορικά.]

66. Θεοῦ ἐξ ἀρχῆς φήναντος τῷ γένει τῶν ἀνθρώπων κατὰ τὰ φατιζόμενα ὄψεις οὔσας διαφανέας, ὁδοὶ διφάσιαι προκέαται βίου ψυχαῖς ἀνθρώπων, ἀδαμαντίνῃ αἱμασιῇ παχυτάτῃ καὶ εἰς πολλὸν ὕψος ἀνηκούσῃ, κατὰ τὰ ὑπὸ τοῦ ἐξ ἀρχῆς φήναντος, ἀπ᾽ ἀλληλέων τὰ πρῶτα διειργόμεναι. Καὶ ἡ μὲν αὐτέων ἐστὶν (ὁκοία δὴ τὴν τιμιωτέρην τάξιν λαχοῦσα) ἐκ δεξιῆς χειρὸς εἰσιόντων. Αὕτη ἐπὶ τὴν ἀρετὴν αὐταῖς ἡγέεται, ἑτέρη δὲ λαιῆ οὖσα, ἐπὶ τὴν κακίην ἐστὶ παραπέμπουσα. Φατίζονται δὲ εἶναι τοιαίδε· ἡ μὲν τῆς ἀρετῆς τὰ πρῶτα οὐκ εὐήλατά πως παρέχειν δοκέει,

esse, superare conatur. [*Stob. Serm. LXXVIII. de diis etc.*]

63. Multi homines, cum fortunam sibi injuriam esse putant, aegre ferentes, ac insuper quiritantes apud se et alios, qui accedunt, hujusmodi verbis utuntur: Iste uxorem ducit, idque ex familia fortunata; ego interim matrimonii expers ago: Iste domum permagnam habet, aedificat candide, et agros multos possidet; ego sine domo, sine possessionibus vivo: Isti pecunia abundant, me omnimoda pecuniarum inopia premit: Ille et ille magistratum gerunt et honorantur; ego privatus et sine honore dego. Tales homines hunc in modum dicendo solari oportet: Non esse dolendum ob aliorum felicitatem, sed gaudendum, ut qui generis et naturae sint ejusdem: et quod agnoscere debeant, sibi quoque multa esse commoda, ita ut, si sua inspexerint penitius et rursus ea, quae aliis permultis adsunt, considerent, melius secum agi quam cum illis deprehensuri sint; et quod nullus ob alterius prosperitatem sibi debita felicitate privetur. [*Stob. Serm. CV. de iis, qui indigne miseri sunt.*]

64. Qui, cum molestum aliquid incidit, diis irascitur, is majus sibi malum quaerit.

65. Cum molestum aliquid ingruit, quaere, numquid aliud praesenti molestia gravius usquam appareat: quod si apparuerit, gaudeto praesente tanquam minore malo. [64. 65. *Stob. Serm. CXXIII. Consolatoria.*]

66. Cum deus, ut supra dictum est, ab initio hominum generi visiones ostenderit insignes, duo quoque vitae itinera hominum animis proposita sunt, maceria statim adamantina densissima et altissima, ut primus adspectus fert, inter se distincta. Alterum quidem eorum, ut honestius, intrantibus est ad dextram manum, atque ad virtutem quidem hoc ducit: alterum autem ad laevam ad vitiositatem tendit. Dicuntur autem esse tali natura, ut via virtutis primum quidem incommoda

οἷα τε μένται εὐτυχεῖ πόνῳ ἀνυσθῆναι· ἀλλὰ καὶ τοὺς κατηγεομένους ἔχει καὶ παραπέμψαντας ἀκινδύνως· τὸ δὲ μετὰ τοῦτο ἐστὶν ὁδὸς ἰθέη τε καὶ εὐρέη μέχρι τῆς ἐπὶ τὴν ἀκρόπολιν αὐτοῦ τοῦ καλοῦ· ἐπ' ἣν ἀνελθὼν ἐν τοῖς καλλίστοις ἔσεαι, καὶ θέῃ ἄλλων τε μυρίων ἀγαθῶν, καὶ τῶν εὐδαιμονεστάτων, ἀτὰρ δὴ καὶ φωτὸς, παντὸς τοῦ λοιποῦ κάλλει μυρίῳ προήκοντος καὶ αὐγοειδεστάτου. Πέριξ δὲ καὶ περὶ πᾶσαν γῆν ἀναπεπταμένην αἱ πόλιες ἔασι, καὶ οἱ τὴν γῆν κατοικέοντες καὶ ἐργαζόμενοι, περὶ ὧν ὡς ἕκαστα ἔχει, ὁ ἐπὶ συμβουλίην τῶν ψυχέων προπεμφθεὶς ἐρέει λόγος. Καὶ ἥδε μὲν ὧδέ κως ἔχει· ἡ δὲ ἐπὶ κακίην ἄγουσα, ἔστι λείη τὰ μὲν κατ' ἀρχὰς, ὡς ὀλίγου πάγχυ καὶ τούτου οὐ γνησίου, ἀπατηλοῦ δὲ καὶ ἐπὶ παραγωγῇ τῶν προσιόντων, γεῦσαι αὐτοὺς τοῦ ἡδέος· ὥστε, καὶ μηδενὸς μετὰ ταῦτα ἡγεμόνος εὑρισκομένου, εὐθὺς ἄγειν εἰς ὁδὸν σκολιὴν, σκόλοπάς τε ἔχουσαν, οἵτινες δὴ ὀξέες, μεγάλοι καὶ πυκνοὶ καταπεπήγασι, καὶ χαράδρας καὶ κρημνοὺς, κατὰ κεφαλῆς ὠθέοντας τοὺς πορευομένους κατὰ τοῦ συμφήσοντος καὶ παρασυρέοντος τοὺς κατενεχθέντας ἐπ' αὐτὸν ποταμοῦ, κάτω βορβόρῳ καὶ λίθοις ῥέοντος· ὥστε πολλοὺς εὐθὺς οὕτω διαφθείρεσθαι, οἱ δὲ λοιποὶ τύχῃ, οὔτ' ἄφ' οἰκείῃ προμηθείῃ, ἐπὶ τὰς αὐτόθι ἐούσας πόλιας διασκεδαννύαται ἄλλοι ἄλλοσε, καὶ ἐπὶ πᾶσαν, πολλὴν ἐοῦσαν, τὴν χώρην, περὶ ὧν δὴ καὶ αὐτῶν ὁ προειρημένος ἄγγελος ἀφηγήσεται. Τουτέων ἐουσέων ὁδῶν τοιουτέων, ἄγει ὁ προειρημένος, καὶ ἔστιν ἐν μέσῳ Θεοῦ μεγάλου κῆρυξ, σύμβουλός τε Λόγος, ψυχαῖς τε ταῖς μελλούσαις κατιέναι τοιάδε προφανέει· Ψυχαὶ ἀνθρώπων, φύσιν ἔχουσαι θνηταί τε εἶναι καὶ ἀθάνατοι, καὶ ζωῇ μὲν τῇ ἐπὶ γῆς νομιζομένῃ θανάτῳ ἐγκυρέουσαι, θανάτῳ δὲ τῷ δοκέοντι αὐτόθι ζωὴν ἀπολαμβάνουσαι, ἐπὰν, χρόνου τοῦ τεταγμένου ὑμῖν ἀνυσθέντος, αὖτις ἀπολυθῆτε σώματος, τοῦ ἐν τῷ αὐτόθι θανάτῳ ὑποδεξαμένου ὑμέας, διαδέξονται αὖτις ὑμέας τρόπον τῆς ἐπὶ γῆς ζωῆς βίοι οἱ ὀφειλόμενοι· καὶ διὰ τοῦτο παραινέω, θεοῦ μεγάλου Ἑρμέω καὶ θεῶν λοιπῶν προφήτης τε καὶ σύμβουλος λόγος, καὶ ἀπειθεούσαις μὲν προλέγω ἄθνητα κακὰ, πειθομέναις δὲ ἀγαθὰ ἔσεσθαι

esse videatur, ita tamen, ut improbo labore superari possit. Neque ducibus, sine periculo comitantibus, esse destitutam; mox vero via praeclara et lata est, usque ad ipsam arcem virtutis, qua conscensa, in locis praeclaris eris, et spectaculo frueris tum infinitorum aliorum bonorum et summae felicitatis, tum lucis reliqua omnia pulcherrime ac splendidissime collustrantis. Undique vero per terram visuntur urbes, ac terrae incolae et cultores, de quibus omnibus genius ad consilia animis danda missus disserit. Et haec quidem ita se habent. Via contra ad vitium ducens principio quidem lata est, ut, qui eam ingrediantur, brevem omnino nec sinceram, sed falsam atque ad ipsorum perniciem dulcedinem gustent; cum autem duce destituta sit, mox in tortuosam viam deflectere, vallis acutis, densis ac altis, ut et voraginibus et praecipitiis refertam, in quae multi viatorum praecipites dati in fluvium coeno ac lapidibus repletum, dejectos secum rapientem eosque atterentem incidant; ut multi ex iis adeo statim ibi pereant, reliquis non consilio, sed casu in proximas urbes et regionem totam dispersis, de quibus itidem supra commemoratus disseret angelus. Quae cum ita se habeant, animas descendere parantes dei praeco, consultor *Λόγος*, supra dictus, sic in medio constitutus praemonet: Animae hominum, natura vestra tum mortis tum immortalitatis participes, quae vitam, quam in terra sic vocant, morte lucramini, morte autem terrena vitam, cum elapso tempore praefinito solvemini corpore, qui ibi in statu mortis (terrena nempe vita) inclusi fuistis, aliae iterum vitae terrenis similes pro meritis vestris vos manent. Quocirca vos praemoneo, Mercurii et reliquorum deorum vates et consultor *Λόγος*, ac contumacibus quidem immortalia mala, dictis autem obedientibus divina bona eventura praenuntio. Quare non decet falsae et futilis voluptatis gratia summa et

τοῖς τῶν θεῶν ὁμοιεύμενα. Οὐ χρὴ οὖν βραχυτάτης κιβδήλου τε καὶ εὐδιασκεδάστου τῆς ἡδονῆς ἕνεκα κακὰ μεγάλα καὶ τὸν πάντα παραμένοντα χρόνον αἱρέεσθαι, καὶ βίῳ τῷ βραχυτάτῳ βίον βλάψαι τὸν μετὰ ταῦτα μακρότατον, οὐδ᾽ αὖ πόνον ὀλίγον καταδεισάσας ἀγαθὰ μεγάλα, καὶ τὰ παραμένοντα τὸν πάντα χρόνον, καὶ εὐδαιμονίην βιοτῆς μηκίστης τῆς μετὰ ταύτης προϊέσθαι. [Στοβ. Ἐκλογ. β'. κεφ. θ'. ὅτι οὐδεὶς ἄκων πονηρός.]

ΑΔΕΣΠΟΤΟΝ.

Καὶ μήκοτε μὲν διενεχθείην πρὸς τοὺς οἰκειοτάτους, διενεχθεὶς δὲ διαλλαχθείην ὡς τάχιστα. Μηδενὶ ἐπιβουλεύσαιμι, ἐπιβουλευόμενος δὲ (ἄνευ ἀνάγκης τι ἂν δρᾶσαι ἀνήκεστον) ἀπαθὴς διαφύγοιμι. Ὀργῆς κρατοίην. Ἐρφόην καὶ ἐπιθυμέοιμι καὶ τυγχάνοιμι μούνων τῶν καλῶν· τῶν δὲ ἀπ᾽ ἐναντίας τῆς ἐπιθυμίης μηδὲ (ἁμαρτὼν κοτε, ὥστε εὔξασθαι) τύχοιμι. Βουλοίμην πάντας εὐτυχέειν, φθονήσαιμι δὲ οὐδενὶ τῶν εὐτυχεόντων. Μήκοτέ τις ἐμὲ τῶν νομιζομένων παραλόγως εὖ πρήσσειν ἐκπλήξειε μηδ᾽ ἀνιήσειε· τί γὰρ δεῖ τοῖς παρὰ τῆς τύχης δεδομένοις φθονέειν; φίλοι δέ με, καὶ οἱ κατ᾽ ἀξίην εὐτυχέοντες εὐφραίνοιεν. Μήκοτε τῷ ἀπὸ οἰκείης γνώμης ἐχθρὴν κατ᾽ ἐμοῦ ἐπαναλομένῳ δυστυχήσαντι ἐπησθείην. Μήκοτε συγγνοίην ἐμαυτῷ κακοῦ τευ τινὶ αἰτίαν παρασχόντι· λαθών κοτε ἐμεωϋτὸν ὡς παρὰ μέλος ἤτοι τὶ εἴπας, ἢ πράξας, μὴ περιμείναιμι τοὺς μωμησομένους καὶ ἐπιπλήξοντας, αὐτὸς δ᾽ ἐμαυτὸν μωμησαίμην μέχρι τοῦ ἀκέσασθαι. Εἰδείην γενναίως φέρειν τὰ προσπίπτοντα· καὶ τὰ μέτρια ἐκδεχοίμην, ὥσπερ αὐτῶν ἔχει ἡ φύσις, τοῖς δὲ ὑπερβάλλουσι μὴ καὶ τὸ παρ᾽ ἐμὲ αὐτὸς προστιθείην. Εὐτυχίην εἰδείην φέρειν σωφρόνως· μήκοτε ὑπὸ εὐπρηγίης εἰς

perpetua mala comparare, nec vita brevissima vitam sequentem longissimam corrumpere, nec etiam exigui laboris formidine magna et perpetua bona, vitaeque longissimae beatitudinem perdere. [*Stob. Eclog. Lib. II. Cap. IX. Neminem invitum malum esse. pag.* 410. *seqq. ed. Heeren.*]

INCERTI SCRIPTORIS IONICI
(fortassis Eusebii)

FRAGMENTUM.
(Conrado Gesnero interprete.)

NUNQUAM equidem dissidere me velim a familiarissimis; sin dissidium intercedat, quamprimum reconcilier, velim. Absit, ut cuique insidias struam, insidiis vero petitus utinam elabar immunis ab omni perturbatione, minime malum quid et irrevocabile perpetrare coactus. Utinam iram temperem; amem, desiderem et assequar sola bona. Quae vero sunt cupiditatis pravae, ea nec per errorem optanti contingere velim. Optem omnes felici fortuna uti, nulli vero invideam ex his, qui fruuntur prospera fortuna. Nunquam quisquam me eorum, qui habentur temere fortunati felicesque, attonitum faciat, neque tristitia afficiat. Quid enim attinet haec, quae fortuna largita est, invidere? Amici potius me, quique pro dignitate rebus secundis utuntur, exhilarent. Nunquam etiam ei, qui sponte odium suscepit contra me, gestiens insultem. Nunquam mihi ipsi conscius sim, quod occasionem ullius mali cuiquam praebuerim. Si quando ignorans quicquam vel dixero vel designavero, ne exspectem, dum alii carpant et objurgent, sed ipse me potius vituperem, donec emendetur. Norim fortiter ferre casus, et mediocria accipiam, prout eorum fert natura, quae vero excedunt modum, caveam, ne ipsis aliquid mea culpa addam. In rebus prosperis velim esse modestus, ne quando successu re-

ὑπερηφανίην ἄλογον ἀερθείην. Πλοῦτον νομίζοιμι τὸν ἀρκέοντα βίῳ τῷ σώφρονι· ἄπαυστον καὶ ἀκόρεστον ἐπιθυμίην χρημάτων μὲν μήκοτε ἔχοίην, μούνων δὲ δι' αὐτῶν ὠφελεόντων τὴν ψυχὴν μαθημάτων ἐθέλοιμι ἅλις ἔσεσθαι. Νικῴην νίκην τὴν καὶ ἐμοὶ καὶ τῷ προσδιαλεγομένῳ ἀβλαβέα· φιλοτιμέεσθαι παρὰ καιρὸν πρὸς φίλους καὶ ἐν ταῖς ζητήσεσι φυλασσοίμην· μήκοτε καὶ παρὰ τὸ ἐμοὶ δοκέον ἐν ταῖς ζητήσεσι τῆς νίκης ἕνεκα ἔριν ἀσπασαίμην· μήκοτε ἐπὶ βλάβῃ τοῦ ἀληθέος, καὶ ὥςτε παρ' ὃ αὐτὸς οἶδα, παραλογίσασθαι τὸν προσδιαλεγόμενον ἢ ἐρίσαι ἐπαρθείην· τοῖς τὸ ἀληθὲς λόγοις ξυνιστᾶσιν ἀεὶ ξυμμαχοίμην. Ἀκολάστου ἐπιθυμίης πέρι μήκοτέ τι μηδένα ἐννοηθείην, ξυνείην ἀεὶ τοῖς σώφροσιν. Εἴη τέ μοι ἀεὶ προσδιαλέγεσθαι, παρ' ὧν ἐστι πάντως ἀπελθεῖν χρηστὸν προσλαβόντι. Μήκοτε ἐπαρθείην κέρδεος ἕνεκα πλημμελῆσαι. Φίλους διαφερομένους καταρτίζοιμι. Φίλοις (δυνάμενος) καὶ τοῖς δεομένοις τὰ δέοντα ἐπαρκέοιμι· φίλους ἐν κινδύνοις καταστάντας (δυνάμενος ὠφελέειν) μήκοτε καταλίποιμι. Φίλων ξυμφορὰς, ἀφ' ὧν οἷόν τε, ἐπανορθοῦσθαι προθυμοίμην· λυπεομένοισι παρεὼν ἐλαφρύνοιμι ἠπίῳ καὶ ἀκεσίμῳ λόγῳ τὰς ἀνίας. Εἰδείην ἐμαυτὸν αἰδέεσθαι. Τῶν καλῶν φιλομαθείην ἀσκέοιμι. Ζητοίην μὴ τὰ περισσὰ, ἀλλὰ περὶ ὧν ἄριστον, καὶ ἃ μαθὼν ὠφελοίμην. Θεοὺς τιμῴην καὶ νόμῳ πόλιος καὶ σπουδῇ οἰκείῃ καὶ νόῳ εὐσεβεῖ. Ἀεὶ τὸν ἐμοὶ θυμούμενον ἡμεροίην· ἐθίζοιμι ἐμεωϋτὸν ἵλεω εἶναι, καὶ μὴ πρὸς τὰ πρήγματα ἔχειν δυσκόλως. Τίς πονηρὸς, καὶ τίνι τούτων τί κοτε πέπρηκται, μὴ μέλοιμι, εἰδείην δὲ τοὺς ἀγαθοὺς καὶ τούτους μεταδιώκοιμι. Ὀφείλοιμι μηδενὶ μηδέν· εἰ δέ κοτε ὑπ' ἀνάγκης μεγάλης εἰς τοῦτο κατασταίην, γένοιτό μοι τάχιστα ἐλευθέρῳ γενέσθαι δυνηθῆναι. Αἰνέοιμι τοὺς ἀγαθοὺς ἀφθόνως·

rum in superbiam temerariam efferar. Divitias judicem, quod satis sit vitae temperanti. Infinita et insatiabilis pecuniarum cupiditas nunquam me invadat: solisque e disciplinis, quae animum, in quo haerent fixae, adjuvant, tradendis velim mihi pecuniarum quod satis est obtingere. Vincam victoria, quae nec mihi, nec contra disceptanti noxia evadat. Contendere intempestive (honoris causa) cum amicis et in disputationibus prudens caveam. Ne contra, quam sentiam, in disputationibus studio vincendi contentionem foveam amplexerque. Ne quando cum jactura veritatis, etiam secus, quam ipse credam in animo, falsa argumentatione decipiam contra disputantem aut saltem ad contendendum exstimuler. Veritatem dictis suis illustrantibus semper socius defensorque sim. Effrenis cupiditas nunquam ulla vel in mentem veniat. Converser assidue prudentibus: liceatque mihi cum his colloqui, a quibus discedam omnino aliquid boni adeptus. Nunquam inciter, ut lucri causa peccem. Amicos dissidentes reconciliem. Amicis, si queam, et indigentibus necessaria suppeditem: amicos in periculo existentes, si queam prodesse, nunquam destituam. Amicorum calamitates, quibuscunque rebus id fieri queat, restituere promptus paratusque sim. Dolentibus conversans, placido et leniente eorum moestitiam sermone relevem. Norim me ipsum revereri. Bona avide discere assuescam. Quaeram non curiosa et supervacanea, sed quae optima sint, et quae percepta mihi prodesse poterunt. Deos colam et ritu civitatis, et cum diligentia et mente pia. Semper in me quod ira commotum est, placatum reddam. Assuefaciam me ipsum, ut sim mitis, neve res molesto et iniquo animo feram. Qui malus sit, et quid ab horum quovis patratum sit, ne curem; norim autem bonos eosque secter. Ne cui quid debeam: sin eo magna ex necessitate adigar, obtingat mihi, ut statim queam liberari. Laudem bonos candide: maledicam autem lin-

φιλόψογον δὲ γλῶσσαν παντὸς ἀποστυγοίην. Εἰδείην σιγᾷν, περὶ ὧν ἄμεινον. [Στοβ. λόγ. α΄. περὶ ἀρετῆς.]

ΕΠΑΝΔΡΙΔΟΥ ΓΝΩΜΑΙ.

1. Φρόνιμος ὁ δι᾽ ἑαυτὸν εὖ πρήσσων· ὁ δὲ διὰ τὴν τύχην, μακάριος.

2. Φρόνησις εὐτυχίην ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιέει. [Στοβ. Ἐκλογ. Β. κεφ. η΄. περὶ τῶν ἐφ᾽ ἡμῖν.]

guam cujusvis exosam habeam. Norim tacere, quae tacita esse praestat. [*Stob. Serm. I. de virtute.*]

EPANDRIDAE SENTENTIAE.

1. Prudens vocatur, qui per se felix est; qui autem per fortunam, beatus.

2. Prudentia fortunam plerumque conciliat, non autem fortuna prudentiam. [*Stob. Eclog. Lib. II. Cap. VIII. de iis, quae in nostra sunt potestate. p. 346. ed. Heeren.*]

ΑΜΦΙΛΟΧΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΙΚΟΝΙΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΣΕΛΕΥΚΟΝ.

Χαίρειν κελεύω τὸν καλόν τε κἀγαθὸν
Υἱὸν Σέλευκον, εὐγενοῦς ῥίζης κλάδον.
Χαίρειν δὲ καὐτὸς εὔχομαι τῷ σῷ βίῳ
Μαθήμασί τε καὶ τρόποις φρονεῖν μέγα.
Πρῶτον μὲν οὖν φόβον τε καὶ πόθον ἔχε
Θεοῦ. Θεὸς γὰρ πᾶσιν ἀρχὴ καὶ τέλος
Τοῖς εὖ φρονοῦσι γίγνεται παντὸς βίου.
Τὸ δεύτερον δὲ, τὸν τρόπον ἄσκει, τέκνον,
Πρᾶον, ταπεινὸν, ἐγκρατῆ, στεῤῥὸν, γλυκὺν,
Ἀβάσκανον, δίκαιον, ἀνδρεῖον, σοφὸν,
Σεμνὸν, φίλεργον, εὐσταθῆ, καὶ σώφρονα.
Κόσμος γὰρ οὗτος καὶ νέοις καὶ πρεσβύταις,
Μὴ χρήμασι τοσοῦτον, ἀλλὰ τῷ τρόπῳ
Πλουτεῖν· τὸ σὸν γὰρ τοῦτο. τὰ δὲ χρήματα
Παίζει πλανῶντα τὴν φιλόπλουτον νόσον,
Ἄλλοις ἐπ' ἄλλων προσγελᾶν πεφυκότα,
Πόρνης ἀπίστου τὸν τρόπον μιμούμενα
Πολλοὺς ἐραστὰς ποικίλως μωκωμένης,
Συνόντα, καὶ φεύγοντα, καὶ κολλώμενα
Τούτοις, ἐκείνοις, οὐδενὶ δὲ γνησίως.
Τὸ γὰρ βέβαιον οὐκ ἔχει πλούτου φύσις;
Λάβροις θαλάσσης κύμασιν εἰκασμένη,
Κυρτουμένοις, πίπτουσιν, ἀστάτῳ φορᾷ.
Σὺ τοίνυν, ὦ παῖ, τοῖς τρόποις πλουτῶν ἀεὶ,

AMPHILOCHII EPISCOPI ICONII

EPISTOLA AD SELEUCUM.

Carmine Iambico expressa.

(Conrado Ritterhusio interprete.)

Dico salutem tam modesto quam probo
Nato Seleuco, stirpis almae surculo.
Vitae salutem et ipse comprecor tuae,
Ut artibusque moribusque floreas.
Primum ergo amorem, tum timorem habe Dei:
Is namque cunctis principium atque finis est,
Qui recta sapiunt: norma vitae totius.
Deinde vero, o nate, mores imbibe
Mites, honestos, continentes et graves,
Illividos, justos, viriles, providos,
Castos, operosos, strenuos et sobrios.
Ornatus hic tam juniorum, quam senum.
Non copiis, at moribus ditescere.
Haec gaza tua: sed census et pecunia
Ludunt avarae devium mentis malum,
Istis iisve sueta subblandirier,
Scorti infidelis indolem redolentia,
Subsannat astu quod procos quam plurimos;
Fugiunt, adhaerent: invident, rursum favent
Modo his, modo illis: nemini sed proprie.
Natura quippe opum nihil firmi gerit,
Similis marinis undequaque fluctibus
Salientibus, cadentibus, fluxu vago.
Tu proinde, fili, dives esto moribus:

Θησαυρὸν ἕξεις, οὐ κλοπαῖς συλούμενον,
Οὐ συκοφάνταις ἐν μέσῳ προκείμενον,
Οὐδ' αὖ τυράννων χερσὶν ἐξαντλούμενον,
Ἢ βαρβάρων ὅπλοισιν ἐκπορθούμενον,
Μένοντα δ' ἔνδον τῶν ἀσωμάτων δόμων,
Ψυχῆς ταμείοις ἀσφαλῶς τηρούμενον,
Ὃν οὔτε λάβρον ἐσθίει πυρὸς μένος,
Οὔτ' αὖ καλύπτει κῦμα ποντίου σάλου.
Τοῦτον μὲν ὄντως ὄντα σὸν καὶ γνήσιον
Πλοῦτον φυλάττων σμῆχε τοῖς μαθήμασι,
Βίβλοις ποιητῶν, ἱστορικῶν συγγράμμασι,
Καὶ ταῖς τρεχούσαις ῥητόρων εὐγλωττίαις,
Λεπταῖς τε μερίμναις φιλοσόφων ἀσκούμενος.
Τούτοις δ' ἅπασιν ἐμφρόνως ἐντύγχανε,
Σοφῶς ἁπάντων συλλέγων τὸ χρήσιμον,
Φεύγων δ' ἑκάστου τὴν βλάβην κεκριμένως.
Σοφῆς μελίττης ἔργον ἐκμιμούμενος,
Ἥτις ἐφ' ἅπασιν ἄνθεσιν καθιζάνει,
Τρυγᾷ δ' ἑκάστου πανσόφως τὸ χρήσιμον,
Αὐτὴν ἔχουσα τὴν φύσιν διδάσκαλον.
Σὺ δ' ἐκ λογισμοῦ τῶν μὲν ἀφθόνως δρέπου
Τῶν ὠφελούντων· εἰ δέ τι βλάβην φέρει,
Συνεὶς τὸ φαῦλον, ὀξέως ἀφίπτασο.
Ὠκύπτερος γάρ ἐστιν ἀνθρώποις ὁ νοῦς.
Ὥσθ' ὅσα μὲν αὐτοῖς εἰς ἀρετὴν ἐγκώμια
Ὑμνοῦσιν αὐτὴν ἐγράφη καὶ τοὔμπαλιν
Κακίαν ψέγουσι, ταῦτα σὺ σπουδῇ μαθὼν
Καὶ νοῦν φύλαττε καὶ χάριν τῆς λέξεως.
Ἃ δ' εἰς θεοὺς ἔγραψαν ἐν λήρῳ πλατεῖ,
Μύθους ἀσέμνους, δαιμόνων διδάγματα,
Μύθους, γέλωτος ἀξίους καὶ δακρύων,
Ταῦθ' ὡς βρόχους τε καὶ πάγας ἀποστρέφου.
Ἄμφω δ' ἀναγνοὺς, τοὺς θεοὺς καὶ τοὺς λόγους,
Θεοὺς γελοίους καὶ λόγους ἐρασμίους,
Καταφρόνει μὲν τῶν φιληδόνων θεῶν,

Gazamque habebis furibus non perviam,
Nec sycophantis in loco plano sitam,
Nec a tyrannis effera manu erutam,
Nec barbarorum vi vel ense perditam,
Verum manentem intra domos haud terreas,
Penetralibus animae intimis tuto abditam,
Quam nec vehementis devorat flammae furor,
Nec saevientis fluctus obruit sali.
Has ergo reipsa proprias nec non tuas
Opes acervans, jungito cum literis:
Scriptis puta historicis, poeticis libris,
Currentibusque rhetorum tessellulis,
Curis sophorum exercitus subtilibus.
Haec vero cuncta mente tractes provida,
Ex omnibus quod usui sit colligens
Noxasque caute singulorum devians:
Apis secutus eruditae industriam,
Quae millecuplis insidendo flosculis
E singulis delibat arte id quod optimum,
Natura cui dux et magistra ejus rei.
Sic tu variis ex artibus large metas
Quod profuturum: si quid at damnum ferat,
Pravi perosor, ocyus id praetervola.
Pennata superat namque mens mortalibus.
Virtutis igitur si qua eis encomia
Illam ex professo concinunt; versa vice et
Culpant nefas: his incubans tu gnaviter
Tuere mentem et dictionis gratiam.
At quae in deos scripsere deliri palam
Nugas petulcas, daemonum atra dogmata,
Nugas cachinnis lacrymisque pervias;
Haec retis instar aut laquei vites catus.
Percurre utrumque, tam pudenda numina,
Orationis quam venustae lumina.
Libidinosa despice tamen numina,

Λόγους δὲ τιμῶν, ὥσπερ ἐξ ἑνὸς φυτοῦ,
Καὶ τὰς ἀκάνθας φεῦγε, καὶ ῥόδων δρέπου.
Καὶ τῶν μὲν ἔξω σοι λόγων οὕτως νόμος
Ἄριστος. Οἷς δὲ πᾶσαν ἁρμόττει νέμειν
Σπουδὴν, ἐροῦμεν, ἀλλὰ μικρὸν ὕστερον.
Ἐκεῖνο γάρ σοι πρῶτον εἰπεῖν βούλομαι·
Φεύγειν κατ' ἄκρον τῶν κακῶν ὁμιλίας
Καὶ τὰς ἐν αὐταῖς ἡδονὰς χρὴ τὸν νέον.
Πολλοὶ γάρ εἰσιν ὥσπερεὶ βοσκήματα
Ψώρας γέμοντα καὶ νοσήματός τινος,
Οἳ τοὺς νέους πειρῶσι τοὺς ἁπλουστέρους,
Παρατριβόμενοί τ' ἐν δόλῳ πανουργίας,
Ὥσπερ νόσου, θέλουσι τῆς πονηρίας
Αὐτοὺς ἀναπιμπλᾷν, ὥστε τῇ τῶν πλειόνων
Κοινωνίᾳ σφῶν τοῖς κακοῖς ἐπισκοτεῖν.
Τούτους φυλάττου. Καὶ γὰρ, ὡς Παύλῳ δοκεῖ,
Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.
Ναὶ μὴν ἐκεῖνο σφόδρα σοι τηρητέον·
Μίσει θεάτρων, θηρίων, ἱπποδρόμων
Ἄσεμνον ᾠδὴν, δύσεριν κακῶν θέαν,
Βίου ματαιότητας, ὕδραν ἡδονῶν,
Ἀνδρῶν ἀσελγῶν ἀπρεπῆ μαθήματα,
Οἷς οὐδέν ἐστιν αἰσχρὸν, ἢ τὸ σωφρονεῖν.
Οἱ μὲν γὰρ αὐτῶν αἰσχύνης ὑπηρέται
Τέχνην ἔχουσι τὸ φρονεῖν ταῖς ὕβρεσι,
Μῖμοι γελοίων, κονδύλοις εἰθισμένοι,
Αἰδῶ τεμόντες τοῖς ξυροῖς πρὸ τῶν τριχῶν,
Ἀσελγὲς αἰσχρότητος ἐργαστήριον,
Οἷς πάντα πάσχειν καὶ ποιεῖν, ἃ μὴ θέμις,
Ἐν ταῖς ἁπάντων ὄψεσιν, τέχνης μέρος.
Ἄλλοι δ' ἐκείνων ἔθνος ἀθλιώτερον,
Τῶν ἀῤῥένων τὴν δόξαν ἐξορχούμενον,
Μελῶν λυγισμοῖς συγκατακλῶντες φύσιν,
Ἄνδρες, γυναῖκες, ἄῤῥενες θηλυδρίαι,
Οὐκ ἄνδρες, οὐ γυναῖκες, ἀψευδεῖ λόγῳ.

Phrases honorans. Sic ab uno germine
Spinasque fuge rosasque carpe melleas.
Atqui exterarum lex tibi isthaec artium
Est optima. At queis omne sit fas sedulo
Studium locare, paulo post docebimus.
Hoc indicare nam tibi primum volo,
Vitare penitus contubernium malum,
Et quas trahit secum illecebras, juvenem decet.
Sunt namque multi ceu pecora campestria
Scabie referta, vel fera quadam lue,
Tentant ephebos, qui Minervae simplicia,
Iis adfricando fraude sese subdola
Contagis instar, et volunt mente improba
Ipsos repleri, plurimum ut communitas
Obducat atram sceleribus noctem suis.
Istos caveto. Nam velut Paulo placet,
Pravum inficit mores bonos consortium:
Custodiendum nae tibi quod plurimum.
Hippodromos, feras theatraque oderis,
Cantum profanum, litis aream malae,
Vitae parerga, Hydram voluptatum trucem,
Et disciplinas sannionum pessimas:
Queis turpe nihil est, casta quam modestia.
Hi quum pudoris sint Alastores sui,
Hoc artis habent, callere contumelias,
Risus magistri, alapis exerciti,
Radunt pudorem stirpitus novacula:
Effrontis officina turpitudinis:
Queis cuncta ferre et facere, quae pati nefas,
In omnium conspectibus, pars artis est.
Quidam ex illis longe omnium miserrimi
Metas coronae praeteracti masculae,
Naturam iniquis evirarunt viribus,
Viri mulieres, masculi sunt foeminae:
Sed nec viri, nec foeminae, vero omine,

Τὸ μὲν γὰρ οὐ μένουσι, τὸ δ' οὐκ ἔφθασαν.
Ὃ μὲν γάρ εἰσιν, οὐ μένουσι τῷ τρόπῳ,
Ὃ δ' αὖ κακῶς θέλουσιν, οὐκ εἰσὶ φύσει·
Ἀσωτίας αἴνιγμα, καὶ γρῖφος παθῶν,
Ἄνδρες γυναιξὶ, καὶ γυναῖκες ἀνδράσιν.
Τί δ' ἂν λέγοι τις ᾀσμάτων αἰσχρῶν νόσους,
Μέλη τε θηλύνοντα καρδίας τόνον,
Αὐλοὺς, χορείας πορνικῶν βακχευμάτων,
Οἷς καὶ γέρας νέμουσιν οἱ τρισάθλιοι;
Ταῦτ' οὖν ἐπαίνων καὶ θέας καὶ τέρψεως,
Ἢ δακρύων τε καὶ στεναγμῶν ἄξια;
Γέλως τυραννεῖ, καὶ φύσις μοιχεύεται,
Καὶ ποικίλη φλὸξ ἡδονῶν ἐξάπτεται,
Καὶ κτίζεται θέατρα ταῖς ἀτιμίαις,
Ὡς μηδὲ λάθρα τὰς νόσους ἀσχημονεῖν,
Ἀλλ' ἆθλα κεῖσθαι τῶν κακῶν μαθημάτων.
Σὺ δὲ βδελύττου ταῦτα, μὴ χράνῃς κόρας,
Φεύγων ἁπάσας ὀμμάτων διαφθορὰς,
Ὡς ἂν φυλάττῃς τὰς κόρας μοι παρθένους·
Πλέον δὲ φεῦγε τὰς μιαιφόνους θέας
Τῶν γαστριμάργων, ὧν θεὸς ἡ κοιλία.
Δοῦλοι γὰρ ὄντες γαστρὸς, αἰσχίστης νόσου
Ὑπηρετοῦσι τοῖς κακοῖς προστάγμασιν.
Ἡ δ' ὡς πικρὰ δέσποινα τῶν λοιπῶν μελῶν,
Ἔνδον κάθηται θηρσὶ κωλοῦσα μέλη,
Λάβρως κατεσθίουσα τὰ τιμήματα,
Γαστὴρ ἄσωτος θηρίων εἰς γαστέρας
Τυραννικῶς ὠθοῦσα συγγενῆ μέλη.
Τούτων κάθηνται τῶν παθῶν ἀγνώμονες
Ἄνδρες θεαταὶ, κἂν μὲν ἄνθρωπος φύγῃ
Θῆρας, στένουσιν, ὡς πλέον τῶν θηρίων
Παιχθέντες αὐτοὶ, καὶ μάτην καθήμενοι·
Ἀνδρὸς δ' ἁλόντος καὶ στόνον μυκωμένου,
Πικρὸν βοῶντος καὶ κόνιν ἀμωμένου,
Πάσης θεατῶν ὄψεως οἶκτος ἅπας

Viri haud manent, nec assequuntur foeminas,
Viri vocantur, serjo at non sunt viri,
Nec esse foeminae queunt, licet velint:
Aenigma luxus, griphus aestus improbi,
Sunt foeminis viri, viris sed foeminae.
Quis canticorum turpium at pandat modos,
Effeminansque cordis accentum melos,
Buxos, choreas, foeda Bacchanalia,
Queis, vah, miselli dividunt et praemia?
Haec ergo plausu et jubilo theatrico,
An digniora lacrymis et luctibus?
Natura vim fert, risus imperium gerit,
Quaevis voluptas illico avolat, perit:
Spurco theatra construuntur crimine,
Sic ut patretur dedecus tetrum palam,
Prostent malorum praemia, nec non artîum.
Ab his tu abhorre, palpebras ne polluas,
Fugiens subinde cuncta visus scandala,
Ut integras castasque serves pupulas.
Cruenta fugito amplius spectacula
Nauci helluonum, venter ipse queis deus.
Qui cum gulae sint mancipia foedissima,
Male imperatis serviunt ter pessimis.
Haec vero, ceu regina saeva corporis,
Intus recumbit, membra dividens feris.
Taxationes devorans immaniter
Venter profusor bestiarum ventribus
Cognata membra condit heu tyrannice.
Haec desidendo affectuum frugi rudes
Viri intuentur; quamquam homo fugiat lubens.
Feras miserescunt, digniores quam ferae
Illusione, dum rigent frustra otio.
Viro at gemente, dum repugnat belluis,
Clamanteque altum et aggerente pulverem,
Omni intuentum de corona omnis dolor

Ἐδραπέτευσε, καὶ σὺν ἡδονῇ κρότος
Μέγιστος, ἣν ἴδωσιν αἱμάτων ῥοάς.
Χαίρουσι γὰρ βλέποντες, ἃ θρηνεῖν ἔδει,
Καὶ θηρίοις νέμουσιν εὐνοίας ῥοπὴν,
Καὶ τοῖς ἁλοῦσιν ἐγκελεύονται πλέον,
Θήγοντες ὀργὰς, ὥσπερ ἐμφορούμενοι
Καὶ σάρκας ἀνδρῶν θηρσὶ συμμασσώμενοι.
Χ' οἱ μὲν κακοὶ πρατῆρες οἰκείων μελῶν,
Τροφῆς τε δοῦλοι, καὶ πάλιν θηρῶν τροφὴ,
Ζῶντες στυγητοὶ, καὶ θανόντες ἄθλιοι,
Τοιοῦτον ἔσχον τοῦ βίου πικρὸν τέλος.
Μελῶν δὲ τὰ μὲν ἐντέθαπται θηρίοις,
Τὰ δ' ὑπ' ὀδοῦσι νηλεῶς δαρδάπτεται,
Ἡμισπάρακτα δ' ἄλλα ποικίλαις στροφαῖς
Ἄττει παρασπαίροντα, καὶ φυγῆς ἔτι
Καιρὸν νομίζει, καὶ δρόμον φαντάζεται.
Μὴ δὴ μιαίνῃς ὄμμα σὸν θεαμάτων
Ὠμῶν μολυσμοῖς, μηδὲ γυμνοὺς εἰσορᾷς
Ἄνδρας θανόντας, θηρία πεπλησμένα,
Τάφους τρέχοντας, συγγενεῖς τε κειμένους.
Καὶ μὴν τὸ πολλοῖς ἡμερώτερον
Δοκοῦν θέαμα πωλικῶν ἱπποδρόμων
Καὶ τοῦτο λοιμός ἐστι καὶ ψυχῆς νόσος.
Πόλεις διασπᾷ, δῆμον εἰς στάσιν φέρει,
Μάχας διδάσκει, λοίδορον θήγει στόμα,
Τέμνει πολιτῶν φίλτρα, συγκρούει γένη,
Καταισχύνει γέροντας, ἐκμαίνει νέους,
Ἔχθρας ἀνάπτει φιλτάτων, κατεῖ νόμους,
Κακῶν δὲ τούτων ἄλγιον τολμᾷ κακόν·
Κινεῖ γόητας τοῖς μανεῖσι συμμάχους,
Νίκης βοηθοὺς, καὶ τρέφει νόσῳ νόσον.
Ἐπὰν γὰρ ἐκκαυθῶσιν εἰς θερμὴν ἔριν,
Πρὸς τοὺς γόητας εὐθὺς αὐτοῖς ὁ δρόμος.
Οἱ δ' αὖ καλοῦσι δαιμόνων πονηρίαν
Σύνεργον αὐτοῖς πτωμάτων, συντριμμάτων,

Evanuit: quin maximo cum jubilo
Favent, cruoris si ire cernant flumina.
Gaudent enim cernendo, quae sit flere fas,
Ferisque nutu dant favoris omina,
Et dimicantes incitant magis viros,
Iras acuendo, ceu furore perciti,
Carnes virorum belluis praebent dapes.
Ac institores propriorum isti artuum,
Cibique servi; et bestiis rursum cibus,
Vivi catharma, et mortui miserrimi
Hanc vitae acerbam consequuntur clausulam.
At membra quaedam sunt sepulta in bestiis;
Quaedam cruentis lancinantur dentibus;
Haec semivulsa multiformibus modis
Trepidant, tremuntque, nec secus quam si fugae
Tempus supersit, currere sese somniant.
Spectaculorum nec tuos spurces truci
Oculos piaculo, nec adspice pugiles
Mortem oppetentes, invicemque bestias
Sepulcra viva, et dissipatos proximos.
Plerique vero forte, qui mansuetius
Certaminis equestris putant spectaculum:
Et istud almae dira mentis est lues.
Disturbat urbes, vulgus in lites rapit,
Pugnas adornat, armat os conviciis,
Scindit favorem civium, quatit genus,
Senes profanat, juniores efferat,
Odiis amicos praegravat, leges terit;
Mox his malis audet malum est atrocius;
Magos salutat, adseclas furentium
Victoriae ergo. Peste pestem sic fovet.
Fervente namque bile postquam exarserint,
Praestigiarum mox magistros consulunt.
Hi vero daemonum invocant versutiam,
Ancilla quae sit casuum his et vulnerum

Φόνων· κακοῖς γὰρ δαιμόνων χαίρει στρατός.
Οὐκοῦν ἐναργῶς καὶ τὸ δόξαν ἥμερον
Ἐριστικὸν θέαμα τῶν ἱπποδρόμων
Ψυχῶν ὄλεθρός ἐστι, σωμάτων μάχη,
Καὶ πρός γε τούτοις χρημάτων σαφὴς βλάβη.
Πόσους γὰρ οἴκους ἀθρόως κατέσπασε;
Πόσους προσαιτεῖν πλουσίους ἠνάγκασε;
Πόσας δὲ τὸ πρὶν εὐνομουμένας πόλεις
Ἄρδην καθεῖλεν; ὡς γὰρ ἡβῶσα στάσις
Φόνοις δυναστῶν ἔχρανε δήμου χέρας,
Χήρωσεν ἀνδρῶν τὰς πόλεις νόμῳ ξίφους,
Πῦρ καὶ σίδηρος τὰς πόλεις ἐνείματο
Σφαγαῖς κολάζων τὰς σφαγάς, φόνοις φόνους.
Τίς οὖν θεᾶσθαι σωφρόνων ἀνέξεται
Γοητείας ἅμιλλαν, οὐχ ἵππων τάχος,
Στάσιν φόνον τίκτουσαν, ἀστέων νόσον;
Σὺ δ' ἀντὶ τούτων χαῖρε τοῖς μαθήμασιν,
Ἐξ ὧν, ὅ, τι κράτιστον, ἀσκήσει τρόπον.
Ἐπὰν δὲ τὸν νοῦν μετρίως προγυμνάσῃς,
Ὡς ἐν παλαίστρᾳ, ποικίλοις συγγράμμασιν,
Αὐταῖς ἐνάθλει ταῖς θεοπνεύστοις γραφαῖς,
Διττῶν διαθηκῶν συλλέγων πλοῦτον μέγαν,
Τῆς μὲν παλαιᾶς, τῆς δὲ καὶ καινῆς ἀεί.
Καινὴ γάρ ἐστι δεύτερον γεγραμμένη,
Καὶ τὴν μεθ' ἑαυτὴν μηκέθ' ἕξουσα τρίτην.
Ταύταις ἅπασαν ἀσμένως σπουδὴν νέμε,
Παρ' ὧν μαθήσῃ χρηστὸν ἐξασκεῖν τρόπον,
Καὶ τόν γ' ἀληθῆ καὶ μόνον θεὸν σέβειν.
Μονὰς γάρ ἐστι καὶ τριὰς [ἡ] ἀΐδιος,
Πατὴρ σὺν υἱῷ καὶ ἁγίῳ πνεύματι,
Τριὰς προσώποις εὐκρινής, μονὰς φύσει.
Μήτ' οὖν ἀριθμῷ συγχέῃς ὑποστάσεις,
Μήτ' αὖ θεὸν σὺ προσκυνῶν τέμῃς φύσιν.
Μία τριὰς γάρ, εἷς θεὸς παντοκράτωρ.
Τουτέστι λεπτὸν εὐσεβὲς μυστήριον.

Et caedium. Nam daemones gaudent malis.
Ergo evidenter fronte prima lenius,
Mox jurgiosum hippodromi spectaculum
Est mentium jactura, pugna corporum,
Quin et ratum pecuniae dispendium.
Nam quot penates heu repente dispulit!
Mendicitate divites quot contudit!
Quot civitates antea boni status
Prorsum eruit! Matura nam discordia
Dum caede potentum polluit vulgi manus,
Orbantur urbes incolis, lege ensium,
Ferrumque et ignis civitates devorat,
Clades acervans clade, caedes caedibus.
Quis ergo sanus intueri sustinet
Praestigiarum, non equorum praelia,
Fontem tumultus, urbium meram luem?
Tu tempus illud literis impendito,
E queis, quod optimum, indolem tibi polias.
Jam quando mentem, prout satis, poliveris,
Tanquam in palaestra, disciplinis pluribus,
Incumbe scriptis sedulo caelestibus,
Opus duorum colligendo Foederum:
Unum vetus, sed alterum cluet Novum:
Conscripta quippe serius est lex nova,
Nactura nec post se perenne tertiam.
His gnavus omnem praebeas industriam:
Vitae gerundae rite normam hinc hauseris,
Nec non colendi solius veri dei.
Aeterna nempe Trinitas est Unitas,
Cum Patre Natus atque Sanctus Spiritus,
Distincta personis Trias, deus unicus.
Nec proinde numero misceas hypostases:
Sed nec deum invocando naturam seces:
Namque una Trinitas deus unus summus est.
Hoc singulare et maximum est mysterium.

Στενὴ γὰρ ὄντως τῆς ἀληθείας ὁδὸς,
Ἀτραπὸς ἀμφίκρημνος, ἐκτεθλιμμένη,
Ἧς ἐξολισθήσαντες ἐξ ἐναντίων,
Κατεῤῥάγησαν εἰς βαθύκρημνον πλάνην,
Σαβέλλιος μὲν, πρὸς Ἰουδαίους βλέπων,
Εἰδωλολάτρας δ' Ἄρειος μιμούμενος,
Ὁ μὲν προσώπων συγχέων ὑπόστασιν,
Ὁ δ' οὖν μερίζων δυσσεβῶς τὴν οὐσίαν.
Σὺ δ' ἀκλινῶς φύλασσε τὴν μέσην ὁδὸν,
Ὡς χρὴ διαιρῶν, καὶ συνάπτων ὡς θέμις.
Συνάπτεται γὰρ ἡ τριὰς ἀσυγχύτως,
Ὥσπερ κ' ἀτμήτως ἡ μονὰς χωρίζεται.
Ἡ γὰρ φύσις ἄτμητος, αἱ δ' ὑποστάσεις
Ἀεὶ μένουσι παντελῶς ἀσύγχυτοι.
Τούτων φύλαξ μοι διαμένῃς τῶν δογμάτων,
Καὶ γνήσιος μὲν ἐργάτης τῶν ἐντολῶν,
Σοφὸς δ' ἁπάσαις μυστικαῖς θεωρίαις,
Ἀεὶ προκόπτων, μήποτ' ἐκρυσάμενος.
Μείζων ἐπανθήσει γὰρ οὕτως ἡ χάρις.
Ὁρᾷς, ὁ πιστὸς Μωϋσῆς, ὁ τοῦ θεοῦ
Ἄνθρωπος, εἰκὼν τοῦ κατ' ἀρετὴν βίου,
Ὅπως ἅπασαν ἐκμαθὼν Αἰγυπτίων
Σοφίαν τὰ πρῶτα, κἂν βαθεῖ πλούτῳ τραφεὶς,
Ἑκὼν φυγάς τε καὶ πένης ἐγίγνετο,
Κἂν ταῖς ἐρήμοις τῆς ἐν Αἰγύπτῳ τρυφῆς
Θῆσσαν τράπεζαν ποιμένων ἠλλάξατο,
Δόξης τυράννων προκρίνας σκληρὸν βίον,
Ἕως τελείων ἄξιος θεαμάτων
Κριθεὶς, μέγιστον ἀγγέλου μυστήριον
Εἶδε, φανέντος ἐν πυρὶ φλογὸς βάτου.
Εἶτ' ἀξιωθεὶς καὶ θεοῦ πρῶτον τότε
Φωνῆς ἀκοῦσαι, καὶ λαβὼν ἐξουσίαν,
Λαὸν στένοντα δούλειον λύει ζυγὸν,
Ἄρχει τε παντὸς τοῦ γένους, ψήφῳ θεοῦ.
Λαβὼν τοσοῦτον ὕψος οὐκ ἐπαίρεται,

Angusta certe veritatis semita est,
Utrimque praeceps, trita sed nimis via,
Quam qui terebant passibus contrariis,
Errorum in imum corruere gurgitem.
Errore verpis proximus Sabellius,
Idololatrasque aemulatus Arrius:
Tres in deo confundit ille hypostases;
At impie diremit hic essentiam.
Tu non vacillans regiam tene viam:
Distingue quod par, junge quod fas jungere.
Sine mistione Trinitas nam jungitur,
Sine sectione ast unitas distinguitur.
Natura non secabilis, sed hypostases
Semper manent planissime inconfusiles.
Custos mihi horum perseveres dogmatum,
Praecepta factis exprimendo proprie
Prudensque cunctis mysticis theoriis,
Accessiones aggerens, nunquam excidens:
Major subinde sic nitescet gratia.
Vides, fidelis optimi servus dei
Moses, beatae rarior vitae typus,
Imbutus omni primum ut arte Aegyptia
Ac educatus dite rerum copia,
Haec fugit ultro, pauper atque factus est
Tesqua incolens: Aegyptias vili cibo
Mutavit exul, heu, inops cupedias,
Vitam superbae praeferens aulae asperam,
Donec deinceps visionibus sacris
Aptus, stupendum (o!) angeli mysterium
Videt flagrantem innoxia flamma rubum.
Post dignus habitus et dei tum primulam
Haurire vocem, et praeditus potentia,
Servile populi solvit anxii jugum,
Totique genti calculo praeest dei.
Evectus in tantum decus non tollitur:

Ἀλλ' ἰσχνόφωνον καὶ βραδύγλωσσόν τινα
Φησὶν ἑαυτὸν, ἀσθενῆ τ' εἶναι λέγειν,
Ὡς ἂν φρονῶν ταπεινὸν ἰσχυρὸς μένῃ.
Τούτου φύλαττε τοῦ βίου τὴν εἰκόνα,
Μορφῶν σεαυτὸν τῷ τρόπῳ τοῦ Μωσέως,
Καὶ τὴν μάθησιν τῶν παρ' Ἕλλησι λόγων,
Ὥσπερ δικαστὴς ἔννομον ψῆφον φέρων,
Ὑπηρετεῖσθαι τάξον, ὡς ἐστὶ πρέπον,
Τῇ τῶν ἀληθῶν δογμάτων παῤῥησίᾳ,
Τῇ πανσόφῳ τε τῶν γραφῶν θεωρίᾳ.
Καὶ γὰρ δίκαιον τὴν σοφίαν τοῦ πνεύματος,
Ἄνωθεν οὖσαν ἐκ θεοῦ τ' ἀφιγμένην,
Δέσποιναν εἶναι τῆς κάτω παιδεύσεως,
Ὥσπερ θεραπαίνης, μὴ μάτην φυσωμένης,
Ὑπηρετεῖν δὲ κοσμίως εἰθισμένης.
Τῇ τοῦ θεοῦ γὰρ ἡ κάτω δουλευέτω.
Πλὴν ἀλλ' ἐκεῖνο προσμαθεῖν μάλιστά σοι
Προσῆκον· οὐχ ἅπασα βίβλος ἀσφαλὴς,
Ἡ σεμνὸν ὄνομα τῆς γραφῆς κεκτημένη.
Εἰσὶν γὰρ, εἰσὶν ἔσθ' ὅτε ψευδώνυμοι
Βίβλοι· τινὲς μὲν ἔμμεσοι καὶ γείτονες
(Ὡς ἄν τις εἴποι) τῶν ἀληθείας λόγων·
Αἱ δ' αὖ νόθοι τε καὶ λίαν ἐπισφαλεῖς,
Ὡς παράσημα καὶ νόθα νομίσματα,
Ἃ βασιλέως μὲν τὴν ἐπιγραφὴν φέρει,
Κίβδηλα δ' ἐστὶ, ταῖς ὕλαις δολούμενα.
Τούτων χάριν σοι τῶν θεοπνεύστων ἐρῶ
Βίβλων ἑκάστην, ὡς δ' ἂν εὐκρινῶς μάθῃς.
Τὰς τῆς παλαιᾶς πρῶτα διαθήκης ἐρῶ.
Ἡ πεντάτευχος, τὴν κτίσιν, εἶτ' ἔξοδον,
Λευϊτικὸν δὲ τὴν μέσην ἔχει βίβλον,
Μεθ' ἣν ἀριθμοὺς, εἶτα δευτερονόμιον.
Τούτοις Ἰησοῦν προστίθει, καὶ τοὺς κριτὰς,
Ἔπειτα τὴν Ῥοὺθ, βασιλειῶν τε τέσσαρας
Βίβλους, παραλειπομένων δέ γε ξυνωρίδα.

Sed haesitantem et tardilinguem quempiam
Vocat se ipsum, debilem se ipsum vocat,
De se ut modeste sentiens fortis siet.
Sectare vitae tu speciem hujusmodi,
Mosis sub instar exprimens mores probos.
At disciplinas artium Graecanicas,
Ut arbiter, tantum ferens suffragium,
Ad serviendum deputa, prout addecet,
Orationi dogmatum veracium,
Speculationi codicum et coelestium.
Est namque justum, spiritus sapientiam
Ortam superne et ex deo manabilem
Esse dominam natae solo scientiae,
Ancillae ad instar, hercle non frustra satae,
Servire suetae, sed modeste ac sobrie.
Terrena quippe serviant caelestibus.
Sed maxime illud scire tibi convenit,
Quod omnis haud est scilicet tutus liber,
Nomen sacrati Codicis qui possidet.
Falsum est enim nomen quibusdam impositum.
Quidam libri sunt medii, atque proximi,
Ut dixerit quis, veritatis eloquiis.
Adulterini sunt alii, ac certi parum.
Ut sunt malae notae et reproba numismata,
Inscriptionem regiam quae praeferunt.
Adulterina sed materiae indicant.
Idcirco libros, quos dei inspiratio
Dedit, singillatim aperiam, ut noti sient.
Veterisque primum nomina edam Foederis.
Nam Pentateuchus Genesin, dein Exodum,
Leviticumque inter medium librum tenet,
Post Numeros, dein Deuteronomium,
His Josuam adde codicemque Judicum,
Deinde Ruth, atque libros Regum quatuor,
Paraleipomenonque binionem mutuum.

"Εσδρας ἐπ' αὐταῖς πρῶτος, εἶτ' ὁ δεύτερος.
Ἑξῆς στιχηρὰς πέντε σοι βίβλους ἐρῶ·
Στεφθέντος ἄθλοις ποικίλων παθῶν Ἰὼβ,
Ψαλμῶν τε βίβλον, ἐμμελὲς ψυχῆς ἄκος.
Τρεῖς δ' αὖ Σολομῶντος τοῦ σοφοῦ· παροιμίας,
Ἐκκλησιαστὴν, ᾆσμά τε τῶν ᾀσμάτων.
Ταύταις προφήτας προστίθει τοὺς δώδεκα·
Ὡσηὲ πρῶτον, εἶτ' Ἀμὼς τὸν δεύτερον,
Μιχαίαν, Ἰωὴλ, Ἀβδίαν, καὶ τὸν τύπον
Ἰωνᾶν αὐτοῦ τοῦ τριημέρου πάθους.
Ναοὺμ μετ' αὐτοὺς, Ἀββακοὺμ, εἶτ' ἔννατον
Σοφονίαν, Ἀγγαῖόν τε καὶ Ζαχαρίαν,
Διώνυμόν τε ἄγγελον Μαλαχίαν.
Μεθ' οὓς προφήτας μάνθανε τοὺς τέσσαρας,
Παῤῥησιαστὴν τὸν μέγαν Ἡσαΐαν,
Ἱερεμίαν τε συμπαθῆ, καὶ μυστικὸν
Ἰεζεκιὴλ, ἔσχατον δὲ Δανιὴλ,
Τὸν αὐτὸν ἔργοις καὶ λόγοις σοφώτατον.
Τούτοις προσεγκρίνουσι τὴν Ἐσθήρ τινες.
Καινῆς διαθήκης ὥρα μοι βίβλους λέγειν.
Εὐαγγελιστὰς τέσσαρας δέχου μόνους.
Ματθαῖον, εἶτα Μάρκον, ᾧ Λουκᾶν τρίτον
Προσθεὶς, ἀρίθμει τὸν Ἰωάννην χρόνῳ
Τέταρτον, ἀλλὰ πρῶτον ὕψει δογμάτων.
Βροντῆς γὰρ υἱὸν τοῦτον εἰκότως καλῶ,
Μέγιστον ἠχήσαντα τῷ Θεοῦ Λόγῳ.
Δέχου δὲ βίβλον Λουκᾶ καὶ τὴν δευτέραν
Τὴν τῶν καθολικῶν πράξεων Ἀποστόλων.
Τὸ σκεῦος ἑξῆς προστίθει τῆς ἐκλογῆς,
Τὸν τῶν ἐθνῶν κήρυκα, τὸν ἀπόστολον
Παῦλον, σοφῶς γράψαντα ταῖς ἐκκλησίαις
Ἐπιστολὰς δὶς ἑπτὰ, Ῥωμαίων μίαν,
Ἧι χρὴ συνάπτειν πρὸς Κορινθίους δύο,
Τὴν πρὸς Γαλάτας τε, καὶ πρὸς Ἐφεσίους, μεθ' ἣν
Τοῖς ἐν Φιλίπποις, εἶτα τὴν γεγραμμένην

Et post eos Esdrae subsequuntur gemini.
Dehinc quinque libri, queis ligata oratio:
Qui multa passus est, coronatus Iob,
Psalmique dulces, leve mentis pharmacum,
Tresque Salomonis sapientis: Proverbia,
Ecclesiastes, Canticorum Canticum.
Istis prophetas addito duodecim,
Oseae primum, deinceps secundum Amos,
Michaeam, Joel, Abdiamque et typum
Jonam ipsius, quod triduo Christo accidit.
Post hos Naum, mox Abbacuc, nonumque jam
Sophoniam, Aggaeumque et Zachariam,
Binique nominis angelum Malachiam.
Post hos Prophetas quattuor intelligas:
Esajam magnum, loquitur qui libere,
Jeremiamque condolentem et mysticum
Ezechielem Danielemque ultimum,
Dictis simul factisque permirabilem.
Adjudicant his Estherae quidam librum.
Novae libros legis opus nunc dicere.
Evangelistas bis duo solos habe:
Matthaeus, inde Marcus, hinc Lucas tibi
Jungantur, accense bis Johannem tempore
Quartum, sed altis sensibus primas tenet.
Nam jure dico filium hunc tonitrui,
Magni tonantem maximi VERBUM Patris.
Simulque Lucae amplectitor librum alterum
Apostolorum gesta sueta dicier,
Electionis postea vas jungito,
Tubam fidelem, Apostolumque gentium,
Qui sapienter scripsit ad ecclesias
Epistolas bis septem, unam ad Romae incolas,
Unire cui fas ad Corinthios duas
Et ad Galatarum gentem et ad Ephesios pios,
Post quam est Philippos quae transmissa exstitit.

Κολοσσαεῦσι, Θεσσαλονικεῦσι δύο,
Δύο Τιμοθέῳ, Τίτῳ δὲ καὶ Φιλήμονι,
Μίαν ἑκατέρῳ, καὶ πρὸς Ἑβραίους μίαν·
Τινὲς δέ φασι τὴν πρὸς Ἑβραίους νόθον,
Οὐκ εὖ λέγοντες, γνησία γὰρ ἡ χάρις.
Εἶεν. τί λοιπόν; καθολικῶν ἐπιστολῶν
Τινὲς μὲν ἑπτά φασιν, οἱ δὲ τρεῖς μόνας
Χρῆναι δέχεσθαι, τὴν Ἰακώβου μίαν,
Μίαν δὲ Πέτρου, τήν τ' Ἰωάννου μίαν,
Τινὲς δὲ τὰς τρεῖς καὶ πρὸς αὐταῖς τὰς δύο
Πέτρου δέχονται, τὴν Ἰούδα δ' ἑβδόμην.
Τὴν δ' ἀποκάλυψιν τὴν Ἰωάννου πάλιν
Τινὲς μὲν ἐγκρίνουσιν, οἱ πλείους δέ γε
Νόθον λέγουσιν. Οὗτος ἀψευδέστατος
Κανὼν ἂν εἴη τῶν θεοπνεύστων γραφῶν.
Αἷς εἰ σὺ πεισθῇς, ἐκφύγῃς κόσμου πάγας,
Ματαιότητα δ' ἐλπίδων ῥίψαις κάτω,
Πλοῦτον δὲ τὸν φεύγοντα δαψιλεῖ χερὶ
Σπείραις πένησιν, ἀσφαλὲς μένων θέρος·
Ἐν οὐρανοῖς γὰρ τὸ σπαρὲν θησαυριεῖς,
[Χριστῷ δ' ἕποιο, τῷ σοφῷ θεοῦ λόγῳ,]
Ὦ τρισμακάριστος καὶ τρισόλβιος σύ γε
Πολλοῖς γέρουσι καὶ νέοις ἀστὴρ φανείς.
Λάμπει γὰρ ἄστρων μᾶλλον εὐσεβὴς βίος.
Καί σε προφητῶν, μαρτύρων, ἀποστόλων
Χορὸς περιστὰς, ὥσπερ οἰκεῖον μέλος,
Στέψει προπέμπων ἐπινίκιον κρότον.
Τρυγῶν δ' ἄπαυστον δόξαν, ἡσθήσῃ τότε
Μέσος χορεύων ἀγγέλων στεφηφόρος.
Ἔῤῥωσο, καὶ μέμνησο τῶν γεγραμμένων.

* * *

Τὴν σεμνότητος ἁγνείας τ' ἀσκήσεως
Ἔμψυχον εἰκόνα, πίστεώς τε σφραγίδα,
Ὀλυμπιάδα πρόσειπε τὴν θείαν [τεήν].

Unam Colossi, Thessalonice habet duas,
Duasque Timotheus, Tito et Philemoni
Inscripta bina: simpla ad Hebraeos datur.
Quidam sed ajunt esse ad Hebraeos notham,
Laevum aestimantes, namque par huic gratia.
Quid restat ergo? Catholicas Epistolas
Septem esse quidam dicunt, alii vero tres
Suscipiendas, nempe Jacobi unicam
Unamque Petri, unam Johanni propriam,
Quae tres quibusdam: propter illas at duae
Petro imputantur, deinde Judae septima.
Rursus Johannis Apocalypsin mysticam
Quidam approbant: sed plurimi ceu spuriam
Eliminant. Haec esto veracissima
Coelo profectae scriptionis regula.
Persuasus hac tu fugeris mundi dolos,
Speique procul vanitatem abjeceris,
Opes fugaces liberali dexterà
Serens egenis, uberem et messem metens.
Nam sic serendo collocas opes polo.
[Christum sequaris, optimi VERBUM Patris.]
O te beatum centies et millies!
Sidus senum pariterque juvenum videbere;
Nam vita lucet stellulis magis pia:
Apostolorum teque, vatum et martyrum
Chorus coronans, grex velut domesticus,
Plausu praeibit et triumpho nobili.
Tunc tu perennem gloriam metens, palam
Gaudebis inter Angelos serio inclytus.
Vale et tene quae scripsimus fideliter.

* * *

Vivum pudoris et piae modestiae
Exemplar, expressamque fidei tesseram,
Saluta Olympiadem tuam materteram.

* * *

Ἢν ἐθέλῃσθα μαθεῖν τὸν ἀριθμὸν ἰάμβων,
Τρεῖς ἑκατοντάδας ἴσθι, τόσας δεκάδας, καὶ μονάδας τρεῖς.
Αἰεὶ γάρ σε, τέκος, τριάδος φίλον εὔχομαι εἶναι.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ
ΠΕΡΙ ΤΩΝ ΓΝΗΣΙΩΝ ΒΙΒΛΙΩΝ
ΤΗΣ ΘΕΟΠΝΕΥΣΤΟΥ ΓΡΑΦΗΣ.

Θείοις ἐν λογίοισιν ἀεὶ γλώσσῃ τε νόῳ τε
Στρωφᾶσθ'. ὁ γὰρ ἔδωκε θεὸς καμάτων τόδ' ἄεθλον,
Καί τι κρυπτὸν ἰδεῖν ὀλίγον φάος, ἢ τόδ' ἄριστον
Νύττεσθαι καθαροῖο θεοῦ μεγάλῃσιν ἐφετμαῖς,
ἢ τρίτατον χθονίων ἀπάγει φρένα ταῖσδε μερίμναις.
Ὄφρα δὲ μὴ ξείνῃσι νόον κλέπτοιο βίβλοισι,
(Πολλαὶ γὰρ τελέθουσι προσέγγραπτοι κακότητος)
Δέχνυσο τοῦτον ἐμεῖο τὸν ἔγκριτον, ὦ φίλ', ἀριθμόν.
Ἱστορικαὶ μὲν ἔασι βίβλοι δυοκαίδεκα πᾶσαι
Τῆς ἀρχαιοτέρης Ἑβραϊκῆς σοφίης·
Πρωτίστη Γένεσις, εἶτ' Ἔξοδος, Λευϊτικόν τε,
Ἔπειτ' Ἀριθμοὶ, εἶτα Δεύτερος νόμος,
Ἔπειτ' Ἰησοῦς, καὶ Κριταί· Ῥοὺθ ὀγδόη.
Ἡ δ' ἐνάτη δεκάτη τε βίβλοι πράξεις Βασιλήων
Καὶ Παραλειπόμεναι· ἔσχατον Ἔσδραν ἔχεις.
Αἱ δὲ στιχηραὶ πέντε· ὧν πρῶτός γ' Ἰώβ·
Ἔπειτα Δαβίδ· εἶτα τρεῖς Σολομώντειαι·
Ἐκκλησιαστὴς, Ἆισμα, καὶ Παροιμίαι.
Καὶ πέντ' ὁμοίως πνεύματος προφητικοῦ·
Μίαν μέν εἰσιν εἰς γραφὴν οἱ δώδεκα·
Ὡσηὲ, κ' Ἀμὼς, καὶ Μιχαίας ὁ τρίτος,
Ἔπειτ' Ἰωὴλ, εἶτ' Ἰωνᾶς, Ἀβδίας,
Ναούμ τε, Ἀββακοὺμ τε καὶ Σοφονίας,
Ἀγγαῖος, εἶτα Ζαχαρίας, Μαλαχίας.

Jamborum cupias numerum si scire, Seleuce,
Tercentum esse tene, ter denos, insuper et tres.
Semper te Triados, fili, precor esse clientem.

S. GREGORII NAZIANZENI CARMEN XXXIII.
DE GENUINIS DIVINARUM SCRIPTURARUM LIBRIS.

In libris sacris linguaque et mente frequenter
Versare, aut etenim donat deus ista laborum
Praemia, ut absconsae lucis mens sedula quiddam
Conspiciat, vel certe isthinc ex commoda carpit,
Ut per sancta dei capiat praecepta dolorem:
Aut, quod postremum est, animos haec lectio rebus
Abstrahit a fluxis, studia ad meliora vocatos.
At tua ne libris fallatur mens alienis,
(Namque adscriptitii multi falsique vagantur)
Hunc habeas certum numerum a me, lector amice.
Bisseni libri veteris sunt foederis omnes
Historici: Genesis primus liber, Exodus, inde
Leviticus, Numeri, Legis tum scita secundae,
Post Jesus, Critae, Ruth, Regum gestaque bini
Describunt libri. Sequitur liber ille, vocatur
Qui Paralipomenon, cunctorum est ultimus Esdras.
Quinque metris constant: Job, David, tres Salomonis,
Concio et insignes Cantus, Proverbia sacra.
Quinque Prophetarum sunt libri rursus, in uno
Bisseni vates sunt juncti: nomina quorum
Oseas, Amos, Michaeas tertius, inde
Joël ac Jonas, Abdias sextus: at hunc post
Naumque Habacucque, octavus tum Sophonaeus,
Aggeus, post Zacharias, atque ultimus horum

Μία μὲν οἶδε· δευτέρα δ' Ἡσαΐας,
Ἔπειτ' ὁ κληθεὶς Ἱερεμίας ἐκ βρέφους,
Εἶτ' Ἰεζεκιὴλ, καὶ Δανιήλου χάρις.
Ἀρχαίας μὲν ἔθηκα δύω καὶ εἴκοσι βίβλους,
Τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους.
Ἤδη δ' ἀριθμοὶ καὶ νέου μυστηρίου·
Ματθαῖος μὲν ἔγραψεν Ἑβραίοις θαύματα Χριστοῦ·
Μάρκος δ' Ἰταλίῃ· Λουκᾶς Ἀχαϊάδι·
Πᾶσι δ' Ἰωάννης, κήρυξ μέγας, οὐρανοφοίτης·
Ἔπειτα πράξεις τῶν σοφῶν ἀποστόλων.
Δέκα δὲ Παύλου τέσσαρές τ' ἐπιστολαὶ,
Ἑπτὰ δὲ καθολικαί· ὧν Ἰακώβου μία
Δύω δὲ Πέτρου, τρεῖς δ' Ἰωάννου πάλιν,
Ἰούδα δ' ἐστὶν ἑβδόμη· πάσας ἔχεις.
Εἴ τι δὲ τούτων ἐκτὸς, οὐκ ἐν γνησίοις.

Malachias. Liber hos unus complectitur omnes.
Esajam ast alter, Jeremiam tertius autem.
Ezechiel quarto, Daniel post ordine quinto.
Tot nempe, Hebraeae quot sunt elementa loquelae.
Perge, age, jam pacti libros numerare recentis.
Matthaeus Christi Hebraeis miracula scripsit,
Ausonibus Marcus, Lucas at doctus Achivis,
Cunctis Joannes penetrans coelestia mente.
Inclyta Apostolicae classis nunc gesta sequuntur.
Hinc bis septenae literae, quas numine Paulus
Aethereo scripsit. Sequitur post una Jacobi,
Atque duplex Petri. Tres rursum auctore beato
Joanne: ac Judae postrema est unica. Sunt haec
Omnia divinae germana volumina chartae.
Quicquid praeterea est, haud inter certa locandum.

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ ΣΧΟΛΙΟΝ.

(Ex Beveridgii Synodico Tom. I. p. 179.)

Ἵνα δὲ μὴ ἀλλοτρίαις τὸν νοῦν ἀπατῷ βίβλοις, (πολλὰ γάρ εἰσι ψευδῶς γεγραμμέναι,) δέχου τοῦτον ἐμοῦ τὸν δεδοκιμασμένον, ὦ φίλε, ἀριθμόν. Ἱστορίας μὲν περιέχουσαι βίβλοι δώδεκά εἰσι, τῆς παλαιᾶς δηλονότι γραφῆς· καὶ αἱ βίβλοι τῶν βασιλειῶν, εἰ τέσσαρές εἰσιν, ἀλλ᾽ εἰς δύο παραλαμβάνονται καὶ ἀριθμοῦνται· καὶ αἱ δώδεκα βίβλοι τῶν ἀπηριθμένων προφητῶν μία, φησὶ, λογίζονται· τέσσαρες δὲ αἱ τῶν ἄλλων προφητῶν, ἑκάστη μία λογιζομένη. Τῆς μέντοι ἀρχαίας ἤτοι τῆς παλαιᾶς γραφῆς ἔγραψε βίβλους κβ΄, τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους ἤγουν ἰσοθέτους καὶ ἰσαρίθμους. λαμβάνεται γὰρ ἡ ἀντὶ πρόθεσις καὶ ἐπὶ τοῦ ἴσου· ὥσπερ λέγομεν ἀντίτεχνον τὸν ὁμότεχνον. στοιχεῖα δὲ παρὰ τοῖς Ἑβραίοις κβ΄ λέγονται εἶναι. Ἀπαριθμήσας μέντοι καὶ τὰ τῆς νέας γραφῆς βιβλία ὁ ἅγιος, ἐπήνεγκεν, ὅτι, εἴ τι τούτων τῶν ἀπηριθμημένων ἔξω ἐστὶν, οὐ γνήσιον λογίζεται, ἀλλὰ νόθον.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΑΓΙΟΥ ΝΕΙΛΟΥ ΠΕΡΙ ΤΩΝ ΟΚΤΩ ΛΟΓΙΣΜΩΝ.

ά. ΠΕΡΙ ΓΑΣΤΡΙΜΑΡΓΙΑΣ.

Ἀρχὴ καρποφορίας, ἄνθος· καὶ ἀρχὴ πρακτικῆς, ἐγκράτεια. — Ὁ κρατῶν γαστρὸς ἐλαττοῖ τὰ πάθη· ἡττώμενος δὲ βρωμάτων αὔξει τὰς ἡδονάς. — Ἀρχὴ ἐθνῶν Ἀμαλέκ· καὶ ἀρχὴ παθῶν γαστριμαργία. — Ὕλη πυρὸς ξύλον· ὕλη δὲ γαστρὸς βρώματα. ξύλα πολλὰ μεγάλην ἐγείρει φλόγα· πλήθη δὲ βρωμάτων τρέφει ἐπιθυμίαν. φλὸξ ἀμαυροῦται ἐπιλειπούσης ὕλης· καὶ βρωμάτων ἔνδεια μαραίνει ἐπιθυμίαν. — Ὁ κρατήσας σιαγόνος ἀνεῖλεν ἀλλοφύλους, καὶ δεσμὰ χειρῶν αὐτοῦ διέσπασεν εὐχερῶς. ἀναίρεσις σιαγόνος πηγὴν ἐγέννησεν ὕδατος· καὶ γαστριμαργία καταργηθεῖσα θεωρίαν ἔτεκε πρακτικήν. — Πάσσαλος σκηνῆς παρελὼν σιαγόνα ἀνεῖλε πολέμιον· καὶ λόγος ἐγκρατείας ἐνέκρωσε πάθος. — Ἐπιθυμία βρώσεως ἔτεκε παρακοὴν, καὶ γεῦσις ἡδεῖα ἐξέβαλε παραδείσου. — Πολυτέλεια βρωμάτων τέρπει λαιμόν· τρέφει δὲ σκώληκα ἀκολασίας ἀκοίμητον. — Ἐνδεὴς γαστὴρ ἐν προσευχαῖς ἀγρυπνεῖν παρασκευάζει· ἡ δὲ πεπληρωμένη ὕπνον ἐπάγει. — Νηφάλαιον φρόνημα ἐν ξηρότητα διαίτης· ὑγρὸς δὲ βίος βαπτίζει νοῦν εἰς βυθόν. — Νηστεύοντος πρὸς εὐχὴν ἡ ψυχὴ νεοσσὸς ἀετοῦ ἀνιπτάμενος· ἡ δὲ τοῦ κραιπαλῶντος βαρυνομένη τῷ κόρῳ καθέλκεται. — Νηστεύοντος νοῦς ἀστὴρ ἐν αἰθρίᾳ λαμπρός· ὁ δὲ τοῦ κραιπαλῶντος ἐν σκοτομήνῃ κεκάλυπται. — Ὁμίχλη καλύπτει ἡλιακὰς ἀκτῖνας· καὶ νοῦν σκοτίζει παχεῖα βρωμάτων ἀνάδοσις. — Ἔσοπτρον ῥυπωθὲν οὐ διαρ-

SANCTI NILI CAPITA. DE OCTO VITIIS.

DE GULA I.

A flore fructus principium; et abstinentia (castigata victus ratio) ipsa actionis principium. — Qui ventris compos est, vitia minuit ac libidines: qui autem sibi a cibis temperare non potest, auget voluptates. — Gentium principium, Amalec; duxque vitiorum, ingluvies: ignis materia, ligna; ventris autem, esca. Lignorum copiâ ingens excitatur flamma; confertaeque dapes fomentum cupiditati praestant. — Deficiente materia, elanguescit ignis; ciborumque inopia cupiditas marcescit. — Qui mandibulam tenuit, is alienigenas occidit, et manuum suarum vincula facile disjecit: enecta mandibula fontem aquae genuit; destructaque ingluvies actione fultam contemplationem peperit. — Clavus tabernaculi excussa maxilla hostem interemit; ac continentiae ratio libidinem extinxit. — Cupiditas cibi inobedientiam peperit, et gustus suavitas hominem e paradiso ejecit. — Ciborum lautities gulam delectat, et lasciviae vermem insoporabilem nutrit. — Venter esuriens vigilare in oratione facit; plenus autem somnum adducit. — Victus parcitate sobria mens sensusque existit; lauta autem victus ratio in profundum demergit. — Jejunantis orandi studio animus, pullus aquilae subvolans; ebriosi autem crapula, humi gravis repit. — Jejuni mens ut stella caelo sereno fulget; saturi vero atra tempestate obtegitur. — Nebula solis radios obtegit, crassusque ex cibis fumorum vapor menti tenebras offundit. — Speculum sordibus oblitum

θροῖ τὴν πρέπουσαν μορφήν· καὶ διανοητικὸν ἀμβλυωθὲν κόρῳ οὐ δέχεται γνῶσιν Θεοῦ. — Χερσωθεῖσα γῆ ἀκάνθας τίκτει· καὶ νοῦς γαστριμάργου βλαστάνει λογισμοὺς αἰσχρούς. — Οὐκ ἔστιν ἐν βορβόρῳ εὑρεῖν ἀρώματα· οὐδ' ἐν γαστριμάργῳ εὐωδίαν θεωρίας. — Ὀφθαλμὸς γαστριμάργου περιεργάζεται συμπόσια· ὀφθαλμὸς δὲ ἐγκρατοῦς συνέδρια σοφῶν. — Μνήμας μαρτύρων ἀριθμεῖ ψυχὴ γαστρίμαργος· ἡ δὲ τοῦ ἐγκρατοῦς μιμεῖται βίους αὐτῶν. — Δειλὸς στρατιώτης φρίσσει σάλπιγγα σημαίνουσαν πόλεμον· καὶ γαστρίμαργος κηρυσσομένην ἐγκράτειαν. — Γαστρίμαργος μοναχὸς κοιλίας ὑπόφορος· καὶ μαστιζόμενος ἀπαιτεῖται δασμὸν ἡμερούσιον. — Ὁδοιπόρος ὀξὺς ταχέως καταλήψεται πόλιν· μοναχὸς ἐγκρατὴς εἰρηνικὴν κατάστασιν. — Ὁδοιπόρος βραδὺς ἐν ἐρημίᾳ αὐλισθήσεται ὕπαιθρος· καὶ μοναχὸς γαστρίμαργος οὐ φθάσῃ εἰς οἶκον ἀπαθείας. — Ἀτμὶς θυμιάματος εὐωδιάζει ἀέρα, καὶ προσευχὴ ἐγκρατοῦς ὄσφρησιν Θεοῦ. — Ἐὰν δῷς ἑαυτὸν ἐπιθυμίᾳ βρωμάτων, οὐδὲν ἀρκέσει πρὸς τὸ πληρῶσαι τὴν ἡδονήν· πῦρ γάρ ἐστιν ἐπιθυμία βρωμάτων ἀεὶ δεχομένη καὶ ἀεὶ φλεγομένη. — Μέτρον αὔταρκες ἐπλήρωσεν ἀγγεῖον· γαστὴρ δὲ ῥηγνυμένη οὐ λέγει· Ἀρκεῖ. — Χειρῶν ἔκτασις ἐτροπώσατο τὸν Ἀμαλήκ· καὶ πάθη σαρκὸς ἐπηρμέναι μοναχοῦ πράξεις χειροῦνται. — Ἐξολόθρευσον ἐκ σοῦ πᾶν νόημα ἐμπαθές, καὶ μέλη σαρκός σου νέκρωσον ἰσχυρῶς· ὃν τρόπον γὰρ ἀνῃρημένος πολέμιος οὐ παρέξει σοι φόβον, οὕτω νεκρωθὲν σῶμα οὐ ταράξει σὴν ψυχήν. — Οὐκ αἰσθάνεται πυρὸς ὀδύνης σῶμα νεκρὸν, οὐδὲ ἐγκρατὴς ἐπιθυμίας νεκρός. — Ἐὰν πατάσσῃς Αἰγύπτιον, ἄμμῳ κρύψον αὐτόν· καὶ μὴ πιάνῃς σῶμα ἐπὶ ἡττωμένῳ πάθει. ὡς γὰρ ἐν λιπώσῃ γῇ φύει τὸ κρυφθὲν, οὕτως ἐν σώματι πιμελῷ διανατέλλει τὸ πάθος. — Μαρανθεῖσα φλὸξ ἐπιλάμπει λα-

convenientem formam non exprimit; mensque obtusa ex crapula dei notitiam non admittit. — Ager incultus spinas gignit; et animus gulosi foedas cogitationes parit. — In coeno aromata reperire non licet; neque in guloso contemplationis nancisci fragrantiam. — Oculus gulosi conviviis inhiat; sobrii vero ad sapientum concilia aspirat. — Animus gulosi Martyrum memorias numerat; sobrii autem eorum vitas aemulatur ac res gestas. — Ignavus miles ad sonitum buccinae proelium indicentis inhorrescit; gulosusque jejunii praeconium audiens contremiscit. — Gulosus Monachus ventri obnoxius ac vestigalis existit; et ab eo, quod quotidie pendat, tributum flagellis exigitur. — Expeditus viator destinatam cito urbem assequitur; sobriusque Monachus pacatum animi statum. — Tardus viator in solitudine sub dio commorabitur; nec gulosus Monachus ad imperturbationis aedes perveniet. — Vapor incensi aëri fragrantiam effundit; sobriique oratio in conspectu dei adscendit. — Si te ipse ciborum cupiditati dederis, quod explere voluptatem sufficiat, offendes nihil: est enim cupiditas ignis incendium, quod cibos semper suscipiat, ac semper ardeat. — Quantam capit, mensura vas implevit; venter autem, vel si rumpatur, non dicit: Sufficit. — Manuum extensio fudit Amalec; carnis autem vitia ac libidines subigunt celsa virtute Monachi opera. — Libidinosum omnem animi sensum a te extermina, et membra carnis tuae fortiter mortifica. Nam ut hostis sublatus terrorem amplius non affert; sic corpus mortificatum non turbabit animum. — Ut non sentit ignis ardorem emortuum corpus, sic nec vir sobrius cupiditatis incendia, qui ipse mortuus sit. — Si percusseris Aegyptium, eum occulta in sabulo; nec, provicta libidine, carnem impinguaveris: quemadmodum enim, quod in terra opima conditum est, erumpit et nascitur; sic in pingui corpore libido affectusque exoritur. — Extincta flamma, si materiam aridam ad-

βομένη φρυγάνων· καὶ ἡδονὴ σβεσθεῖσα ζωπυρεῖται ἐν κόρῳ βρωμάτων. — Μὴ ἐλεῇς σῶμα ἀτονίαν ἀποδυρόμενον, μηδὲ πιάνῃς αὐτὸ πολυτελείᾳ βρωμάτων· ἐὰν γὰρ ἰσχύσειεν, ἐπαναστήσεταί σοι, καὶ πόλεμον ἄσπονδον κινήσει κατὰ σοῦ, ἕως ἂν αἰχμαλωτεύσῃ σὴν ψυχὴν, καὶ δουλείᾳ παραδώσῃ σε τῷ τῆς πορνείας πάθει. — Ἵππος εὐήνιος, ἐνδεὲς σῶμα· καὶ οὐ μὴ καταβάλλῃ τὸν ἀναβάτην ποτέ. ὁ μὲν γὰρ εἴκει ἀγχόμενος χαλινῷ καὶ τῇ χειρὶ πείθεται τοῦ ἡνιόχου· σῶμα δὲ δαμάζεται ἐν λιμῷ καὶ ἀγρυπνίᾳ, καὶ οὐκ ἀποσκιρτᾷ τοῦ ἐπιβατοῦντος λογισμοῦ· οὐδὲ χρεμετίζει, κινούμενον ὑπὸ ὀργῆς ἐμπαθοῦς.

β. ΠΕΡΙ ἈΚΟΛΑΣΙΑΣ.

Σωφροσύνην τίκτει ἐγκράτεια· γαστριμαργία δὲ μήτηρ ἀκολασίας. — Ἔλαιον τρέφει λαμπάδα λύχνου· καὶ πυρσὸν ἡδονῆς ἐξάπτει συντυχία γυναικῶν. — Κυμάτων βία χειμάζει πλοῖον ἀνερμάτιστον· καὶ λογισμὸς πορνείας νοῦν ἀκρατῆ. — Πορνεία συμπαραλήψεται κόρον εἰς συμμαχίαν· ἀφεῖσα γὰρ αὐτὸν, καὶ μετὰ τῶν ἐναντίων στήσεται, καὶ ἐπ' ἐσχάτων συμπολεμήσει τοῖς ἐχθροῖς. — Ἄτρωτος διαμένει ἀπὸ τῶν βελῶν τοῦ ἐχθροῦ ὁ ἀγαπῶν ἡσυχίαν· συναναμιγνύμενος δὲ πλήθεσι, συνεχεῖς δέχεται πληγάς. — Ὄψις γυναικὸς βέλος ἐστὶ πεφαρμακευμένον· ἔτρωσε τὴν ψυχὴν, καὶ τὸν ἰὸν ἐναπέθετο· καὶ ὅσον χρονίζει, πλείονα τὴν σῆψιν ἐργάζεται. ὁ φυλασσόμενος ταῦτα τὰ βέλη, οὐ παραβάλλει πανηγύρεσι πανδήμοις, οὐδὲ ἐν ταῖς ἑορταῖς περιάξει κεχηνώς· βέλτιον γὰρ οἴκοι μένοντας σχολάζειν προσευχῇ, ἢ τιμᾶν νομίζοντας τὰς ἑορτὰς γενέσθαι πάρεργον ἐχθρῶν. — Φεῦγε συντυχίας γυναικῶν, ἐὰν θέλῃς σωφρονεῖν, καὶ μὴ δὸς παῤῥησίαν αὐταῖς, θαῤῥῆσαι ποτέ. κολακείαν γὰρ ἐν ἀρχῇ ἢ ἔχουσιν, ἢ ὑποκρίνονται· ὕστερον δὲ πάντα τολμῶσιν ἀναιδῶς. πρώτῃ συντυχίᾳ καὶ τὸ βλέμμα ἔχουσι κάτω, λαλοῦσι πρᾴως, καὶ δακρύουσι συμπαθῶς· σχηματίζονται σεμνῶς, καὶ στενάζουσι πικρῶς· ἐρωτῶσι περὶ ἁγνείας, καὶ

hibueris, rursum accenditur; sic in ciborum satietate jam edomita voluptas novum excitatur. — Noli corpus debilitatis ergo querulum miserari, nec lautis ipsum dapibus impinguaveris: ubi enim vires receperit, in te rebellabit, bellumque implacabile movebit, donec tuam captivet animam, atque fornicationis vitio in servitutem tradat. — Equus fraeno facilis ac mitis, corpus inedia domitum; nec unquam rectorem excutiet. Ut enim ille lupo cedit, et equitis paret imperio; sic et corpus fame vigiliaque subactum aurigantis rationis fraenos non respuit, nec irae passione concitus hinnit.

DE LUXURIA ET IMPUDICITIA II.

Pudicitiam parit sobrietas; gula vero mater impudicitiae. — Lucernae flammam nutrit oleum; et libidinis ardorem accendit consuetudo ac colloquium feminarum. — Undarum vis navim non saburratam tempestate jactat; scortationisque in animo versans cogitatio mentem impudicam mergit. — Scortatio ingluviem belli sociam assumet: ea namque dimissa, etiam cum adversariis stabit, et ad extremum cum inimicis pugnabit. — Illaesus a telis inimici consistit, qui solitudinis silentia diligit: qui autem miscet se turbis, continua vulnera excipit. — Mulieris aspectus sagitta veneno illita; animum sauciavit, ac virus immisit; quantumque moratus, vulnus magis contabescit. Qui haec tela vitare studet, haud se publicis confertaeque multitudinis conventibus inferet, nec per festorum solemnia his hians circuibit: praestat enim domi silentio orationi vacare, quam ut, dum festa nos venerari putamus, per eorum occasionem ab inimicis vincamur. — Mulierum fuge colloquia, si vis caste vivere, nec unquam eis liberius congrediendi fiduciam praebe: initio quippe aut blandiuntur, aut blandiri simulant: postmodum vero nihil non procaciter audent et tentant. Prima statim congressione etiam oculos humi defixos habent: lenis sermo, piae oculis

ἀκούουσι σπουδαίως. δεύτερον εἶδες, καὶ μικρὸν ἀνένευσαν ἄνω· τρίτον, καὶ προσέχουσιν ἀναιδῶς· ἐμειδίασας, κἀκεῖναι κεχυμένως ἐγέλασαν. κοσμοῦνται λοιπὸν, καὶ ἐνδείκνυνταί σοι σαφῶς· βλέμμα μορφοῦσιν, εὐαγγελιζόμεναι τὸ πάθος· ὀφρῦς ἀνατείνουσι, καὶ περιστρέφουσι βλέφαρα· γυμνοῦσι τὸν τράχηλον, καὶ ὅλον τὸ σῶμα θρύπτονται. λόγοις λαλοῦσι μαλάσσουσαι τὸ πάθος, καὶ φθέγμα ἐπιτηδεύουσι θέλγιστρον ἀκοῆς, ἕως ἂν διὰ πάντων πολιορκήσωσι τὴν ψυχήν. ταύτῃ γίνονταί σοι ἄγκιστρον δελεάζον εἰς θάνατον, καὶ θήρατρον πολύπλοκα ἕλκοντες εἰς ἀπώλειαν. μή σε πλανήσωσι λόγοις ἐπιεικῶς κεχρημέναι· ἐγκέκρυπται γὰρ αὐτοῖς ἰὸς πονηρὸς θηρίων. — Μᾶλλον προσέγγισον πυρὶ καιομένῳ, ἢ γυναικὶ νέᾳ νέος ὢν καὶ αὐτός. πυρὶ μὲν γὰρ προσελθὼν, ὡς ὀδυνηθεὶς ταχέως ἀποπηδήσεις· γυναικίοις δὲ ῥήμασι χαυνωθεὶς, οὐκ εὐχερῶς ἀναχωρήσεις. — Θάλλει βοτάνη ἑστῶσα παρ' ὕδατι, καὶ πάθος ἀκολασίας ἐν συντυχίαις γυναικῶν. — Ὁ πληρῶν γαστέρα, καὶ ἐπαγγελλόμενος σωφρονεῖν, ὅμοιός ἐστι τῷ λέγοντι, χαλινοῦν πυρὸς ἐνέργειαν ἐν καλάμῳ. ὃν τρόπον γὰρ πυρὸς ἐνέργειαν ἐν καλάμῳ τρέχουσαν ἀδύνατον ἐπισχεῖν, οὕτως ὁρμὴν ἀκόλαστον ἐν κόρῳ παύσασθαι ἀδύνατον. — Στύλος ἐπερείδεται βάσει· καὶ πορνείας πάθος ἐπαναπαύεται κόρῳ. — Εἰς λιμένα ἐπείγεται χειμαζομένη ναῦς, καὶ ψυχὴ σώφρονος ἐπιζητεῖ ἐρημίαν. φεύγει γὰρ ἡ μὲν κύματα θαλάσσης ἀπειλοῦντα κίνδυνον· ἡ δὲ μορφὰς γυναικῶν ὠδινούσας ὄλεθρον. — Μορφὴ κεκαλλωπισμένη κύματος χεῖρον βυθίζει. τοῦ μὲν γὰρ ἐστὶ διανήξασθαι πόθῳ ζωῆς· μορφὴ δὲ γυ-

fluunt lacrymae, gestus honeste compositus, acerba ducunt suspiria; de castitate quaerunt ac audiunt sedulo. Cum autem secundo in conspectum admiseris, nonnihil etiam attollunt oculos. At cum tertio, nulla jam pudoris ratione intentis animo vultuque irruunt. Si paulum subrisisti, et illae cachinnos prone edunt. Ornatum assumunt, ac se tibi libere ostentant. Vultus compositione haerentem animo vim libidinis nuntiant. Tollunt supercilia, palpebras circumvolvunt, denudant collum, et toto corpore delicias agunt. Mollibus verbis libidine utuntur et dulci vocis sono auribus blandiuntur, donec tuam plane expugnent ac diripiant animam. His veluti hamus atque esca ad mortem imprudens raperis; his retibus et variis plagis captus ad interitum traheris. — Cave ne te feminae sermonibus blandis irretiant; pestiferum enim illis occultum venenum est. — Ad ignem potius ardentem accedas, quam ad mulierem juvenem, qui et ipse juvenis existas. Ad ignem enim si accesseris, doloris ipsa vis, ut resilias continuo, praestabit; muliebri autem mollitus verborum lenocinio, haud facile recedes. — Florent olera et stirpes prope aquas sata; et libidinis semina in mulierum colloquiis. — Qui escis ventrem ingurgitat, et se castum fore profitetur, similis est ei, qui dicit, ignis se vim stipula compressurum, eaque illi fraenos injecturum. Quemadmodum enim ignis vim in stipula decurrentem inhibere non potes; sic neque fiat unquam, ut luxuriae impetum in corpore distento possis sedare. — Columna basi sua innititur; et scortationis vitium in satietate grata sede moratur. — Ad portum properat navis tempestate jactata, et viri pudici animus soltitudinis silentia solicitus quaerit. Ut enim illa fluctus maris naufragium minitantes fugit, ita hic mortis pararios mulierum aspectus. — Facies mulierum meretricio ac superfluo ornatu quavis procella deterius mergit; ex hac enim vitae desiderio enatare liceat ac evadere, feminae autem species, ea

ναίκὸς ἀπατήσασα, καταφρονεῖν πείθει καὶ αὐτῆς τῆς ζωῆς. — Βάτος ἐρημικὴ διαφεύγει φλόγα πυρὸς ἀβλαβῶς· καὶ σώφρων κεχωρισμένος γυναικῶν, οὐκ ἐφλογίσθη ἀκολασίας πάθει. ὥσπερ γὰρ μνήμη πυρὸς οὐ καίει διάνοιαν· οὕτως οὐδὲ πάθος ἰσχύει, μὴ παρούσης ὕλης. — Ἐὰν ἐλεήσῃς πολέμιον, ἔσται σοι ἐχθρός· καὶ ἐὰν φείσῃς πάθους, ἐπαναστήσεταί σοι. — Ἀκόλαστον ἐρεθίζει πρὸς ἡδονὴν ὄψις γυναικός· τὸν δὲ σώφρονα κινεῖ πρὸς δοξολογίαν Θεοῦ. — Ἐὰν ἠρεμίσῃ τὸ πάθος ἐν συντυχίαις γυναικῶν, μὴ πιστεύσῃς αὐτῷ ἀπάθειαν ἐπαγγελλομένῳ· καὶ γὰρ κύων σαίνει μὲν ἀπολειφθεὶς ὄχλῳ· ἔξω δὲ προελθὼν, τὴν οἰκείαν ἐπιδείκνυται πονηρίαν. — Ὅταν γυναικὸς μνήμη γένηται ἀπαθῶς, τότε νόμιζε τὸν ὅρον ἐπιβεβηκέναι τῆς σωφροσύνης· ὅτε δέ σε τὸ εἴδωλον αὐτῆς ἐπὶ θεωρίαν διεγείρει, καὶ τὰ μέλη αὐτῆς τὴν ψυχὴν περιλαμβάνουσι, τότε νόμιζε ἔξω εἶναι τῆς ἀρετῆς. ἀλλὰ μηδ' οὕτως ἐγχρονίσῃς τοῖς τοιούτοις λογισμοῖς, μηδὲ ἐπὶ πολὺ κατὰ διάνοιαν προσομιλήσῃς μορφῇ γυναικός. ἔστι γὰρ φιλυπόστροφον τὸ πάθος, καὶ τὸν κίνδυνον ἔχει ἐγγύς. — Ὥςπερ γὰρ ἡ σύμμετρος χωνεία καθαίρει τὸν ἄργυρον, ἡ δὲ ἐπὶ πολὺ ὡς εἰκαία ἀπόλλυσιν εὐχερῶς· οὕτως ἕξιν σωφροσύνης διαφθείρει ἐγχρονίζουσα φαντασία γυναικός. — Μηδ' ἐπὶ πολὺ προσομιλήσῃς τῷ φανέντι προσώπῳ, ἵνα μὴ ἀνάψῃ ἐν σοὶ φλόγα ἡδονῆς, καὶ ἐμπρήσῃ ἅλωνα τῆς ψυχῆς. ὥςπερ γὰρ σπινθὴρ ἐν ἀχύροις χρονίσας ἐγείρει φλόγα· οὕτω μνήμη γυναικὸς παραμένουσα ἐξάπτει ἐπιθυμίαν.

γʹ. ΠΕΡΙ ΦΙΛΑΡΓΥΡΙΑΣ.

Φιλαργυρία πάντων ἐστὶ ῥίζα τῶν κακῶν· καὶ τρέφει ὡς κλάδους πονηροὺς τὰ λοιπὰ πάθη· καὶ οὐκ ἀφίησι ξη-

dementatis, ipsius vitae contemtus auctor existit. — Ut rubus in solitudine flammae ignis illaese vitat incendia; sic et vir castus, mulierum spreta consuetudine, libidinis ardore non exuritur. Nam ut ignis recordatio mentem non urit; sic nec libido, non praesente materia, admodum nocere possit. — Si misertus hostis fueris, infensum eum ac inimicum habebis; ac libidini si peperceris, in te insurget ac oppugnabit. — Mulieris aspectus impudicum hominem ad libidinem proritat; qui vero pudici pectoris sit, ad dei excitet laudem. — Si in colloquiis mulierum earumque consuetudine sedata libido sit, ne tamen ei fidas quasi imperturbationem jam pollicenti; nam et canis, cum turba abest, obblandiens, egressus foras, quae ex ingenio est, improbitatem ostendit. — Cum nulla libidine animo occurret mulieris recordatio, tum castitatis te metam existimato assecutum esse. At cum imago ac simulacrum considerandi desiderio excitaverit, membraque illius animo implicata cohaeserint, tunc a virtute abesse te puta quam longissime. Ac ne sic quidem in ejusmodi cogitationibus immoreris, nec mulieris formam morosius animo considera. Subinde enim libido revertitur, et in propinquo periculum manet. Uti enim quae igne est moderata conflatio argentum purgat, immoderata autem (quippe jam ipsa superflua vanaque) facile perdit; sic mulieris morosior animo cogitatio castitatis statum habitumque corrumpit. Cave, ne diu ante oculos mulieris species obversetur, ne cupiditatis ignem accendat, et animae tuae aream exurat. Quemadmodum enim scintilla inter paleas diutius morans excitat flammam; sic tenax animo mulieris memoria ac cogitatio libidinis incendia accendit.

DE AVARITIA III.

Malorum omnium radix est avaritia; et reliqua vitia tanquam ramos improbos nutrit; nec, quae ex ea

φανθῆναι τὰ ἐξ αὐτῆς ἀνθήσαντα. ὁ βουλόμενος κόπτειν πάθη τὴν ῥίζαν ἐκκοπτέτω· μενούσης γὰρ φιλαργυρίας, ἐπιτέμνων τοὺς κλάδους οὐδὲν ὠφελεῖς· κἂν γὰρ κοπῶσιν, εὐθὺς ἐπανθήσουσι. — Πολυκτήμων μοναχὸς πεφορτισμένον πλοῖον, καὶ ἐν ζάλῃ κυμάτων εὐχερῶς καταδυόμενον. ὥςπερ γὰρ ὑπέραντλος ναῦς ὑφ' ἑκάστου κύματος βαπτίζεται· οὕτω πολυκτήμων μοναχὸς ταῖς φροντίσιν ὑποβρύχιος γίνεται. — Ἀκτήμων μοναχὸς ὁδοιπόρος εὔσταλὴς, καὶ ἐν παντὶ τόπῳ εὑρίσκων κατάλυμα. — Ἀκτήμων μοναχὸς ἀετὸς ὑψηλοπετὴς, τότε καθιπτάμενος ἐπὶ τροφὴν, ὅταν ἡ χρεία βιάσηται. παντὸς πειρασμοῦ ὁ τοιοῦτός ἐστιν ὑψηλότερος καταγελᾷ τῶν παρόντων, καὶ μετέωρος ἐξαίρεται. ἀναχωρεῖ τῶν γηΐνων, καὶ συμπεριπολεῖ τοῖς ἄνω. πτερὸν γὰρ ἔχει κοῦφον, φροντίσι μὴ βαρυνόμενον. θλίψις ἐπῆλθε, καὶ ἀλύπως τὸν τόπον ἀπέλιπε· θάνατος ἐπέστη, καὶ εὐθύμως ἀπέρχεται· οὐδενὶ γὰρ δεσμῷ γηΐνῳ προςέδησε τὴν ψυχήν. ὁ δὲ πολυκτήμων πεπέδηται μερίμναις, καὶ καθάπερ κύων ἁλύσει προςδέδεται· κἂν μεταναστῆναι βιασθῇ, τὰς μνήμας τῶν κτισμάτων περιφέρει βαρὺ φορτίον, καὶ ἀχθηδόνα ἀνωφελῆ, κεντεῖται λύπῃ, καὶ πρὸς τὴν ἔννοιαν ὀδυνᾶται σφοδρῶς. ἀφῆκε τὰ κτήματα, καὶ τῇ λύπῃ μαστίζεται· κἂν θάνατος ἐπέλθοι, ἐλεεινῶς ἀφίησι τὰ παρόντα· ἀποδίδωσι τὴν ψυχὴν, καὶ τοῖς ὀφθαλμοῖς οὐκ ἀφίστησι τῶν πραγμάτων, ἄκων ἕλκεται καθάπερ ἀνδράποδον δραπετεῦον. μερίζεται σώματος, καὶ οὐ μερίζεται τῶν πραγμάτων, μᾶλλον τῶν ἑλκόντων αὐτὸν τοῦ πάθους κατέχοντος. — Θάλασσα οὐκ ἐμπίπλαται ποταμῶν δεχομένη πλῆθος· καὶ ἐπιθυμία φιλαργύρου οὐ πληροῦται χρημάτων. ἐδιπλασίασε τὰ χρήματα, καὶ ταῦτα διπλᾶ ποιῆσαι ἐπιθυμεῖ· καὶ τοῦ διπλασιάζειν οὐδέποτε παύεται, ἕως ἂν θάνατος τὴν ἀνόητον ταύτην ἐκκόψῃ σπουδήν. — Συνετὸς μοναχὸς τῇ χρείᾳ

pullulant, sinit arescere. Qui vitia cupit exscindere, radicem evellat. Licet enim reliquos amputes ramos, manente avaritia, nihil frugis facies; quantumvis enim excisi, mox renascentur eruntque redivivi. — Monachus locuples censuque dives veluti navis gravi onere est, quae in fluctuum aestu facile submergatur. Quemadmodum enim illa justo gravius onerata omni prope fluctu sorbetur; sic opulentus Monachus solicitudinibus vitae obruitur. — Pauper Monachus ac nullo censu, expeditus viator; omnique loco offendet ubi stabuletur. — Pauper Monachus et inops, aquila in sublime volans, ad cibum tunc irruens, cum justa necessitate cogitur. Qui talis est, omni superior tentatione est: praesentia despicit, animoque ad coelestia tollitur; a terrenis enim recedit, et in coelestibus versatur; quippe qui alas leves, nulla degravante solicitudine, habeat. Appetit aerumna atque nubilum, nulloque taedio ac molestia locum deserit. Mors adest, aequoque animo migrat humanis; quippe qui nullo terreno vinculo animum obstrinxerit. At, qui dives censu est, solicitudinibus ac curis colligatus est, ac, velut canis, catena constrictus est. Quod si mutare solum necesse fuerit, aedificiorum memoriam ac simulacra (grave scilicet onus nulliusque frugis dolorem) circumducit. Moerore stimulatur, animoque vehementius discruciatur. Divitias reliquit, et molestia torquetur. Mors advenit, luctuque ac gemitu praesentia dimittit. Animam agit, nec a rebus oculos avertit. Invitus trahitur veluti servus fugitivus. Divortio a corpore dirimitur, nec a negotiis rerumque cura abstrahitur; quippe quem libido magis detineat, quam quibus trahitur. — Nec mare influentium fluminum copia impletur; nec avari cupiditas ulla divitiarum affluentia expletur. Duplo auxit divitias, sicque auctas duplo augere desiderat: nullumque sic duplo augendi finem facit, donec mors nihil frugis habentem diligentiam hanc interrumpat. — Pru-

προσέξει τοῦ σώματος· καὶ τὴν ἔνδειαν τῆς γαστρὸς ἄρτῳ πληρώσει καὶ ὕδατι. οὐ κολακεύσει πλουτοῦντας δι' ἡδονὰς γαστρὸς, οὐδὲ δουλώσει νοῦν ἐλεύθερον δεσπόταις πολλοῖς. ἱκαναὶ γὰρ αἱ χεῖρες ὑπηρετῆσαι τῷ σώματι, καὶ τὴν φυσικὴν ἀνάγκην πληρῶσαι διαπαντός. — Ἀκτήμων μοναχὸς, ἀθλητὴς ἀμεσολάβητος, καὶ δρομεὺς κοῦφος, ταχέως φθάνων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως. — Πολυκτήμων μοναχὸς, χαίρει προσόδοις πολλαῖς· ὁ δὲ ἀκτήμων, στεφάνοις κατορθωμάτων. φιλάργυρος μοναχὸς ἐργάζεται σφοδρῶς· ὁ δὲ ἀκτήμων, προσευχαῖς σχολάζει καὶ ἀναγνώσμασι. — Φιλάργυρος μοναχὸς πληροῖ ταμιεῖα χρυσοῦ· ὁ δὲ ἀκτήμων, θησαυρίζει ἐν οὐρανοῖς. — Ἐπικατάρατος ὁ ποιῶν εἴδωλα, καὶ τιθεὶς ἐν ἀποκρύφῳ· ὡσαύτως καὶ ὁ ἔχων φιλαργυρίας πάθος. ὁ μὲν γὰρ προσκυνεῖ κίβδηλον ἀνωφελές· ὁ δὲ ἀγαλματοφορεῖ φαντασίαν πλούτου.

δ΄. ΠΕΡΙ ΟΡΓΗΣ.

